M
9

15

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 1 Núm. 18.

Lycophron cum caeteris comentariis.

M. Muñoz

Dr. Arcada

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

Opera poetica,

M
9

· βίβλος μὲν τελέθουσα, λυκόφρονος ἀσματοκόμπου
ἣν ἀγαθοὺς προπάροιθε, ἀτερκέα, δέρματ᾽ ἔχουσα,
νῦν δέ κε σορμηγέλων ἕρμα θήκατο τέχνη
τζέτζης ἰσαάκιος, σύστροφα σώματα λύσας. ~

Τοῖς τῶν ποιητικῶν βίβλων κατάρχεσθαι μέλλουσι δεῖ εἰδέναι
πρῶτον τὰς τῶν ποιητῶν διαφοράς, εἶθ᾽ οὕτω τοῖς βίβλοις ἐκεί
νων ἐφάπτεσθαι ἵν᾽ εἰδεῖεν ὁποίου εἴδους τῶν ποιητικῶν μετέρχον
ται βίβλους. τὸ ποιητὴς γὰρ ἀπροσδιορίστως λεγόμενον γενι
κόν ἐστιν ὁμώνυμον ὄνομα, ὡς ἤδη διαιρούμενον παρέχον, ὡς
τὸ κατ᾽ ἐξοχὴν καὶ ἀπροσδιορίστως λεγόμενον ποιητήν, ἤτοι αὐ
λητικὸν ποιητήν, ὡς διθυραμβικόν, ὡς ἰαμβογράφον, τραγικὸν
σατυρικόν, κωμικόν, ὡς μελοποιόν, ὡς ἐπιγραμματο
γράφον τὸν καὶ ἀναθηματικόν, καὶ ὑμνογράφον· ὡς ᾀσματο
γράφον καὶ ἀοιδόν, ὡς ἐπιθαλαμιογράφον, ὡς μονῳδὸν καὶ
ὡς μυρία ἕτερα, ἅπερ ἅπαντα μακρόν ἐστι λέγειν ἢ σμικρόν, ὅ
περ ἀκριβῶς ἐπιστάμενον. λεκτέον δέ μοι τὰ τῶν ῥηθέντων
τῶν γνωρίσματα καὶ χαρακτηρίσματα. Τῶν μὲν ἀπροσδι
ορίστως καὶ κατ᾽ ἐξοχὴν ποιητῶν λεγομένων τέσσαρα ταῦτα τυγ
χάνουσι τὰ γνωρίσματα, μέτρον ἡρωϊκόν, μῦθος ἀληθοεικὸς
ἱστορία καὶ ποιὰ λέξις· ὧν χωρὶς ἐποποιοὶ λέγονται. Γε
γόνασι δὲ ὀνομαστοὶ ποιηταὶ ε΄. ὅμηρος. ἡσίοδος. πα
νύασις. ἀντίμαχος. πείσανδρος. νέοι δὲ ὅσα τε φύλλα
καὶ ἄνθεα γίνεται ὥρῃ, καὶ ταῦτα μὲν τὰ γνωρίσματα τῶν
λεγομένων κατ᾽ ἐξοχὴν ποιητῶν. λυρικῶν δὲ γνωρίσ
ματα, τὸ πρὸς τὴν λύραν τὰ τούτων ᾄδεσθαι μέλη καὶ χο
ρὸς ἑστὼς κυκλικὸς ἄνδρας ἔχων πεντήκοντα, οἳ περὶ ᾠδῶν
εἰ τόνδε ταῦρον ἐλάμβανον. οἱ δὲ διθυραμβικοὶ τῶν
λυρικῶν ἔχουσι πλεῖον τὸ πρὸς διόνυσον πολυστρόφως
πλέκειν τοὺς ὕμνους καὶ βίον ὀλίγον ἐλάμβανον. διὸ καὶ διθύ
ραμβοι ἀπὸ τοῦ διονύσου ἐγένοντο τοῦ διὰ δύο θυρῶν ἐκ
βάντος

Διθύραμβος ὁ διόνυσος

Preso de Rui de Salam[illegible]

a.1.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

· βίβλος μὲν τελέθουσα λυκόφρονος ἀσματοκόμπου
ἣν ἀχλὺς προπάροιθε, ἀδερκέα δέργματ' ἔχουσα,
νῦν δ' ἐνὶ κε λαμπηδέω ἑρμηνείης ἥψατο τέχνῃ
τέτληκεν ἰσαάκιος, στρόφια σώματα λύσας . ~

Τοῖς τῶν ποιητικῶν βίβλων κατάρχεσθαι μέλλουσι δεῖ εἰδέναι πρῶτον τὰς τῶν ποιητῶν διαφοράς, εἶθ' οὕτω τοῖς βίβλοις ἐκείνων προσβάλλειν ἵν' εἰδεῖεν ὁποίου εἴδους τῶν ποιητικῶν μετέρχονται βίβλους. τὸ ποιητὴς ὄνομα ἀπροσδιορίστως λεγόμενον γενικόν ἐστιν ὁμώνυμον ὄνομα, εἰς ἕξ διαιρούμενον πλέονα, εἰς τὸ κατ' ἐξοχὴν καὶ ἀπροσδιορίστως λεγόμενον ποιητήν, εἰς αὐλικὸν ποιητήν, εἰς διθυραμβικόν, εἰς ἰαμβογράφον, τραγικόν, σατυρικόν, κωμικόν, εἰς μελογράφον, εἰς ἐπιγραμματογράφον τὸν καὶ ἀναθεματικόν, καὶ ὑμνογράφον. εἰς ἀσματογράφον καὶ ἀοιδόν, εἰς ἀθυρματογράφον, εἰς μονῳδὸν καὶ εἰς μυρία ἕτερα, ἅπερ μακρόν ἐστι λέγειν καὶ σχληρὸν ὥσπερ ἀκριβῶς ἐκθέμενον. λεκτέον δέ μοι τὰ τῶν ῥηθέντων γνωρίσματα καὶ χαρακτηρίσματα. τῶν μὲν ἀπροσδιορίστως καὶ κατ' ἐξοχὴν ποιητῶν λεγομένων τέσσαρα ταῦτα τυγχάνουσι τὰ γνωρίσματα. μέτρον ἡρωϊκόν, μῦθος ἀληθοειδής, ἱστορία καὶ ποιὰ λέξις, ὧν χωρὶς ἐποποιοὶ λέγονται. γεγόνασι δὲ ὀνομαστοὶ ποιηταὶ ε΄. ὅμηρος. ἡσίοδος. πανύασις. ἀντίμαχος. πείσανδρος. νέοι δὲ ὅσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ, καὶ ταῦτα μὲν τὰ γνωρίσματα τῶν λεγομένων κατ' ἐξοχὴν ποιητῶν. λυρικῶν δὲ γνωρίσματα τὸ πρὸς τὴν λύραν τὰ τούτων ᾄδεσθαι μέλη καὶ χορὸς ἑστὼς κυκλικὸς ἄνδρας ἔχων πεντήκοντα, οἳ περ καὶ δῶρον ταῦρον ἐλάμβανον. οἱ δὲ διθυραμβικοὶ τῶν λυρικῶν ἔχουσι πλεῖον τὸ πρὸς διόνυσον πολυστρόφως πλέκειν τοὺς ὕμνους καὶ τράγον ἐλάμβανον. διὸ καὶ διθύραμβοι ἀπὸ τοῦ διονύσου ἐλέγοντο τοῦ διὰ δύο θυρῶν ἐκβάντος

διθύραμβος ὁ διόνυσος

Est Collegij de Salamanca



BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

τῆς τε μήτρας τῆς σεμέλης καὶ τοῦ μηροῦ τοῦ διός. λυρικοὶ δὲ
ὀνομαστοὶ .θ. στησίχορος. βακχυλίδης. ἴβυκος. ἀνακρέων
πίνδαρος. σιμωνίδης. ἀλκμάν. ἀλκαῖος. σαπφὼ
κόριννα καὶ κόριννα. διθυραμβικὸς δὲ διάσημος ποιητὴς φιλό
ξενος ὁ κυθήριος :. ἰαμβογράφων ποιητῶν γνωρίσματα
λοιδορία δι' ἰάμβων ~~καὶ~~ καταχρηστικῶς δὲ καὶ δι' ἑτέρου
οἱουδήτινος μέτρου. ἀριπρεπεῖς δὲ ἰαμβογράφοι. ἀνα
νίας ἀρχίλοχος. ἱππῶναξ :. τραγικῶν, σατυρικῶν, κω
μικῶν κοινὸν μὲν τὸ τετραγώνως ἔχειν ἱστάμενον τὸν χορὸν καὶ
τὸ λαμβάνειν τράγον ἢ τρύγα τουτέστι νέον οἶνον καὶ μιμη
τικῶς ἐν τῇ θυμέλῃ τὰ τούτων δράματα λέγεσθαι καὶ δρᾶ
σθαι. διάφορα δὲ αὐτοῖς τὸ τὴν κωμῳδίαν γέλωτας ἔχειν
καὶ σκώμματα καὶ κδ. χορευτάς. τὴν δὲ τραγῳδίαν καὶ τοὺς
σατύρους ἐπίσης μὲν ἔχειν χορευτὰς ιε. διαφέρει δὲ
πρὸς ἀλλήλους ὅτι ἡ μὲν τραγῳδία θρήνους ἔχει μόνον καὶ
σατυρικὴ ποίησις οἰμωγάς. ἡ δὲ σατυρικὴ ποίησις συγκιρνᾶται ταῖς ὀλοφύ
ρσεσι ἱλαρότητι καὶ ἀπὸ θρήνων εἰς χαρὰν καταντᾷ —
διαφέρει δὲ καὶ κατὰ τοῦτο κωμῳδία καὶ τραγῳδία ὅτι ἡ
μὲν τραγῳδία λύει τὸν βίον ἡ δὲ κωμῳδία συνίστησι.
κωμῳδία δὲ ἐκλήθη ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος
ἢ τοῦ ὕπνου εὑρέθη ἢ ὅτι ἐν ταῖς κώμαις τουτέστιν ἐν
* ταῖς στενωπαῖς ἢ ταῖς πόλεσιν ἢ τοῖς μεσίζοις χωρίοις ἢ
ὅτι ἐν τοῖς κώμοις τοῦ διονύσου εὑρέθη :. ἡ δὲ τραγῳδία
ἀπὸ τοῦ τράγου ἢ τρύγα λαμβάνειν τουτέστι νέον οἶνον
ἢ ἀπὸ τοῦ τρυγὶ χρίεσθαι τὰ πρόσωπα κατ' ἀρχάς
ἢ ὅτι τετραγώνως ἵσταντο τετραγῳδία ἢ ἀπὸ τοῦ τραχείας
ᾠδὰς ἔχειν τοὺς θρήνους τραχῳδία καὶ τραγῳδία :. σα
τυρικὴ δὲ ἀπὸ τῶν σατύρων ἐκλήθη τῶν εὑρόντων αὐτὴν
ἤτοι γεωργῶν καὶ λιτῶν ἀνθρώπων. τραγῳδοὶ ποιηταί
ἀρίων. θέσπις. φρύνιχος. αἰσχύλος. σοφοκλῆς. εὐρι
πίδης. ἴων. ἀχαιὸς καὶ ἕτεροι μυρίοι :. κωμῳδοὶ

κρατῖνος. πλάτων. εὔπολις. φερεκράτης. ἀριστοφάνης καὶ
ἕτεροι καὶ νέοι μένανδρος. φιλήμων, φιλιστίων, καὶ πλῆθος
πολύ. σατυρικός δὲ πρατίνας. καὶ ταῦτα μὲν περὶ σα
τυρικῶν καὶ κωμικῶν ποιητῶν. ἐλεγογράφων γνωρίσματα
ποιητῶν τὸ προσεσχηκότας οἴκτους συγγεγραφέναι καὶ ὀλο
φύρσεις ἐν ἐλεγείῳ τῷ μέτρῳ κυρίως καταχρηστικῶς δὲ καὶ ἐν
ἑτέρῳ. ἐλεγείων δὲ ποιηταὶ καλλίμαχος, μίμνερμος, φι
λήτας. ἐπιγραμματογράφων δὲ γνωρίσματα καὶ ἀ
ναθεματικῶν τὸ γεγραφέναι εἰς ἀνδριάντας ἐπιγράμμα
τα καὶ εἰς τὰ ἐν ναοῖς ἀναθήματα, καὶ εἰς ἕτερα τοιαῦτ
τινά, ὡς ὅμηρος ἀθήνησιν ἐπὶ τῇ δόσει τούτῳ φιάλην
παρὰ τῶν μίδου υἱῶν ἣν ἀνέθετο ἐν δελφοῖς ἀπόλλωνι
ἐπιγράψας οὕτως. φοῖβε ἄπολλον δῶρόν τοι καλὸν ὅμη
ρος ἔδωκε σῇσιν ἐπιφροσύναις σὺ δέ μοι κλέος ἐσθλὸν
ὀπάζοις. ἐπιγραμματογράφοι δὲ ποιηταὶ σιμωνίδης ὁ
παλαιός οὗ πρόδοτος μεσσήνη. ἀλκαῖος ὁ νέος ὃς ἦν
ἐπὶ οὐεσπασιανοῦ τοῦ ῥωμαίου καὶ τίτου. ἀθηναῖος, πρό
κλος. παλλαδᾶς. ἀγαθίας καὶ ἕτεροι μυρίοι. ὑμνογράφοι
ποιηταὶ οἱ εἰς θεοὺς γράφοντες ὕμνους ὥσπερ ὁ παλαιὸς ἐκεῖ
νος ὀρφεύς, ὅμηρος, ἡσίοδος, ἀσκληπιάδης καὶ ἕτεροι. γρά
φει δὲ καὶ ~~ἕτεροι~~ ὀρφεὺς χωρὶς τῶν ἀστρονομικῶν καὶ μαγικῶν καὶ
ἐπῳδικῶν καὶ τῶν ἑτέρων καὶ ὕμνους εἰς δία καὶ τοὺς λοιπούς
οὕτως. ζεὺς πρῶτος γένετο ζεὺς ὕστατος ἀργικέραυνος. ζεὺς
κεφαλή ζεὺς μέσσα διὸς δ' ἐκ πάντα τέτυκται. καὶ ὅμηρος
μνήσομαι οὐδὲ λάθωμαι ἀπόλλωνος ἑκάτοιο καὶ οἱ λοιποί
ὁμοίως ἵνα μὴ μακρηγορῶ ἀοιδοί οὐ γὰρ ἀγνοῶ τὰ τούτων
καὶ ἑτέρων [illegible]. ᾀσματογράφων δὲ ποιητῶν καὶ ~~ἑτέρων~~ ἀ
οιδῶν γνωρίσματα τὸ ᾄσματα καὶ ᾠδὰς γράφειν πρὸς μου
σικὴν καὶ φόρμιγγα καὶ βάρβιτον καὶ κιθάραν καὶ πᾶν ὄργανον
μουσικὸν ᾀδόμενα οἷοι γὰρ ἦσαν ποιηταὶ ὡς ὁ φαληρεὺς
δημήτριος γράφει. αὐτομήδης. δημοδόκης καὶ [illegible] οἱ παρ
κυραῖοι.

καὶ ὁ Ἰθακήσιος Φήμιος καὶ οἱ λοιποὶ οὓς ὁ Φαληρεὺς γράφει
οὐδὲ αὐτὸς ἀγνοῶ ∴ ἐπιθαλαμιογράφοι δὲ ποιηταὶ ὅ-
σοι πρὸς τοὺς νυμφίους ἐν γάμοις ἐγκώμια ἔγραφον οἷος
ἦν Ἀγαμήστορος ὁ Φαρσάλιος καὶ ἕτεροι καὶ Ἡσίοδος αὐτὸς
γράψας ἐπιθαλάμιον εἰς Πηλέα καὶ εἰς Θέτιν. Τρὶς μάκαρ Αἰ-
ακίδη καὶ τετράκις ὄλβιε Πηλεῦ ὃς τοῖσδ' ἐν μεγάροις ἱε-
ρὸν λέχος εἰσαναβαίνεις ∴ μονῳδοὶ δὲ ποιηταὶ λέγονται
οἱ μονοπροσώπως ὅλην ὑπόθεσιν ἀφηγούμενοι ὥσπερ νῦν
ἐν τῇδε τῇ Ἀλεξάνδρᾳ ὁ Λυκόφρων ποιεῖ, ἐπεισάγει γὰρ τὸν
θεράποντα μόνον τὴν πᾶσαν ὑπόθεσιν ἀφηγούμενον.,

βίος Λυκόφρονος

ἀλλαχοῦ δὲ καὶ ὁ Λυκόφρων τραγικός ἐστιν. ξδ. ἢ ξς. τρα-
γῳδίας δράματα γεγραφώς ∴ ἀλλ' ἐπειδὴ τὰς περὶ τοὺς
ποιητὰς διαφορὰς διωρθωσάμεθά τε καὶ ἠκριβωσάμεθα λέ-
γειν ἐστὶν ἁρμόδιον καὶ περὶ τοῦ μονῳδοῦ τούτου Λυκόφ-
ρονος ∴ ὁ Λυκόφρων οὗτος τῷ μὲν γένει ἦν Χαλκιδεύς
υἱὸς μὲν Σοφοκλέους ἢ Λύκου ἱστοριογράφου κατὰ θέσιν
ἦν δὲ εἷς τῶν ἑπτὰ ποιητῶν οἵτινες διὰ τὸ ζ΄ εἶναι εἰς
τὰς Πλειάδας Πλειάδες ἐγένοντο ὧν τὰ ὀνόματα
ταῦτα. Θεόκριτος ὁ συγγράψας τὰ βουκολικά, Ἄρατος
ὁ τὰ Φαινόμενα γράψας καὶ ἕτερα. Νίκανδρος. Αἰαντί-
δης ἢ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ γράψας, Φιλικος,☩
Ὅμηρος ὁ νέος τραγῳδὸς ὁ Ἀνδρομάχου Βυζάντιος δράμα-
τα ποιήσας νη. ἔστι γὰρ καὶ ἕτερος Ὅμηρος ὃν περ ἐγὼ τὸν
Ἡσίοδον νομίζω γενέσθαι ἰσόχρονον κἂν περ τὰ τοῦ παλαιοῦ
Ὁμήρου μεταγράφουσί τινες εἰς αὐτόν. καὶ οὗτος ὁ Λυκόφρ(ων)
κἂν ἕτεροι μὴ εἰδότες ἄλλους φασὶν εἶναι τῆς Πλειάδος.
ἦσαν δὲ οὗτοι ἐν χρόνοις Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ
Βερενίκης οἱ παῖδες ἦσαν ἀμφότεροι Πτολεμαίου τοῦ
Λαγωοῦ καὶ Βερενίκης τῆς Ἀντιγόνου θυγατρός. Εὐδοκίμει
δὲ τότε ὁ Λυκόφρων οὐ τοσοῦτον διὰ τὴν ποίησιν ὅσον
διὰ τὸ λέγειν ἀναγραμματισμούς οἷον ὅτι Πτολεμαῖος

:: cf. τῆς Πλειάδος nt. i.

Poetę qui uocati fuerūt
pleias
Theocritus
Aratus
Nicander
Aeantides uel Apollonius. R.
Philecus
Homerus iunior
Lycophrō.

☩ cf. Φιλίσκος ex Sui-
da

γρ. ἀρσινόη

ἀπὸ μήτιος λέξει μεταγραμματιζόμενον. ἀρσιόνη .·
δὲ ἥρας ἰὸν καὶ τοιαῦτα ὅμοια. οὗτος δὲ ὁ λυκό .·
φρων τοῖς φιλογνωστοῦσι τῶν νέων χαριζόμενος τὸ παρὸν βι-
βλίον ἐξέθετο ἱστοριῶν τυγχάνον ἀνάμεστον, τὰ γὰρ ἀφ' ἡρα-
κλέους καὶ τῶν τρωϊκῶν μέχρι ἀλεξάνδρου τοῦ μακεδόνος καὶ
κατωτέρω συντεμὼν πάντα ἀναγράφει καὶ ἐπὶ τὸ τέλος τοῦ
βιβλίου ἀνατρέχει καὶ κατ' ἐπιδρομὴν λέγει καὶ τὴν ἁρπαγὴν
τὴν ἰοῦς τὴν παρὰ φοινίκων ὅθεν ὁ πόλεμος ἀνερρύη
τοῖς βαρβάροις καὶ ἕλλησι. ἡ δὲ ὑπόθεσις τοιαύτη .:,

ὑπόθεσις τοῦ βιβλίου

πρίαμος ὁ λευκίππης καὶ λαομέδοντος ἐξ ἑκάβης τῆς
δύμαντος ἢ κισσέως θυγατρὸς διδύμους παῖδας γεννᾷ
κασσάνδραν τὴν καὶ ἀλεξάνδραν καὶ ἕλενον οὓς ἐν τῷ τοῦ θυ-
μβραίου ἡλίου ἀπόλλωνος ναῷ ἐκόμισαν καὶ τὰ τού-
των ἐτέλουν γενέθλια, συμποσιάσαντες δὲ καὶ κωμά-
σαντες παννύχιοι ἐν τῷ ναῷ περὶ τὴν ἑσπέραν πρὸς
τὴν πόλιν καὶ τὰ ἀνάκτορα ὑπεχώρησαν λήθῃ κατά

τὰ ἀνάκτορα

τινας ἐάσαντες τοὺς παῖδας ἐν τῷ ναῷ. κατ' ἐμὲ δὲ οἱ
κατὰ γνώμην τούτου ἐξ ἔθους κρατοῦντος ἐποίησαν ἔκ τι-
νων γὰρ συμβαινόντων ἐγίνωσκον ὁποῖοί τινες ἀποβαῖεν
οἱ παῖδες. οὕτω γοῦν καὶ οἱ περὶ πρίαμον περὶ τοὺς ἀ-
ρρένους παῖδας ἐποίησαν, τῷ ἐπαύριον δὲ τῷ ναῷ
προσελθόντες ὄφεις ἐσπειραμένους τοῖς παισὶν εὗρον καὶ
τὰ αἰσθητήρια τούτων καθαίροντας μηδὲν δὲ λυμαινο-
μένους αὐτούς. ἀπόλλων δέ τις χρησμολόγος καὶ μάντις
ὑπάρχων ἐν τῷ ῥηθέντι ναῷ τοῦ ἡλίου μαντικοὺς ἔφη γε-
νέσθαι τοὺς παῖδας ὃς καὶ αὔξην λαβόντας ἐδίδασκε

αὔξη

τὴν μαντικήν. ὑπισχνεῖτο δὲ τῇ κασσάνδρᾳ ἀφ' οὗ συγγίνοι-
το αὐτῷ ἀρίστην αὐτὴν μάντιν ποιῆσαι, μὴ πειθομένης
δὲ ἐκείνης τοῦτο ποιῆσαι ἐκήρυξεν ἐκεῖνος ὁ χρησμολόγος
ἀπόλλων ὡς οὐ μάντις ἐστὶν ἡ κασσάνδρα, μαινομένη
δὲ καὶ παράφρονα φθέγγεται. ὅθεν καὶ ὁ πατὴρ ἐς περιόροφ[ον]

λόχος ἤτοι ἄγγελος

οἴκημα καθείρξας αὐτὴν προσέταξέ τινα λοχὸν ἤτοι ἄγγελον
ἔξωθεν καὶ ἀκροώμενον ταύτης, αὐτῷ ἀπαγγέλλειν. ὃς ἄγγε
λος μονῳδῶς καὶ μονοπροσώπως τῷ πριάμῳ καταλέγει
τὸ λαληθὲν τῇ κασάνδρᾳ, πᾶν ἀφηγεῖται λέγων αὐτῷ
λέξω σοι ὦ πρίαμε ἀληθῶς περὶ πάντων τῶν λαληθέν
των τῇ κασάνδρᾳ, ὅσων ἐγὼ αὐτὸς μνημονεύω καὶ οὐκ ἀπο

ἀποδεδράκασι

δεδράκασί μου τὴν μνήμην, εἰ δὲ εἰς μῆκος ὁ λόγος ἔλ
θοι συγγνωμόνησον· πολλὰ γὰρ ἐκείνη μοι ἠνύξατο λέγουσα, καὶ
δὴ οὖν μὴ ἄκουε· ἐγὼ δὲ ἀπάρχομαι λέγειν. ἡ μὲν ἡ
μέρα ἤδη ὑπέλυσεν ἐξ ὠκεανοῦ ἀνατέλλουσα, οἱ ναῦ

ἀπόγεια

ται δὲ οἱ μετ᾽ ἀλεξάνδρου λύσαντες τὰ ἀπόγεια, καὶ ἀνα
σπάσαντες τὰς ἀγκύρας καὶ πετάσαντες τὰ ἱστία κώπαις
τὴν θάλασσαν ἔτεμνον, ἐφέροντο δὲ πλέοντες ἀρκτικοῦ
πνέοντος ἀνέμου ἐκ τῶν καλυδνῶν ἀπὸ τοῖ βωικὰ
νησίδρια, ἡ δὲ κασάνδρα ἐκ τοῦ ὑψηλοῦ πετροφόρου
θαλάμου αὐτῆς τὰ κατὰ βοιὰν ἀπάρχεται θρηνωδεῖν
οὕτως. Ἀλλὰ ταῦτα μὲν ἀρκούντως ἐρρέθη. λέξω δὲ
καὶ περὶ τῆς ἐπιγραφῆς, διατί λυκόφρονος ἀλεξάνδρα
ἐπωνομάσθη τὸ παρὸν ποίημα· πρὸς ἀντιδιαστολὴν
τῶν λοιπῶν τοῦ λυκόφρονος συγγραμμάτων, ἐποίησε γὰρ
ὅτι ξδ. ἢ ξς. βιβλίων ἐποίησε δράματα. Κασάν

περὶ κασάνδρας

δρα δὲ λέγεται παρὰ τὸ κάσιν ἀνδρεῖον ἔχειν τὸν ἕκτορα
αἰολικῶς δὲ γράφεται διὰ δύο σίγμα. σσ. ἀλεξάνδρα

περὶ ἀλεξάνδρας

δὲ ἢ παρὰ τὸ ἀλύξαι καὶ ἐκφυγεῖν τὴν ἀνδρῶν συνουσίαν
ἢ παρὰ τὸ ἀλέξειν καὶ βοηθεῖν τοῖς ἀνδράσιν ἤτοι τοῖς ἀν

λῆρα

θρώποις διὰ τοῦ χρησμοῦ. ταῦτα δὲ καὶ ψυχρὰ εἰσὶν ὅμως
δὲ διά τινας τῶν μωρῶν τὰ τοιαῦτα λῆρα ἀγαπώντων καὶ

περὶ λυκόφρονος

ταῦτα γεγράφαμεν. διατί δὲ λέγεται λυκόφρων; διὰ
τὸ αἰνιγματωδῶς καὶ πανούργως λέγειν, καὶ γὰρ οἱ λύκοι πα
νοῦργοι. Ὁ ἄγγελος ὃν ἀπέστειλεν ὁ πρίαμος ἀκοῦσαι
τῆς κασάνδρας φησὶ πρὸς τὸν πρίαμον ἃ ἤκουσε παρ᾽
αὐτῆς λέγων· λέξω τὰ πάντα νητρεκῶς ἅ μ᾽ ἱστορεῖς καὶ τὰ ἑξῆς.

Λέξω τὰ πάντα νητρεκῶς ἅ μ' ἱστορεῖς
ἀρχῆς ἀπ' ἄκρης, ἢν δὲ μηκυνθῇ λόγος
σύγγνωθι δέσποτα, οὐ γὰρ ἥσυχος κόρη
ἔλυσε χρησμῶν ὡς πρὶν αἰόλον στόμα,
ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοὴν
δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα
σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμουμένη

ἀρχὴ τῆς τοῦ σοφοῦ τζέτζου ἐξηγήσεως

Λέξω τὰ πάντα· τοῦτο τὸ σχῆμα καὶ ὁ ποιητικὸς τρόπος· παρεπιγραφὴ καλεῖται ὅτι ὁ ἄνωθεν οὐκ ἐφαίνετο. δείκνυται παρεπιγραφομένη ἐκ τῆς κεφαλῆς γραφῆς. οἷον ὁ πρίαμος ἐνταῦθα οὐ φαίνεται ἐρωτῶν. ἐκ δὲ τοῦ λέξω σοι δηλοῦται ὅτι προσηρώτησεν, οὗτος ὁ τρόπος καὶ τὸ σχῆμα ὡς ἔφην παρεπιγραφὴ λέγεται. οἱ δὲ τὸ προοίμιον ὀβελίζειν πειρῶντες δοκοῦσί μοι καὶ τοὺς ποιητικοὺς τρόπους ἠγνοηκέναι. τὰ πάντα ποῖα; ἃ ἀκούσας ἐκ τῆς κασσάνδρας ἐν μνήμῃ φέρω. νητρεκῶς ἀληθῶς παρὰ τὸ νη στερητικὸν μόριον καὶ τὸ τρέμω τὸ φοβοῦμαι. οἱ γὰρ τἀληθῆ λέγοντες οὐ δειλιῶσι καταλέγοντες ὡς οἱ ψευδόμενοι. ἅ μ' ἱστορεῖς ἤτοι ἅ με ἐρωτᾷς. τρισυλλάβως λέγεται ἅ μ' ἱστορεῖς. τὸ δὲ με ἀντίπτωσις ἀντὶ τοῦ ἐμοί· καὶ τὰ φωνήεντα τὰ μακρὰ κουφίζουσιν οἱ ποιηταὶ καὶ ι καὶ υ καὶ ἕτερα τοιαῦτα δύο γράμματα, ὡς ποιοῦσιν ἀντὶ τοῦ τοῖς ποσίν. συντάσσεται γοῦν ὡς ἔφην βιαίως ἅ μ' ἱστορεῖς ἢ ἅ με ἐρωτᾷς. ἢ ἅ μοι ἱστορεῖς ἢ κατὰ συναλοιφήν, οἱ δὲ ζεύγουσιν εἰς τὸ νητρεκῶς καὶ ἀφ' ἑτέρας ἀρχῆς λέγουσι τὸ ἅ μ' ἱστορεῖ ἤτοι ἱστορῶν καὶ ἀκούων μανθάνει. μηκυνθῇ μακρὸς μακρυνθῇ καὶ ἰωνικῶς μηκρωνθῇ καὶ ἐκθλίψει τοῦ ρ αἰολικῶς μηκυνθῇ. Οὐ γὰρ ἥσυχος ἡσυχία [illegible]

παρεπιγραφή

Σπεύσω

# ut illud theocriti κἤνα μ' ἀποθάνω quod interpres theocriti exponit καὶ ἢν μὴ ἀποθάνω

μηκυνθῇ
μακρυνθῇ
μηκρωνθῇ

καὶ
ἁρμοδία γὰρ ἡ σιωπὴ ταῖς γυναιξὶ καὶ μὴ τοῖς μόνον παρ-
θένοις ὡς φησὶν ὁ σοφοκλῆς· γύναι γυναιξὶ κόσμον
ἡ σιγὴ φέρει. λῦσε· διχῶς ταῦτα, ἢ οὕτως ἥσυχος
ὑπάρχει ἡ κόρη καὶ σιγηλὴ ἐνταῦθα, ἢ οὕτως οὐ γὰρ ἥ-
συχος κόρη ἤλυσε καὶ ἔπαυσεν ἀπὸ τῶν χρησμῶν τὸ
αἰόλον στόμα ὡς πρίν. αἰόλον τὸ ποικίλον ἀπὸ
αἰόλου πολυτρόπου ὄντος ὡς τὸ δαίδαλον ἀπὸ τοῦ
ἀνδριαντοποιοῦ δαιδάλου. αἰόλον δὲ στόμα ἐστὶ
διὰ τὴν ποικιλίαν καὶ στροφὴν τῶν αὐτῶν χρησμῶν.
στόμα παρὰ τὸ τέμνω τὸ κόπτω τὸ τέμνον τὰ σιτία.
ἄσπετον· πολλὴν ἀπαρακολούθητον ἐκ τοῦ ἀσπῶ τὸ
κατασπῶ ἢ μεταλαμβάνω ἣν οὐ δυνάσθαι τις μεταλα-
βεῖν καὶ νοῆσαι ἢ ἥτινι οὐ δύναταί τις παρακολουθῆσαι
διὰ τὸ πλῆθος τῶν λεγομένων. χέασα· βοτανικὴ ἐστὶν
ἡ λέξις καὶ μεταφορικὴ ἀπὸ τῶν χεομένων ὑδάτων.
δαφνηφάγων· ἢ μάντεων ἢ μαντικῶν ἐκ λαιμῶν. λη-
ροῦσι δὲ ὅτι οἱ μάντεις δάφνας ἐσθίοντες ἐμαντεύοντο
ἵνα τῇ ὀπωπῇ καὶ τῇ ὀσφρήσει γανύμενος ὁ θεὸς ἀν-
τιδίδωσιν αὐτοῖς καὶ τὰς θεοπροπίας, ἡ δὲ ἱστορία ἡμῖν
δηλώσει

ἱστορία περὶ δάφνης

Λάδων ὁ ἐν ἀρκαδίᾳ ποταμὸς τῇ γῇ συγγενόμενος ἐγέννη-
σε δάφνην πάνυ ὡραίαν τῷ εἴδει. ταύτης ἐραστὴς ἀ-
πόλλων ἐδίωκεν ~~ἀπόλλων~~ αὐτήν, ἡ δὲ συλλαμβάνε-
σθαι μέλλουσα ηὔξατο τῇ μητρὶ αὐτῆς γῇ, ἡ δὲ χανοῦ-
σα ὑπεδέξατο αὐτήν, ἡ γῆ δὲ ἀπόλλωνα παραμυ-
θουμένη ὁμώνυμον αὐτῇ φυτὸν ἀνέδωκεν ὃ καὶ δάφνη
καλεῖται. ἔτι δὲ ἀειθαλὲς καὶ μηδέποτε μαραινόμενον
ἐστὶ καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ ἀπόλλωνος ἔμεινεν
ἀπόλλων δὲ ἐκ τοῦ αὐτοῦ φυτοῦ τῶν φύλλων στέφανον

μὴ τοῖς μόνον

αἰόλον.

στόμα πόθ

ἄσπετον

δαφνηφάγων

Daphnes fabula

.: ἡ γῆ τὴν κόρην

σώφρας ἐστεφανώσατο διὰ τὸν τῆς ὁμωνύμου κόρης ἔρωτα. ὅθεν καὶ τὰ ἐν τῷ ναῷ τοῦ ἀπόλλωνος στέμματα ἀπὸ δάφνης ἦσαν κατεσκευασμένα. ὅθεν ληροῦσιν ὅτι οἱ μάντεις δι' εὐφροσύνην ἀπόλλωνος δάφνας ἤσθιον καὶ ταῦτα μὲν τὰ ληρώδη καὶ μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἐστίν· οἱ χρησμολόγοι καὶ μάντεις δάφνης φοροῦντες στεφάνους ὡς ἀλεξιφαρμάκου ὄντος τοῦ φυτοῦ καὶ ἀλεξικάκου καὶ οὕτω χρήζοντες τοὺς χρησμούς, λέγοντες ~~δὲ~~ καὶ λαμβάνοντές τι ἐξ αὐτῶν, καὶ οὕτω διατρεφόμενοι τὸν μῦθον ἐξέθηκαν ὅτι δαφνηφάγοι εἰσίν ἤτοι ἐκ τοῦ στεφανοῦσθαι δάφνῃ καὶ λέγειν τοὺς χρησμοὺς ἔχουσι τὰς τροφάς

τῶν ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω
κλύοις ἂν ὦναξ. κἀναπεμπάζων φρενὶ
πυκνῇ. διοίχνει δυσφάτους αἰνιγμάτων
οἴμας τυλίσσων ᾗπερ εὐμαθὴς τρίβος
ὀρθῇ κελεύθῳ τἀν σκότῳ ποδηγετεῖ
ἐγὼ δ' ἄκραν βαλβῖδα μηρίνθου σχάσας
ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν.
πρώτην ἀράξας νύσσαν ὡς πτηνὸς δρομεύς

ἅσσα καὶ ἅττα ἀντὶ τοῦ ἅτινα, διὸ μετὰ τοῦ λόγου δασύνεται. ἄττα δὲ ἀντὶ τοῦ τινά, ψιλοῦται, ἐμοὶ δὲ καὶ τοῦτο δασύνεσθαι δοκεῖ. τὸ δὲ ἄττα ἀντὶ τοῦ τροφεὺς λέγω ψιλοῦται. θυμός παρὰ τὸ θύειν καὶ τὸ αἷμα, θυαμός καὶ θυμός. κλύοις ἀντὶ τοῦ κλῦθι ἀττικῶς. τὸ δὲ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ. ὦναξ ἀντὶ τοῦ ὦ ἄναξ δωρικῶς ὀξύνεται. ~~καὶ ἔστι τὸ ν ψιλὴ ἀντὶ τοῦ ἐκθλιβέντος α.~~ τὸ γὰρ α οἱ δωριεῖς εἰς ω τρέπουσιν· τὸν ἄνθρωπον ὤνθρωπον λέγοντες καὶ τὸ ἄναξ ὦναξ καὶ τὰ ὅμοια οὕτως. εἰ δὲ ἐστὶν ἀττικὴ συναλοιφὴ ἀντὶ τοῦ ὦ ἄναξ περισπᾶται καὶ ἔστι τὸ ‡ ν ψιλὴ ἀντὶ τοῦ ἐκθλιβέντος α. · κἀναπεμπάζων

ἅσσα,
ἅττα.
ἄττα
ἄττα,
θυμὸς πόθ(εν)

‡ Nota spacium uocare psilen quē antiquiores grāmatici apostrophū uocant quod & sup demonstrauit cum dixit καὶ τὰ φωνήεντα δὲ τὰ μακρὰ κουφίζουσιν οἱ ποιηταί.

πεμπάζειν

κυρίως τὸ κατὰ πέντε πέντε μετρεῖν. νῦν δὲ τὸ ἀναπεμ-
πάζων ἀντὶ τοῦ ἀναλογιζόμενος κεῖται καὶ ἔστιν ἡ φωνὴ

πυκνός .η. ον.

αἰολική. Φρενὶ πυκνῇ φρονιμωτάτῃ. Διοίχνει πο-

Διοίχνει

ρεύου διέρχου βοιωτικὴ δὲ ἡ λέξις ἐστίν. Δυσφάτους

Δύσφατος

δυσλέκτους δεινάς. Αἰνιγμάτων αἰνίγματα καλεῖ
τὰ χρησμωδήματα τῆς κασάνδρας. Οἴμας τυλιῶν

Οἶμος, ὁδός
οἴμη. ᾠδή

ὁδοὺς ἐρήμων, κἀνταῦθα βοιωτικῶς οἴμους καὶ ὠδὰς
λέγων τὴν ἑρμηνείαν τῶν λόγων τῶν τῆς κασάνδρας (δείκνυσι). ἢ
οἴμας τὰς ᾠδάς. οἶμος γὰρ ἡ ὁδός, οἴμη δὲ ἡ ᾠδή.
Ὀρθῇ κελεύθῳ ῥητορικῶς δὲ πάντως τὴν βοιωτὴν ἐφύλαξε
καὶ ὡς ἀπὸ ὁδοῦ λέγει πόρευσιν. βίβον δὲ καὶ ποδηγίαν
τὴν ἀνεύρεσιν καὶ μάθησιν τῶν πλούτων ~~τῶν πλούτων~~ τῆς
κασάνδρας αὕτη γάρ φησιν ἡ ὁδὸς καὶ τὰ ἐν σκότει καὶ ἀφα-

ποδηγετεῖν

νῆ ὄντα εὑρίσκει. Τὸ δὲ ποδηγετεῖ ἀπὸ τῶν κυνῶν με-
τηνέχθη. ἕπονται γὰρ οἱ ~~κυ~~ κύνες τοῖς τῶν θηρίων ἴχ-
νεσιν ἐν τοῖς κυνηγίοις, τινὲς δὲ προσακτικῶς ἀναγινώσ-
κουσι ὅπου τις εὐμαθὴς βίβος ἡ ὁδὸς ~~α~~ ἐπὶ τὰ σα-
φῶς ἔχοντα λέγει σε. Ἐγὼ δ' ἄκραν ἐπ' ἀλληγορον
μεταφέρηκεν θεωρικῶν καὶ ἱππικῶν ἀγώνων καὶ φησὶν

ἀφετηρεία

ἄγω δὲ τὴν ἄκραν ἤτοι τὴν πρώτην βαλβίδα τὴν ἀφετηρεί-

κάγκελον

αν τὸ κάγκελον χαλάσας καὶ ἀνοίξας διὰ τοῦ μηρίνθου ἢ

μήρινθος

τοῦ σχοινίου ἄρχομαι εἰς τὰς διεξόδους καὶ ὁδοὺς τῶν λο-

λογίον

ξῶν λογίων τῆς κασάνδρας τὴν πρώτην ἀρράξας νύσσαν
Τὴν πρώτην νύσσαν. ἡ ἔκκρουσιν καὶ ἀπαρχὴν καὶ τὸ

ἀρράξας

προοίμιον ἀρράξας καὶ ἐπικροτήσας καὶ κτυπήσας του-
τέστιν ῥητορικῇ μεγαλοφρονίᾳ ἀρξάμενος λέγειν καὶ

νύσα

τρέχειν τοῖς λόγοις ὡς πτερωτὸς καὶ ταχὺς δρομεύς. νύσσα
λέγεται ἡ ἀφετηρεία τῶν ἵππων. τοὺς μὲν ἵππους κεν-
τοῦσιν οἱ παραβάτες σιδηροῖς κέντροις ὡς ἂν ὀξυτέρως
ἐκπηδήσωσι τῇ πληγῇ. τοὺς δὲ πεζοὺς λόγοις νύ-
ττουσιν εἰς δρόμον καὶ οὕτω μὲν ἡ ἀφετηρία νύσσα καλεῖ-
ται

ὁ δὲ καμπτὴρ νύσσα καλεῖται παρὰ τὸ νεύω νεύσσα καὶ νύσσα· ~~νεο~~ νεύουσι γὰρ περὶ τὸν καμπτῆρα καὶ κάμπτουσι. ἄντεμι λοξῶν τουτέστιν ἄρξομαι λέγειν τὰ λοξὰ ταύτης χρησμῳδήματα. τοῦτο δὲ τὸ σχῆμα ῥητορικόν ἐστι ~~τοῦτ~~ καλεῖται δὲ προαναφώνημα καὶ ὑπόσχεσις καὶ προκατασκευὴ καὶ προκατάστασις καὶ προσοχὴ καὶ περιήγησις. προαναφωνεῖ γὰρ καὶ ὑπισχνεῖται καὶ προκατασκευάζει ὅτι λοξῶς καὶ αἰνιγματωδῶς καὶ δυσκόλως μέλλω φράζειν τὰ τῆς διηγήσεως τοῦ ποιήματος. διὰ τί δὲ μέλλω τοῦτο ποιεῖν; κατὰ μίμησιν τῆς Κασάνδρας ὥσπερ ἐκείνη λοξῶς καὶ σκολιῶς ἔλεγε. δεῖ γὰρ τὸν ῥήτορα καὶ ποιητὴν ἀπομιμεῖσθαι τὰ ἤθη τῶν προειρημένων προσώπων, καὶ μὴ εἶναι καθάπερ Εὐριπίδης φιλοσόφους ἐπάγων ἐνίοτε βαρβάρους, γυναῖκας καὶ δούλους βραχύτατα ἀντιλέγοντας, καὶ βασιλεῖς προσαιτοῦντας μετὰ σπυρίδων ἢ πήρας ὅπερ οὐκ ἂν γένοιτο. τίς γὰρ οὐκ αἰδεσθήσεται βασιλέα καὶ μετὰ τὴν ἀπὸ τῆς βασιλείας καθαίρεσιν σπυρίδα κατέχειν καὶ ἄρτους ζητεῖν. τίς αὐτὸν ἐκστάντα οὐκ ἂν καὶ οὕτως ἐλεήσειε τὴν προτέραν τύχην ἐκείνου σκοπῶν. τοιαῦτα οὖν φησὶν ὁ Εὐριπίδης διὸ καὶ μεμπτός ἐστιν ἐν τούτοις ὡς μὴ τηρῶν τῶν ἠθῶν τὴν κατάστασιν, τὸ δὲ μεῖζον ὅτι πολλάκις

Ἠὼς μὲν αἰπὺν ἄρτι Φηγίου πάγον
κραιπνοῖς ὑπερπέτατο Πηγάσου πτεροῖς
Τιθωνὸν ἐν κοίτῃσι τῆς Κέρνης πέλας
λιποῦσα, τὸν σὸν ἀμφιμήτριον κάσιν.
οἱ δ' οὖσα γρώνης εὐγάληνα χρήματος
ναῦται λίαζον, κἀπὸ γῆς ἐσχάζοσαν
ὑσπληγγίδας. αἱ δὲ παρθενοκτόνον Θέτιν
ἰουλόπεζοι θεῖνον εὐῶπες σπάθαις

Εὐ

Ἀπομιμεῖσθαι τὰ ἤθη τῶν προειρημένων προσώπων

Contra Euripidem quod non servaverit decor. personar.

πηγαρσοχρῶτες αἱ φαλακραῖαι κόραι
ὑπὲρ καλυδνῶν λευκὰ φαίνουσαι πτίλα
ἄφλαστα καὶ φώσσωνας ἀρτυωμένους
ἀπαρκτίαις πρηστῆρος αἴθωνος πνοαῖς
ἡ δ' ἔνθεον χάλασα βακχεῖον στόμα
ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων
τοιῶνδ' ἀπ' ἀρχῆς ἦρχε κασάνδρα λόγων

Ἠὼς μὲν αἰπεινὸν· ἐντεῦθεν ἀπάρχεται τῆς διηγήσεως καὶ φησίν, ἡ ἡμέρα μὲν ἤδη τὸ φήγιον ὄρος τοῦ ὠκεανοῦ ὑπερεπέτατο ἐποχουμένη τῷ πηγάσῳ ἵππῳ τὸν σὸν ἀδελφὸν τὸν τιθωνὸν καταλιποῦσα περὶ τὴν κέρνην ἥτις ἐστὶν νῆσος ὠκεανῖτις .: ἠὼς σημαίνει δ. τὸν ἀπὸ πρωῒ μέχρι τοῦ γεύματος καιρόν. τὴν ὅλην ἡμέραν. τὸ νυχθήμερον. καὶ τὸ καθολικώτερον αὐτὸ τὸ λέγειν ὄνομα ποῦς καὶ ἡμέρας ὅπερ οἱ μυθογράφοι σωματοειδῆ θεὰν εἶναι ~, φήγιον ὄρος περὶ τὸν ὠκεανὸν ἤτοι δρῦς ἔχον, τὸ δὲ φηγὸς ἡ δρῦς παρὰ τὸ φαγεῖν πρὸ γὰρ τῆς εὑρέσεως τοῦ σίτου βαλάνους καὶ ἀκρόδρυα τουτέστιν ὀπώρας ἤσθιον οἱ ἄνθρωποι. πάγον τὸ ἀκρωτήριον. κραιπνὸν τὸ ταχύ, παρὰ τὸ ἐφόρμους καὶ εἰς κάρα πνέειν. ὑπερποτᾶτο ὑπερεπέτατο. πηγάσου πτεροῖς περιφραστικῶς τὸν πήγασον. ὁ ὅμηρος φυσικώτερος καὶ σαφῶς καὶ ἀληγορικῶς γράφων ἵππους ἡμέρας φησὶ λάμποντα καὶ φαέθοντα. οἱ δὲ νέοι πηγάσῳ ἐποχουμένην ψάλλουσι μυθικῶς ὥσπερ καὶ ὁ λυκόφρων, ἔχεται δὲ καὶ τῆς ἀληθείας, ἣν μετὰ τὴν μυθικὴν ἱστορίαν ἐρῶ., Ὁ πήγασος ἵππος ὁ μυθευόμενος λέγεται γεννηθῆναι τοιῶσδε. ὡς γὰρ ὁ περσεὺς εἰς τὰς γοργόνας προσάξει τῆς ἀθανασίας τὴν μὲν σθενὼ καὶ εὐρυάλην ἀθανάτους οὔσας παρέδραμε, καρατομεῖ δὲ τὴν μέδουσαν

Κέρνη νῆσος
ἠώς
*
φήγιον ὄρος
πάγον
κραιπνόν
Pegasi fabula
οὗτος

ἐκ τοῦ τραχήλου δὲ ταύτης, ὅ τε πήγασος ἵππος ἀνέθορεν
ὑπόπτερος ὤν, καὶ ὁ χρυσάωρ ἄνθρωπος χρυσοῦν ἔχων χρυσάωρ
ἄορ κρατῶν. βελλεροφόντης δὲ ὁ κορίνθιος ὁ καὶ ἱππό
νους πρώην καλούμενος ἀνὴρ ὑπάρχων φρυγί. ἄκων
ἀνελὼν τινὰ βέλλερον ἢ τὸν ἴδιον ἀδελφὸν τὸν ἠλιάδην
ἢ πειρεῖναν ἢ ἀλκιμένην ἐλθὼν εἰς ἄργος πρὸς προῖτον
καθαίρεται:. ἄντεια δὲ ἡ σθενέβοια, γυνὴ προίτου ἐρω
τικῶς ἐπεμαίνη βελλεροφόντῃ. ὡς δὲ οὐκ ἐπείσθη συγ
γενέσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς προίτῳ ὡς πει
ράζων αὐτήν. προῖτος δὲ αὐτοχειρίᾳ τοῦτον ἀνελεῖν οὐκ
ἠθέλησε κατὰ παλαιὸν ἦθος ἐπικρατοῦν τὸ μὴ συμ
φαγόντας ἀλλήλοις παραβλάπτων θνήσκειν εἰ μή που τοῦ
το ἀκουσίως συμβῇ, διὰ τοῦτο καὶ προῖτος ἀνελεῖν βελλε
ροφόντην οὐκ ἠθέλησεν, πέμπει δὲ αὐτὸν εἰς λυκίαν
πρὸς ἰοβάτην τὸν πενθερὸν αὐτοῦ γράμματα δοὺς αὐ Iobates socer proe[ti]
τῷ κατ' αὐτοῦ περιέχοντα τὴν τῆς αἰτίας διαβολήν.
καὶ ὁ ἰοβάτης ὁμοίως ἡμέρας ἐννέα συνεστιασάμενος
αὐτῷ τῇ δεκάτῃ γράμματα δεξάμενος, ἐπεὶ μὴ δὰν :: ῥ. δεξάμενος
τὸς εἶχεν αὐτὸν ἀνελεῖν διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ, κε
λεύει τοῦτον ἀπελθεῖν καὶ πολεμῆσαι χίμαιραν ἔπειτα
σολύμοις ἔπειτα ἀμαζόσι, οἱ θεοὶ δὲ τούτῳ ἐπ
τερωμένον ἵππον ὃν φασι πήγασον ἀπέστειλαν. ᾧ
ἐποχηθεὶς τὴν χίμαιραν ἀνεῖλεν ἐνθεὶς μόλιβδον τῷ αὐ
τοῦ δόρατι ἐπιτεθεὶς καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέου
τι στόματι ἀφ' οὗ πυρὸς ὁ μόλιβδος συντακεὶς ἐκεί
νην ἀπέκτεινε, καὶ γὰρ προϊδόντα τινὰ τὸ πῦρ τῆς χιμαί *
ρας φυλάξασθαι καθὰ φησὶ λυσί ὁ ῥήτωρ μυθικῶς
οὕτω γοῦν ἐκείνην ἀνεῖλε. τοὺς δὲ σολύμους καὶ τὰς
ἀμαζόνας πολέμῳ. ὑποστρέφοντα δὲ ἐνέδρᾳ λυκί
ων ἔμελλεν αὐτὸν ἀνελεῖν, ὡς δὲ καὶ τοὺς ἐνέδρᾳ ἀνεῖ
λεν ἰοβάτης γαμβρὸν ἔχειν ἐπὶ φιλοπονίᾳ τῇ θυγα
τρί

ἀλήϊον πεδίον emē-
do ἀλήϊον ex homero in
sexta iliadis rhapsodia ubi
late hanc bellerophontis
historiam prosequitur.

Dies petijt a ioue pega-
sum equum quo, uecta
circulum suum pageret

αὐτοῦ καὶ τελευτῶν αὐτῷ τὴν βασιλείαν καταλιμπάνει. βε-
λλεροφόντης δὲ ὥς φασί τινες ἐπαρθεὶς τοῖς κατορθώμασιν
ἠθέλησε σὺν τῷ πηγάσῳ τὸν οὐρανὸν περιπολεύσασθαι. ζεὺς
δὲ οἴστρῳ τῷ πηγάσῳ βαλὼν, ἐποίησε τὸν βελλεροφόντην ἀ-
ποσφαιρίσαι ἀπὸ τῶν ἑαυτοῦ νώτων καὶ καταβαλεῖν αὐτὸν εἰς
τὴν γῆν. καὶ δὴ περὶ τὸ ἀλήϊον πεδίον κατενεχθέντος τοῦ
βελλεροφόντου καὶ παραφρονουμένου τυφλοῦ ἀπὸ τῆς πτώ-
σεως ὁ πήγασος ἄνω περιεπολεῖτο καὶ κάτω. ἡ ἠὼς ἡμέρα τοῦ-
τον παρὰ τοῦ διὸς αἰτεῖται ὡς ἂν ἐποχουμένη αὐτῷ
τὸν ἡμέριον κύκλον βαδίζῃ. ταῦτα δέ ἐστι τὰ ληρώδη
καὶ μυθικά. Ὅμηρος δὲ ἵππους ἡμέρας φησὶ λάμ-
ποντα καὶ φαέθοντα. ἵππος δέ ἐστιν ἡμέρας ἡ περιφέ-
ρουσα αὐτὸν ὀξεῖα τοῦ οὐρανοῦ κίνησις, ὑφ' ἧς λάμπει
καὶ φαίνει. καὶ ταῦτα μὲν τὰ ὁμηρικά. περὶ δὲ περσέως καὶ
γοργόνων καὶ πηγάσου λεκτέον. περσεύς ἐστιν ὁ ἥλιος καὶ
ἡ ὀξυκίνητος τοῦ οὐρανοῦ κίνησις. ἀθηνᾶ δὲ ὁ ἀὴρ καὶ ἡ
ἀναθυμίασις ἡ κινοῦσα τὸν οὐρανόν· ἐξ ἀναθυμιάσεως
γὰρ κινεῖται. περσεὺς δὲ λέγεται παρὰ τὸ περιωπῶς
σεύεσθαι καὶ ὁρμᾶν. τοῦτον ἡ ἀέριος ἀναθυμίασις αὐ-
τῇ πέμπει ἐπὶ τὰς γοργοὺς ἤτοι τὴν θάλασσαν καὶ τὸ σύστη-
μα τῶν ὑγρῶν γοργόνη λεγομένη διὰ τὴν ταύτης κατά-
πληξιν· γοργὸν γὰρ τὸ καταπληκτικόν, πέμπει δὲ τοῦ-
τον ἀναλοῦν τὴν μέδουσαν τὴν λεπτομερεστέραν οὐσίαν
ὡς ἐξισουμένην αὐτῇ καὶ γὰρ ἡ πᾶσα θάλασσα ἀερώ-
δης ἐστί· τὸ γὰρ λεπτότερον αὐτῆς εἰς ἀέρα μεταβάλλεται:·
ὁ γοῦν περσεὺς ὁ ἥλιος οὕτω καλούμενος κινούμενος
τῇ οὐρανίῳ φορᾷ, τὴν μὲν σθενὼ καὶ τὴν εὐρυάλην ἤτοι
τὸ ἀθάνατον καὶ τὸ καταμένον πλάτος τῆς θαλάσσης ἐκ-
τεταμένον οὐκ ἀναιρεῖται ἢ οὐ μεταστρέφει οὐδὲ ἀ-
νιμᾶται ὡς ἀθάνατον ὡς μὴ μετασχοῦσαι θανάτου
τὴν δὲ μέδουσαν μόνην ὡς θνητὴν ἀναιρεῖ πλήττων

τῷ ξίφει τὸ βασιλικώτατον καὶ λεπτὸν τῇ ὀξείᾳ κινήσει μετὰ
ποιεῖ καὶ ἀνιμᾶται. τῇ δὲ καρατομήσει ἐκ τοῦ τραχήλου
ὁρμᾷ χρυσάωρ καὶ πήγασος. ἀνιμωμένου γὰρ τοῦ ἡλίου
καὶ τοῦ ἀέρος τὸ κεφαλαιῶδες ὡς ἔφην καὶ λεπτότερον καὶ ἀτ-
μῶδες συμβαίνει τὸ βαρύτερον καὶ ἀναφερόμενον κάτω
πηγάζειν καὶ χέεσθαι· ὃ καὶ πήγασον ὠνομάκασιν διὰ τὸ
κατωφερές, κατωφερῆ γὰρ τὰ ὕδατα. τὸ δὲ λεπτομε-
ρέστερον καὶ ἔτι εἰς τὸ πυρῶδες μεταβάλλει ὃ δὴ καὶ χρυσά-
ορα κεκλήκασιν. τούτῳ γοῦν τῷ ἐξ ὕδατος ἀναφερο-
μένῳ πηγάσῳ τῇ κινήσει τοῦ οὐρανοῦ τῇ ἡλιακῇ ἀντι-
κινήσει ἐποχουμένῳ συναναφέρεται ἡ ἡμέρα. σφαιροει-
δὴς γάρ ἐστιν ὁ οὐρανὸς καὶ κινεῖται ἀπὸ ἀνατολῶν ἐπὶ
δυσμὰς συμπεριφέρων αὐτῷ καὶ τὸν ἥλιον, οὗ δὴ ἡλίου
δύναντος εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον ἔνθεν τοὺς πηγά-
σους ἀτμοὺς ἀνασπᾷ καὶ ἡμέραν ἐργάζεται. οὕτως ἡμῖν
δοκεῖ τοῖς παλαιοῖς ἔχειν ταῦτα μυθουργήματα. οὐ γὰρ
πού τις ἐπτερωμένον ἵππον εὕρηκεν ἀλλὰ πλοῖα
ἐμβὰς οὗ πτερὰ τυγχάνει τὰ λαίφη. ~~…~~ πήγασος
δὲ ἡ κλῆσις ὡς διὰ τῶν πηγαζόντων ὀχούμενον ὑδά-
των τὴν χίμαιραν ἀναιρεῖ τὴν τρικέφαλον καὶ πυρίπνουν
ὅπερ ἀλληγορεῖται ῥητορικῶς. χίμαιρα ἦν γυνὴ θυγάτηρ
ἀμισοδώρου περὶ τὸν τόπον λυκίας ἐπάρχοντος, αὕτη
ἀδελφοὺς εἶχε λέοντα καὶ δράκοντα καὶ τὰς λυκίας ἀκρο-
λὰς κατέχοντας μετὰ τῶν ὑπ' αὐτῇ ἀνήρουν τοὺς παρι-
όντας. διὰ γοῦν τὴν ὁμόνοιαν τρικέφαλον θηρίον τούτους
ἐκάλεσαν, διὰ δὲ τὸ πολεμικὸν καὶ δραστήριον πυρίπνουν.
τούτοις γοῦν βελλεροφόντης ἀντήσας μόλιβδον ἐμβάλλει
τοῖς αὐτῶν στόμασι ἤτοι χαλινὸν δουλείας, πρόσθεν
δὲ ὁ λέων ἐπολέμει, ἐκ τοῦ ὀπισθίου ὁ δράκων,
κατὰ δὲ τὸ μέσον ἡ χίμαιρα ἦν ὡς ἐκείνων ἀδελφὴ
νεωτέρα. ἢ ἄλλως τὴν χίμαιραν νοητέον ὡς ὅμηρος

∴ emendo Ami
σοδώρου ex
Palaephato.

ὑπεμφαίνει τοὺς σολύμους ἔθνος μάχιμον οὓς ἀπεικάζει
ἢ λέοντι διὰ τὸ κατὰ πρόσωπον γενναιοτάτως μάχεσθαι
ἢ τὰς ἀμαζόνας ὡς χιμαίρᾳ ἤτοι αἰγὶ παρεικάζει
διὰ τὸ κρημνοβατεῖν αὐτὰς δίκην αἰγῶν καὶ ἐν κρημ-
νοῖς κατοικεῖν τὴν ἐνέδραν τῶν λυκίων τὴν κατ᾽ αὐτοῦ
εἰς ἣν διὰ τὸ λαθραῖον ὄφιν ἐκάλεσε. Πηγάσου πτε-
ροῖς ἀντὶ τοῦ ἵππου ὅτι ἐκ τοῦ ὑπὸ γῆν ἡμισφαι-
ρίου σὺν τῷ ἡλίῳ ἀνῆλθεν ἡ ἡμέρα ἐκ τῶν μερῶν τοῦ
ἑῴου ὠκεανοῦ πηγάσου πτεροῖς ὤφθη ~ ἡ δὲ τοῦ
βελλεροφόντου οὐρανόθεν ἐκ πηγάσου ἀποσφαίρισις
τοῦτο ἐστίν. ἐπαρθεὶς τοῖς ἀνδραγαθήμασιν οἷς πάν-
σιν ἐκεῖνος εἰργάσατο ἐδόκει τις ἡμίθεος εἶναι καὶ ὑ-
ψηλότερος τοῦ αἰθέρος ἐφρόνει ἀντιπνευσάσης δὲ
τῆς εὐδαιμονίας αὐτῷ εἰς ἣν ὅμηρος διαφησὶν ἄφνως
ὁ εὐτυχὴς ἐκεῖνος βοσπαιοῦχος δυστυχέστατος κατεφαί-
νετο. ἀποβαλὼν γὰρ τοὺς παῖδας καὶ ὥσπερ τυφλὸς
γεγονὼς πλανῶν περὶ τὴν ἐρημίαν τῆς λυκίας διῆγεν
ἥτις ἀλήιον ἀπὸ τῆς ἐκείνου πλάνης ἐκλήθη ἢ
καὶ τὰς φρένας ἀποβαλὼν καὶ τὸν νοῦν τυφλωθεὶς διῆγε
πλανώμενος. κατὰ γὰρ τὸν ἐπίχαρμον νοῦς ὁρᾷ
καὶ νοῦς ἀκούει τὰ δ᾽ ἄλλα πάντα τυφλά. Τιθωνοῦ
ἐν κοίτῃσι. κατὰ τὸ μυθικὸν καὶ τὴν ἱστορίαν ὁ Τιθωνὸς ἦν
ἀδελφὸς πριάμου ἀμφιμήτριος ὁ μὲν γὰρ πρίαμος ἦν
λευκίππης ὁ δὲ Τιθωνὸς ῥοιοῦς τῆς κασάνδρας υἱὸς ἢ
στρυμοῦς. ἀμφότεροι δὲ πατρὸς λαομέδοντος. φασὶ
γοῦν ὅτι τοῦτον τὸν Τιθωνὸν σεμνέωνον ἔσχεν ἡ ἡμέρα
ἐξ οὗ γεννᾷ μέμνονα καὶ ἠμαθίωνα. ἀθάνατον δὲ
τὸν Τιθωνὸν ποιήσασα ἐπελάθετο ποιῆσαι καὶ ἀγήρω
γηράσαντα δὲ τοῦτον ὡς ἐν ταλάρῳ καὶ λίκνῳ ἤτοι κου-
νίῳ αὐτοὶ περιστρεφόμενοι δίκην βρεφυλλίων καθεύδ(ειν)
εἰς τέττιγα μετέβαλε. ταῦτα μὲν μυθικώτερον λέλεκται

βελλεροφόντου πλάνος

ἀλήιον.

Mens uidet & mens audit
cetera omnia ceca.

Κουνίον · i. cuna.

ῥητορικῶς δὲ πρότερον ἀλληγορηταί· ὅτι ὁ Τιθωνὸς οὗτος τὴν ἡμέραν καὶ τὰ ἑῷα ἐπιλαμπρύνουσα παῖδας μὲν ἔσχε τοὺς προρρηθέντας· πολυχρονιώτατος δὲ ἐλέγοντο ὡς ὑπὸ τοῦ γήρως τούτου βύζεσθαι τεττάρω καθήμενον. ἐμυθεύσαντο γοῦν ὅτι ἡ ἡμέρα, τουτέστιν ἡ εὐκρασία τῶν ἑῴων ἀέρων συνέχουσα τοῦτον ἔσχεν καὶ ἀθάνατον ἐποίησεν ἡ ἡμέρα, καὶ τὸ φῶς τοῦτον ἐπήρθασε διὰ τὸ ὑπέργηρον αὐτὸν γεγονέναι. ὅθεν καὶ εἰς τέττιγα αὐτὸν μεταβληθῆναι φασίν. ὁ γὰρ τέττιξ καὶ ὁ ὄφις γεγηρακότες ἀποβάλλουσι τὸ γῆρας. καὶ ταῦτα μὲν ἀλληγορηθῇ ῥητορικῶς. φυσικῶς δὲ ἤδη λεκτέον. Τιθωνὸς τὸ πρωϊνὸν κατάστημα, ὅτι τιθέασι τὰ ὤνια καὶ ἐπὶ τὰ ἔργα χωροῦσιν οἱ ἐργαζόμενοι· ὅθεν καὶ ἡμέρας ἀνὴρ ὅτι τὰ ἀνδρώδη καὶ βιαστικὰ ἐν αὐτῇ γίνονται, οὐχ ὥσπερ ἐν νυκτὶ τὰ φιλανθρωπότερα καὶ ἀνέσιμα. οὕτω μὲν γὰρ ὡς ἔφη Τιθωνός ἐστιν ἡ ἡμέρα, μᾶλλον δὲ ἐκεῖνο τὸ τῆς ἡμέρας κατάστημα ὁπότε τὰ ὤνια τίθενται καὶ ἀγοραὶ ἵστανται. οὕτω μὲν ἔστι μυθικῶς τὸν Τιθωνὸν Πριάμου καλῶν ἀδελφὸν ἱστορίας γὰρ καὶ μύθους φροντίζει διδάσκειν τοὺς νέους βουλόμενος. Κοίτησιν κοίτη ἰωνικῶς ἐπὶ τὸ α εἰς η· μόνως δὲ καὶ τὸ ι προσγεγραμμένον. Κέρνη ἐπὶ τοῦ ὠκεανοῦ ἐπ' ἀνατολῆς ἄκρων ἢ καθεύδει ὁ Τιθωνὸς μετὰ τῆς Ἠοῦς. ὑποκάτω δὲ τὸ Φήγιον οὗ τὸν Πήγασον ἐποχεῖται ἡ ἡμέρα, λέγουσα διέρχεσθαι κατὰ γῆν. πτερωτὸν δὲ παρίστησι τοῦτον ὁ ποιητής. Ὄυσα τὰ σχοίνια παρὰ τὸ οἴω τὸ κομίζω οἶσα καὶ ἰωνικῶς οὖσα ἢ τὰ ἀπὸ τῆς οἰσοῦ φυτοῦ ἤτοι λύγου· πρότερον γὰρ ἀπὸ λύγου σχοίνους ἐποίουν πρὸ τῆς εὑρέσεως τῆς κανάβεως. Γρώνης κοίλης πέτρας παρὰ τὸ γρῶ τὸ ξέω καὶ σκάπτω γρώνη καὶ γρώνη. Χρεμάδος πέτρας ἐν ᾗ τὰ σχοινία τοῦ πλοίου δέδενται πρὸς τ

Left margin: :. σ. ἡμέρων · :. σ. ὁ... ι.

Right margin: ῥητορικῶς ἀλληγορία· τι. · :. σ. ὁ Πήγασος · φυσικῶς ἀλληγορία. · ✱ · ἰ αὐτόν · Ὄυσα · λύγον φυτ' ὅθεν λυγίζειν ὅτι πρότερον ἀπ' αὐτοῦ σχοίνους ἐποίουν · γρώνη

ὀλίσθηνον

χηλάς

λίαζ(ον)

βίβλος
βύβλος,
ἀφροδίτη
ἀφροδύτη
τεράδι(ον)
τεράδυ(ον)

ἐλάζοσαν. χαλκι
δικόν

ἀθάμαντος ἱστορία

ἀνατυθῆναι

ἀλίαις. ὀλίσθηνα. τὰ χηλωνὰ ποιοῦντα τὴν νεῶν κλυ
δονιζομένων ὁπότε δεθῇ καὶ στηριχθῇ ταῖς ἀγκύραις.
χηλὰς κυρίως ἡ μικρὰ πέτρα ἣν δύναταί τις τῇ χει
μάσασθαι καὶ λαβεῖν. καταχρηστικῶς δὲ τὴν παραθα
λασσίαν μεγάλην πέτραν ἑκάτερος τοῦ λιμένος πρὸς
ἣν ἀποδέουσι τὰς τῶν ὁλκάδων σχοίνους. λίαζον
τροπῇ τοῦ διχρόνου εἰς δίχρονον ὡς τὸ βίβλος βύ
βλος. ἀφροδίτη ἀφροδύτη. τεράδιον τεράδυον.
ἀπὸ γῆς ἐλάζοσαν ὑσπληγγίδας. ἢ. ἀπὸ γῆς ἀ
νέσπασαν τὰς ἀγκύρας ὅταν γὰρ μέλλωσι πλεῖν, ἀ
πὸ γῆς ἀνασπῶσι ταύτας. τὸ δὲ ἐλάζοσαν χαλκιδι
κὸν ἤτοι τῆς ἀττικῆς διαλέκτου. ὕσπληγξ καὶ τὸ
ὕστριξ κυρίως μάστιξ ἐκ χοιρείων τριχῶν συμπεπλεγ
μένη. καταχρηστικῶς δὲ πᾶσα μάστιξ καὶ τὸ βούκεντρον.
νῦν δὲ τὰς ἀγκύρας λέγει. αἱ δὲ παρθενοκτόνον μέχρι
τοῦ αἱ φαλακραῖαι κόραι συντακτέον οὕτω καθ' ἣν
διαγράφω τάξιν· τοῦ. πρῶτου. καὶ. β[ου]. καὶ τῶν λοιπῶν στοιχεί
ων. παρθενοκτόνον ἀθάμας αἰόλου τοῦ ἕλληνος
παῖς βασιλεὺς δὲ θηβῶν ἐκ νεφέλης γεννᾷ ἕλλην
καὶ φρίξον. εἶτα ἰνῶ γήμας γεννᾷ λέαρχον τοὺς πρώ
τους λέαρχον καὶ παλαίμονα τὸν μελικέρτην. ἰνοῦς δὲ
φρυγούσης τὸν πυρὸν διὰ τὸ μὴ ἀναφύεσθαι καὶ ὑπο
θεμένης τοῖς μάντεσι λέγειν ἀθάμαντι διὰ τοῦτο σῖτον
μὴ φύεσθαι μηδὲ τὰ λοιπὰ τῶν ἀροσίμων ὅτι τῶν
τῆς νεφέλης παίδων χρεία τοῖς θεοῖς ἀνατυθῆναι, ἀ
ναγκασθεὶς ὁ ἀθάμας φρίξον παρέστησε τῷ βωμῷ
σφαγιάσαι βουλόμενος. νεφέλη δὲ τὸν φρίξον καὶ τὴν
ἕλλην ἁρπάσασα καὶ παρ' ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κρι
ὸν ἔδωκεν τοῦτον τῷ φρίξῳ. ἐφ' οὗ φερομένων διὰ τοῦ
ἀέρος αὐτοῦ τε καὶ τῆς ἑαυτοῦ ἀδελφῆς τῆς ἕλλης συ
νέβη τὴν ἕλλην εἰς τὸ ὑποκείμενον καταπεσεῖν πέλαγος

καὶ ἀποπνῖξαι καὶ ἀπὸ ταύτης κληθῆναι Ἑλλήσποντον, ὅθεν καὶ
παρθενοκτόνον θεῖν καὶ θάλασσαν οὗτος τὸ Ἑλλησπόντιον ἐκάλεσε
πέλαγος. Φρίξος δὲ ἧκεν εἰς Κόλχους καὶ θύει ἐκεῖ τὸν κριὸν φυ-
ξίῳ Διί· τὸ δὲ δέρας ὁ Αἰήτης ἐν Ἄρεος ἄλσει καθήλωσε πε-
ρί τινα δρῦν. Φρίξος δὲ λαβὼν Χαλκιόπην τὴν Αἰήτου γυναῖ[κα]
Ἄργον. Μέλαν. Κάτιν. Φρόντιν. σωρὸν καὶ τὴν [illegible]. ὕστερον δὲ
Ἀθάμας μήνιδι Ἥρας ὅτι τὸν Διόνυσον ὡς κόρην διεθρέψε-
λαβὼν παρ' Ἑρμοῦ καὶ τῶν ἐξ Ἰνοῦς ἐστερήθη παίδων. αὐτὸς
γὰρ μανεὶς Λέαρχον τοξεύει· Ἰνὼ δὲ σὺν Παλαίμονι τῷ
καὶ Μελικέρτῃ ἥλατο εἰς τὴν θάλασσαν, Ἀθάμας δὲ ἐκπεσὼν
Βοιωτίας χρησμὸν ἔλαβε ἐκεῖ κατοικεῖν ὅπου ἂν ζώοις ἀ-
γρίοις ξενισθῇ. λύκοι δὲ περὶ τὴν ἀπ' αὐτοῦ κληθεῖσαν
Ἀθαμαντίαν ἰδόντες αὐτὸν ἔφυγον καταλιπόντες τὰ κρέ-
α τῶν προβάτων ἅπερ κατήσθιον. ἐκεῖ δὲ γήμας Θεμι-
στὼ τὴν Ὑψέως γεννᾷ Λεύκωνα. Ἐρυθρόν. Σχοινίαν καὶ
Πτῶνα. καὶ τὰ μὲν λοιπὰ πάντα τῆς ἱστορίας ἀληθεύουσι
τὰ δὲ περὶ κριοῦ μεμυθολόγηται. ὁ γὰρ Κριὸς ἄνθρωπος
ὢν φίλος τῇ Ἕλλῃ καὶ τῷ Φρίξῳ γνοὺς τὴν ἐπιβουλὴν τὴν
κατ' αὐτῶν ἐμβὰς εἰς πλοῖον μετὰ τούτων ἐφέρετο καὶ
ἡ μὲν Ἕλλη παρὰ τὸν Ἑλλήσποντον ἢ νόσῳ ἢ πεσοῦσα τοῦ
πλοίου τελευτᾷ, οὗτοι δὲ ἀφίκοντο παρὰ Κόλχους καὶ χρυ-
σώσαντες κριοῦ δέρμα, τὸν μὲν Κριὸν θύουσι Διί, τὸ δὲ
δέρμα τις ἄνθρωπος Δράκων ἐφύλαττε. Θέτις ἡ θάλα-
σσα, ὅτι εὐθέτου αἰτία· συναχθέντος γὰρ κατ' ἀρχὰς τοῦ
ὕδατος ἐφάνη ἡ ξηρὰ καὶ γέγονε τοῦ παντὸς εὐκοσμία.
Ἴουλος σκώληξ πολύπους μιαρὸς περὶ τείχη ἀν-
χόμενος ὃν παρείκαζε τὰς Ἀλεξάνδρου ναῦς διὰ τὰς
κώπας. ἐγὼ δὲ μίαν ναῦν Ἀλεξάνδρου λέγω καὶ βαρβα-
ρικὸν πλοῖον ὃν ἑκατὸν δὲ στρατιώτας ἔχων ἔπλευσεν
εἰς Ἑλλάδα. ἴουλος σημαίνει. δ. τὸν σκώληκα, τὸν
τον, τὴν ἐξάνθησιν τῶν γενείων, τὴν συστροφὴν τῶν τριχ[ῶν]

Marginalia (left): ∴ emendo ex interpretib. Apollonii μέλανα κιτυσσῶρον φρόντιν

Marginalia (right): Lucus martis [illegible] · Φρίξου υἱοί · De inonis morte · Ἀθαμαντία πόθεν · Θέτις · Ἴουλος · Ἴουλος σημαίνει. δ.

# Omnia haec depravate scripta. emenda per ex autoritate interpretum apollonij rhodij in primo argo-/nauticon. ὁ μέντοι ἐρατοσθένης ὄνομα ᾠδῆς ἐρίθων ἀπέδωκεν ἐν τῷ ἑρμῇ λέγων οὕτω. ἡ χθονίης εἶδος ἐφ᾽ ὑψηλοῦ πυλεῶνος, δενδρείδας τεύχουσα, καλὰς ἤειδεν ἰούλους. lege etiam magnum ety/mologicum in dictione ἴουλος & in dictione δενδρείδες. quamvis in magno etymologico depravate scriptus sit versus eratosthenis.

ἰουλόπεζοι | « ἢ τὸν ὕμνον ὥς φησιν ἐρατοσθένης, ἐρημῆς ἡ χθονίης εἶδος #
ἐφ᾽ ὑψηλοῦ πυλεῶνος λαθραίων ἔχουσα καλὰς ᾖδ᾽
ἰούλας. ἢ ἴουλος ζῶόν ἐστιν ἐν τῇ θαλάσσῃ πολύπουν·
πέζα | ἐξ αὐτοῦ αἱ νῆες ἰουλόπεζοι λέγονται. πέζα γὰρ ὁ πούς,
παρὰ τὸ πέζον τὸ ὁμαλόν, τοῦτο δὲ παρὰ τὸ ἔζω τὸ κά-
θημαι. πόδες οὖν τῆς νηὸς κυρίως οἱ οἴακες ἢ καὶ
αἱ κῶπαι. εὐώπες ὀφθαλμοί, διὰ τὰς ὀπάς ὅ-
θεν κινοῦσι τὰς κώπας ἐν τῷ πλεῖν. φαλακραίας ἰδ-
~~[illegible]~~ | αἶαι ἀπὸ τοῦ προέχοντος. τέσσαρα γὰρ ἀκρωτήρια
+ φαλα κραι lege. Ther. 137 | ἴδης· δεκτόν. πέργαμον. καὶ γάργαρον. τινὲς δὲ ἀπὸ τοῦ
ὄρους φασὶ τὴν προσηγορίαν ἐκ τῆς φαλάκρας γάρ λέγουσι
τμηθῆναι τὰ ξύλα εἰς ναυπηγίαν τῶν ἀλεξάνδρου πλοί-
ων. ἐκ τότε δὲ τοῦτο τὸ ὄρος ψιλωθὲν φαλάκρα κληθῆ-
ναι διὰ τὸ φαλακρωθῆναι αὐτὸ ὑπὸ τοῦ φερέκλους εἰς
τὴν τῶν νηῶν κατασκευήν. κόρας δὲ φαλακραίας φησὶ
τὰ πλοῖα ὡς ἐκ τῶν τῆς φαλάκρας ξύλων ναυπηγη-
πτίλα | θέντα. πτίλα δὲ τὰ πτερά, ἀπὸ τοῦ ἐν τῷ πέ-
τεσθαι τίλλειν καὶ κόπτειν τὸν ἀέρα. ἄφλαστα ἀσύν-
ἄφλαστα | δετα, ἀντὶ τοῦ ἐστιν ἄφλαστα. ἄφλαστοι γὰρ λέγονται
αἱ πρύμναι παρὰ τὸ ἄφλαστοι καὶ ἄκαυστοι εἶναι κα-
τ᾽ εὐφημισμόν. ὅτι αἱ πρύμναι τῶν νηῶν τῶν βασιλικῶν
θεοὺς γεγραμμένους εἶχον, ἃς διὰ εὐσέβειαν οὐκ ἀντὶ τέχναι
σε, τὰ δὲ λοιπὰ τῶν πλοίων ἄφλαστά τις εἴποι οἷον τὰ
εὔφλαστα καὶ εὔκαυστα· ἐὰν γάρ τις πῦρ αὐτοῖς ἐπιβάλῃ συν-
τόμως καυθήσονται διὰ τὸ εἶναι πεπισσωμένα. φάρσω-
φάρσωνας | νας τὰ λαίφη, τὰ ἄρμενα, παρὰ τὸ φῶ τὸ λαμ-
πρύνω λευκὰ γάρ. ἢ παρὰ τὸ φυσᾶσθαι ὑπ᾽ ἀνέμων,
ὠργυιωμένους | φυσῶντες καὶ φωσαντες. ὠργυιωμένους ἐκτεταμένους
ὀργυιά | ἢ πλωμένους ἢ ἀπὸ ὀργυιᾶς ἤτοι τῆς ἐκτάσεως τῶν χει-
ὀργῶ | ρῶν ἢ ἀπὸ τοῦ ὀργᾶν τὸ ὁρμῶ. ὀργᾶν δὲ τὸ ἐκ γῆς συν-
τόμως ὁρούειν τι τῶν βοτανῶν. ὠργυιωμένους καὶ μετὰ

\# apollonius in primo argonauticorum · υἱόος ἐς ἠλέκτρης ἀτλαντίδος · Ouidius dardanū electra gs nescit atlantide natum scilicet electram concubuisse Ioui · recte itaque sequentia uerba castigata sunt ·,

προσγραφῆς καὶ δίχα προσγραφῆς τοῦ ι. δεῖ γράφειν. τὰ γὰρ διὰ τοῦ. γμα. θηλυκὰ τῷ ι. προσλαμβάνονται. μιγμα. ἄρπαγμα, μηγμά. τὸ δὲ ὄργυμα διαφορεῖ. ἀπαρκτίαις ταῖς ἀπαρκτίου πνεούσαις. τοῖς γὰρ ἀπὸ βορρᾶ πλέουσιν εἰς ἑλλάδα, φρουρὸς καὶ οὔριος ἄνεμος ὁ ἀπαρκτίας βορρᾶς., ἄτα, βλάβη. λόφον βουπλανόκτιστον τὴν τροίαν λέγει ἠλέκτρας γὰρ τῆς ἄτλαντος καὶ διὸς ἰασίων καὶ δάρδανος καὶ ἰασίων μὲν δήμητρος ἐρασθεὶς κεραυνοῦται. δάρδανος κατακλυσμοῦ γεγονότος ἐν σαμοθράκη εἰς τὴν ἀντιπέραν γῆν περαιοῦται καὶ τὴν τροίαν μέλλων κτίζειν χρησμὸς τοῦτο κωλύει κτίζειν τὸν λόφον ἀπὸ ὧν βλαβερὸν γενέσθαι τοῦτον τοῖς αὐτὸν κατοικήσουσιν. κωλυθεὶς κτίζει τὴν δαρδανίαν πρότερον κασάνδρου λόφον καλουμένην βασιλεύοντος τῶν τρωικῶν μερῶν τεύκρου τοῦ κασάνδρου καὶ ἰδαίας νύμφης. κασάνδρου δὲ τὴν ἀδελφὴν βάτειαν λαβὼν ὁ δάρδανος κἂν ὁ λυκόφρων ἀρίσβην λέγει γεννᾷ ἶλον καὶ ἐριχθόνιον. ὧν ἶλος μὲν ἄπαις τελευτᾷ, ἐριχθόνιος δὲ ἐξ ἀστυόχης τῆς σιμόεντος γεννᾷ τρῶα. τρῶος δὲ τῆς καλλιρρόης τῆς σκαμάνδρου ἶλος καὶ ἕτεροι. ὅς ἶλος εἰς φρυγίαν ἐλθὼν καὶ ἀγῶνα τεθέντα ὑπὸ τοῦ βασιλέως αὐτῶν νικᾷ. καὶ λαβὼν ἐκ τοῦ βασιλέως πεντήκοντα κόρας καὶ πεντήκοντα κόρους ἆθλα ἐκ χρησμοῦ εἵπετο βοῒ πλανηθείσῃ ἐκ μουσικοῦ(?) ἥτις ἀφικομένη ἐπὶ τὸν λεγόμενον τῆς φρυγίας ἄτης τόπον κατακλίνεται, ἔνθα πόλιν κτίσας ~~...~~ ἶλος ἴλιον ἐκάλεσε. βουπλανόκτιστος δὲ λέγεται διὰ τὴν πλανηθεῖσαν ὡς ἔφαμεν βοῦν

nutrix a θηλάζω · utitur isaacius hoc nomine fo. 13.

αἰ αἲ τάλαινα, θηλαμὼν κεκαυμένη
καὶ πρόσθε μὲν πεύκῃσιν οὐλαμηφόροις
τριεσπέρου λέοντος, ὅν ποτ' ἐν γνάθοις
τρίτωνος ἠμάλαψε κάρχαρος κύων.

τὰ διὰ τοῦ. γμα. θηλυκά

ἄτα,

potuisset addere & harmoniam cum interpretibus apollonij

ἰασίων

δάρδανος

·.· γρ. τεύκρου. vix. teucer nondum erat, sed primum est aduectus in oras. —

ἶλος

ἐριχθόνιος

ἢ τρῶς

ἶλος

*

·.· forte μουσικῆς (?) ·1· excuse de centro phrygiae dudorum(?) in greco

ἔμπνους δὲ λαῖψος ἡ παλαίτων φλοισβούμενος
Τινθῶ λέβητος ἀφλόσοις ἐπεσφάραις
σκήριπτας ἐξάραξε κωδῶν πέδω.

αἰ αἰ

**αἰαῖ.** ἐπίρρημα θρηνητικόν, ὃ πάντες οἱ νῦν βαρύνουσιν, τεχνῶν δὲ καὶ μέγας πολλοὶ περισπᾶν ἀξιοῦσι λέγοντες τουτονὶ τὸν κανόνα, τὰ εἰς αι λήγοντα ἐπιρρήματα ~~λήγοντα~~ δίφθογγα, ἂν αδιτέρους ἔχωσι τοὺς τόνους περισπῶνται. ἰατταταῖ. παπαῖ. αἰ καὶ τὰ ὅμοια, πλὴν τοῦ βαβαὶ καὶ τοῦ ναί, ἐγὼ δέ φημι καὶ τοῦ αἰ.

πρόσθεν

**πρόσθ**εν σεσημείωται ἐκ τούτου, ὅτι τὰ εἰς θε ἐπιρρήματα φωνήεντος ἐπιφερομένου ἐφέλκουσι τὸ ν. συμφώνου δὲ οὐκέτι. **πεύκησι** πεύκαις. ἰωνικὸν τροπῇ τοῦ α εἰς η, αι διφθόγγου εἰς η μένοντος καὶ τοῦ ι προσγεγραμμένου. πεύκη δέ ἐστι ξύλον πρὸς πλοίων κατασκευὴν ἐπιτήδειον, ἀπὸ δὲ τοῦ ποιοῦντος τὸ ποιηθὲν εἶπεν ἢ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. **Οὐλαμηφόροις** πολεμικαῖς ἢ τὸν οὐλαμὸν καὶ τάξιν στρατιωτικὴν ἐμποιούσαις.

τριέσπερος ἡρακλῆς

**τριεσπέρου λέοντος** λέοντα καλεῖ τὸν ἡρακλέα διὰ τὸ ἀνδρεῖον ἢ διὰ τὴν λεοντῆν. τριέσπερος δὲ ὅτι ἀμφιτρύων ἐπὶ τηλεβόας ἐστράτευσεν ἐκδικῆσαι θέλων τὸν ἀδελφὸν ἀλκμήνης καὶ τοῦ πατρὸς ταύτης. ζεὺς δὲ τρεῖς ἑσπέρας εἰς μίαν καταβαλὼν συνεκάθευδε τῇ ἀλκμήνῃ κατὰ δὲ τὴν αὐτὴν ἑσπέραν καὶ ἀμφιτρύων πάλιν νοστήσας συνεκάθευδε τῇ γυναικί. ἡ δὲ διδύμους παῖδας γεννᾷ, ἐκ μὲν διὸς ἡρακλέα, ἐκ δὲ ἀμφιτρύωνος ἰφικλέα. διὰ τοῦτο τριέσπερον αὐτὸν καλεῖ. τὸ μὲν οὖν περὶ τῶν τριῶν ἑσπερῶν οὕτω τινὲς φάσκουσι. ἐγὼ δὲ τριέσπερον τὸν ἡρακλέα λέγω καλεῖν τὸν λυκόφρονα διὰ τὸ ἐν τῷ κήτει τρεῖς ἡμέρας ποιῆσαι ἃς ἑσπέρας καλεῖ διὰ τὸ ἀφώτιστον καὶ σκοτεινὸν εἶναι τὴν τοῦ θηρίου γαστέρα

τὸ δὲ τρὶ τοῦ Διός, οὕτω νοητέον· τρὶς βασιλεὺς τρεῖς ἡμέρας συνέχαιρε καὶ συνεκάθευδεν Ἀλκμήνῃ ἀποδημήσαντος Ἀμφιτρύωνος. ἐπεὶ δὲ τὸ καθεύδειν μετὰ γυναικὸς νυκτός ἐστιν ἔργον, ἐμυθεύσαντο ὅτι τὰς τρεῖς ἑσπέρας μίαν ἑσπέραν ἐποίησε. λέοντα δὲ τοῦτον καλεῖ διὰ τὴν ἀλκὴν καὶ ὅτι τὸν ἄτρωτον λέοντα τῆς Νεμέας συνθλάσας οἰκείαις χερσὶν ὅπλῳ καὶ σκεπαστηρίῳ ἐχρῆτο δέρματι τούτῳ ὡς ὄντι ἀτρώτῳ. Τρίτωνος κυνός· Τρίτων υἱὸς Ποσειδῶνος καὶ Ἀμφιτρίτης, τὰ μὲν ἄνω μέχρι ὀμφαλοῦ ἄνθρωπος, τὰ δὲ ἔξω ὀμφαλοῦ μέχρις οὐρᾶς δελφίς, καὶ οἷον ἔφησεν ἄνθρωπος ἰχθυοκένταυρος. νῦν δὲ Τρίτωνα κυρίως τὸν Ποσειδῶνα καλεῖ. κύνα δὲ τὸ κῆτος καλεῖ. Ποσειδῶν γὰρ σὺν Ἀπόλλωνι ὀργῇ Διὸς θητεύσας τῷ Λαομέδοντι καὶ προπυργώσας τὴν Ἴλιον, ἐπεὶ μετὰ τὸν τεταγμένον χρόνον τῆς λατρείας μισθὸν οὐκ ἐδέξατο, ἀγανακτῶν κατὰ Λαομέδοντος ἐξέπεμψε κῆτος δεινότατον, ὃ περὶ τὴν χώραν κατέκλυσεν ἀποπτύων τὴν θάλασσαν. ἐκ χρησμοῦ δὲ Λαομέδων ἀναγκασθεὶς Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς εἰς προσφορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ Ἡρακλῆς μετὰ Ἰάσωνος μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα, ἐκεῖ μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέρας ὃ δράκων ἐφύλασσε, μετὰ τῆς καλουμένης Ἀργοῦς νηὸς ἅμα τοῖς Ἀργοναύταις προσωρμίσθησαν τῷ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς ἄνευ δυνάμεως ἔχειν ῥύσασθαι ταύτην καὶ ὑποσχεθεὶς παρὰ Λαομέδοντος ἀθανάτους ἵππους λαβεῖν, οὓς Ζεὺς ἔδωκε Λαομέδοντι ὑπὲρ Γανυμήδους τοῦ αὐτοῦ υἱοῦ, χωστὸν τεῖχος ποιήσας καὶ στὰς ὡπλισμένος παρὰ τὸ στόμιον, ὁ κεχηνὸς ἐποίει τὸ κῆτος, ἀθρόως τῷ τούτου ἐνεπήδηκε στόματι. τρι-

σὶν δὲ

ἄτρωτος λέων ὁ ἐκ τῆς Νεμέας

Τρίτων

Ἡσιόνης ἱστορία

.: uocatus est autē hic murus. τεῖχος * ἀμφίχυτον auctore homero in .v. iliados rhapsodia apud cuius interpretē hęc fere q̄ zezes prodit

γρ. καταιθέμενος

κνήμαις καταθέμενος αὐτὸ ἔξωθεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα, καὶ δεξάμενος δὲ τὰ ὑπεσχημένα παρὰ λαομέδοντος ἓξ νηῶν ἀνδρῶν παρὰ τῆς θαλάσσης πληρώσας παραγενόμενος πάλιν πορθεῖ τὴν ἴλιον τελαμῶνος πρώτου τὸ τεῖχος ῥήξαντος αὐτὸς καὶ ἀνελόντος λαομέδοντα μετὰ τῶν ἐκείνου υἱῶν ἀναιρεῖ ἡρακλῆς πλὴν ποδάρκου τοῦ πριάμου καλουμένου καὶ ἡσιόνης τὴν δὲ πόλιν διαρπάζει καὶ ἡσιόνην δὲ γέρας δίδωσι τελαμῶνι ὡς ἀριστεύσαντι. ἐξ ἧς ὕστερον τελαμὼν τὸν τεῦκρον γεννᾷ. τότε δὲ ἡρακλῆς καὶ τῇ ἡσιόνῃ ἐφίησιν ὃν ἂν θέλῃ τῶν αἰχμαλώτων ἀνήσασθαι, ἡ δὲ τὴν ἑαυτῆς δοῦσα καλύπτραν τὸν ἑαυτῆς ἀδελφὸν ποδάρκην ἐπρίατο ὅθεν ἐκλήθη καὶ πρίαμος. ἠμάλαψε κυρίως τὸ ἐθέρισεν ἀμάλη γὰρ λέγεται τὸ χειρόβολον τῶν σταχύων. ἀμαλάπτω ἐξ οὗ καὶ ἠμάλαψε. φλοιδούμενος φλοιζόμενος, γίνεται δὲ ἐκ τοῦ φλοιὸς καὶ τοῦ αἰδούμενος φλοισιδούμενος ἢ φλοιδούμενος. τιθῷ τῷ κήτει καὶ τῷ χωρήματι παρὰ τὸ τίνω τὸ ἀνταποδίδωμι καὶ τὸ τιθῶ τὸ τίθημι τιθωνὸς καὶ τιθώς, παρὰ τὸ χώρημα, καὶ ἡ γαστὴρ πρὸς ἣν τινομένην ἀποτιθέμεθα. σμήριγγας τὰς τρίχας. παρὰ τὸ μέρω τὸ μερίζω. μερίσω μερὶξ καὶ μήριξ ὡς πολλὰ γὰρ καὶ λεπτὰ αἱ τρίχες ἐμερίσθησαν καὶ πλεονασμῷ τοῦ σ. σμήριγξ. κώδεια λέγεται ἡ κεφαλὴ παρὰ τὸ κεῖσθαι ἐν αὐτῇ τὰ δέοντα τὸ γὰρ λογικὸν ἐν αὐτῇ κεῖται κἂν ἕτεροι ἐν τῇ καρδίᾳ φασίν. οὕτω λέγεται κώδεια. ἢ ἀπὸ τῆς ὁμοιότητος τῆς κωδείας βοτάνης ἥτις κώδεια λέγεται ὅτι κώμασι καὶ ὕπνῳ δεῖ. ἢ δεσμεῖ τοὺς ταύτην φαγόντας, ὑπνωτικὸν γὰρ τὸ φυτόν

Hercules caluus

∴ νῆας

Priamus prius podarces est dictus

Hesione donata telamoni ex qua telamo teucru(m) genuit

ἀμάλη

ἀμαλάπτω

φλοιδούμενος

τιθώς

σμήριγγες

κώδεια

ὁ τεκνοραίστης λυμεὼν ἐμῆς πάτρας
ὁ δευτέραν τεκοῦσαν ἄρωτον βαρ

τύψας ἀβάκτῳ στέρνον ἐν ταὐλῷ μέσῳ
πατρὸς Πελασγοῦ χρῶν' ὀχμάσας δέμας
Κρόνου παρ' αἰπὺν ὄχθον ἔνθα γηγενοῦς
ἵππων ταρακτὴς ἐστὶν Ἰσχένου τάφος

Ὁ Ἡρακλῆς μετὰ τὴν Ἐργίνου ἀναίρεσιν εἰς Θήβας ἐλθὼν Λύκον Θηβῶν βασιλεύοντα καὶ βιαζόμενον Μεγάραν τὴν Κρέοντος μὲν θυγατέρα, γυναῖκα δὲ Ἡρακλέους τοξεύσας ἀνεῖλε· μανίᾳ δὲ συσχεθεὶς τῇ τῆς Ἥρας ὀργῇ καὶ τὴν ἰδίαν γυναῖκα τὴν Μεγάραν καὶ τοὺς τέσσαρας αὐτῆς παῖδας· Ὀνίτην, Θηρίμαχον, Δηικόωντα, καὶ Κρεοντιάδην τοξεύσας ἀνεῖλεν. ὁ δὲ Πίνδαρος ὀκτὼ λέγει παῖδας Μεγάρας ἀνελεῖν Ἡρακλέα· ἕτεροι δὲ δύο υἱοὺς Ἰφικλέους τοῦ ἀδελφοῦ σὺν τοῖς τῆς Μεγάρας παισὶ λέγουσιν ἀνελεῖν. Δευτέραν τεκοῦσαν τὴν Ἥραν λέγει ἢ ὡς μητρυιὰν αὐτοῦ· γυνὴ γὰρ ἦν τοῦ Διός, ἢ ὅτι αὐτὸν ἐθήλασεν ὄντα παιδίον διὰ τοῦ κόλπου ὡς τίκτουσα καὶ τεκνοποιουμένη. [παθεῖς γὰρ τῇ Ἀθηνᾷ] ὅτι Ἡρακλῆς ἐπολέμει τῇ Πύλῳ καὶ τῷ πατρὶ Νέστορος Νηλεῖ διὰ τὸ καθᾶραι αὐτὸν τῷ φόνῳ τοῦ Ἰφίτου συμμαχοῦσαν καὶ τὴν Ἥραν νύττει κατὰ τὸν δεξιὸν μαστὸν ὀϊστῷ τριγλώχινι ἔβαλε καθάπερ Ὅμηρος φησί· τλῆ δ' Ἥρη ὅτε μιν κρατερὸς πάϊς Ἀμφιτρύωνος· ὅθεν αὐτῷ ὀνειδίζει ὡς μὴ φεισαμένῳ τῆς θηλαμόνος. στέρνον· τὸ στῆθος· παρὰ τὸ στερρὸν τὸν νοῦν εἶναι ἐν αὐτῷ· ἐκεῖ γὰρ ἡ καρδία καὶ τὸ ζωτικὸν ὅθεν ὁ νοῦς τὰς δυνάμεις ἀρύεται. πατρὸς πελασγοῦ. ὁ Ἡρακλῆς καταπολεμήσας Αὐγέαν τὸν βασιλέα Ἤλιδος, Ἡλίου δὲ παῖδα καὶ Ἐπειῶν, διὰ τὸ μὴ λαβεῖν τὸν μισθὸν τὸν ὑπὲρ καθάρσεως τῆς κόπρου τῶν βοῶν καὶ τὴν Ἦλιν πορθήσας ἐκ τῶν λαφύρων ἀγῶνα τῷ Ὀλυμπίῳ Διῒ παρεστήσατο καὶ Ὀλύμπιον τοῦτον ἐκάλεσεν. ἐτελεῖτο δὲ ἀγὼν κατὰ πενταετηρίδα, ἢ τὸ σαφὲς ἐστί.

Λύκος
Μεγάρα, Κρέοντος
.ι. secundam matrem
.ι. nouercam
* ::f. παθοῦσα τῇ Ἀθηνᾷ
θηλαμών
Αὐγέας Ἡλίου καὶ Ἐπειῶν
. cf. pro pindaro

πένταθλος τί·

φάναι κατὰ μῆνας πεντήκοντα. ἠγωνίζοντο δὲ οἱ ἀθληταὶ πένταθλον καὶ ἑτέρους ἄθλους. ὁ δὲ πένταθλος ἦν πυγμή. δρόμος. ἅλμα. δίσκος καὶ πάλη. ἐν τῷ καταρχὰς τεθέντι πρώτῳ ἀγῶνι ἡρακλῆς προσεκαλεῖτο εἰς πάλην τὸν βουλόμενον. οὐδενὸς δὲ τολμῶντος ὁ ζεὺς πλασθεὶς ἀθλητὴς συνέμιξεν ἡρακλεῖ καὶ μέχρι πολλοῦ τῆς πάλης ἰσοπαλοῦς γινομένης ὁ ζεὺς φανεροῖ ἑαυτὸν τῷ παιδί. τὰ δὲ ὀλύμπια πέντε ἡμέρας ἐγίγνετο· ἀπὸ ἑνδεκάτης τῆς σελήνης μέχρι τῆς ὅλης πεντεκαιδεκάτης. προσεγυμνάζοντο δὲ πρὸ τούτων ἡμέρας τριάκοντα. ὀχμάσαις· ἐπιδεσῶν καὶ κρατήσας ἐκ τοῦ ὄχους καὶ πλεονασμῷ τοῦ μ. ὀχμὸς καὶ ἐξ αὐτοῦ ὀχμάζω τὸ ὑποκείμενον. Δέμας τὸ ζῶν σῶμα, παρὰ τὸ δεδέσθαι καὶ συνεστάναι· σῶμα, τὸ τεθνηκός, παρὰ τὸ σῆμα εἶναι τοῦ ποτὲ ζῶντος. * οἱ δὲ λέγοντες διαφέρειν δέμας καὶ σῶμα ληροῦσι. Κρόνου ὄχθος ἡ ὀλυμπία, πρώην γὰρ κρόνου λόφος ἐκαλεῖτο. Γηγενοῦς τοῦ γίγαντος. ἑρμοῦ καὶ ἱερείας υἱὸς γίγας, γίγαντος δὲ υἱὸς ἴσχενος. οὗτος ὁ τάφος πλησίον τοῦ καμπτῆρος τῆς ὀλυμπίας περὶ τὸν καλούμενον κρόνου λόφον· καλοῦσι δὲ αὐτὸν ταράξιππον, ἐπειδὴ οἱ ἀγωνιζόμενοι ἵπποι ὅταν ἐγένοντο ἐκεῖσε ἢ ἀρρήτῳ τινὶ καὶ ἀιδίῳ δυνάμει ἢ δάφνης οὔσης ἐκεῖ καὶ σειομένων τῶν φύλλων αὐτῆς ἐταράσσοντο. ~. ~

ὀχμάζω

Δέμας
σῶμα

Κρόνου λόφος

ἔκειτο

Καμπτήρ

Ταράξιππος

Ὁ τῆς θαλάσσης αὐσονίτιδος μυχοὺς
στενοὺς ὀπιπεύουσαν ἀγρίαν κύνα
κτανὼν ὑπὲρ σπήλυγγος ἰχθυωμένην
ταυροσφάγον λέαιναν, ἣν αὖθις πατὴρ
σάρκας καταίθων λοφνίσι δομήσατο,
λεπτῦνιν οὐ τρέμουσαν οὐδ' αὐτὴν θεόν
ἐξηνάριξεν, ὅν ποτ' ἀξιφεῖ δόλῳ
νέκυς τὸν ἅδην δεξιούμενον πάλαι

αὐσονίτις· ἰταλικῆς ἀπὸ τοῦ αὔσονος τοῦ ὀδυσσέως καὶ
κίρκης παιδός. ἄλλοι δὲ ἀμφιτρίτου ἀμφοτέρου αὔ-
σονος ἐστί, αὐσονία δὲ κυρίως ὡς δίων γράφει κοκιανὸς
ἡ τῶν ἀρουγκῶν γῆ μόνη λέγεται μέση καμπανῶν καὶ ἰολ-
μῶν πρὸς θάλασσαν κειμένη. συχνοὶ δὲ καὶ μέχρι τοῦ λα-
τίου αὐσονίαν εἶναι ἐνόμισαν ὥστε καὶ πᾶσαν ἰταλίαν
ἀπ' αὐτῆς. οἱ δὲ καὶ ἡμᾶς τοὺς γραικοὺς αὔσονας λέγουσιν
ἑρμηνεῖς αὐθεντικῇ ἀδείᾳ καὶ ποιητικῇ τοῦτο ποιοῦσι. τὸ
ἑξῆς οὕτως ὁ τὴν τῆς ἰταλικῆς θαλάσσης στενοὺς μυχοὺς
περιβλεπομένην σκύλλαν κτανών. μυχὸς παρὰ
τὸ μύω τὸ κρύπτω. ὀπιπτεύουσαν· ἐκ τοῦ
ὄπτω τὸ βλέπω παραγωγὴ ὀπιπτεύω. ἀγρίαν κύ-
να· τὴν σκύλλαν λέγει. φασὶ δὲ θυγατέρα φόρκυνος
θηριόμορφον κατεσθίουσαν τινὰς τῶν παραπλεόντων τὸ
σικελικὸν πέλαγος. καὶ δὴ καὶ ἡρακλέους ἐξ ἐρυθείας τὰς
γηρυόνου βόας κομίζοντος ὡς ἐγένετο μετὰ τὸν πορθμὸν
μεταξὺ τῆς ἰταλίας καὶ σικελίας ἡ ῥηθεῖσα σκύλλα ἀνελοῦ-
σα τινὰς τῶν ταύρων καὶ ἁρπάσασα, καὶ αὐτὴ ὑφ' ἡρακλέους
ἀναιρεῖται. ὕστερον δὲ ὁ πατὴρ φόρκυς καύσας καὶ ἀφε-
ψήσας λαμπάσιν ἐζωοποίησεν. ἦν δὲ ἡ σκύλλα ὡς φασὶ
πρῶτον γυνὴ εὐπρεπὴς ποσειδῶνι συνοῦσα. ἀμ-
φιτρίτης δὲ ζηλοτυπησάσης καὶ φάρμακα ἐμβαλούσης
τῇ πηγῇ ἐν ᾗ εἰώθει λούεσθαι ἀπεθηριώθη. λέ-
αιναν δὲ αὐτὴν εἶπε διὰ τὸ φοβερόν. ταῦτα μὲν οὖν
τὰ μυθώδη, τὸ δ' ἀληθὲς οὕτως ἔχει. ἡ σκύλλα περὶ τὸ ῥήγιον
τῆς σικελίας ἐστὶν ἀκρωτήριον ἐξέχον εἰς θάλασσαν οὗ κά-
τωθεν πέτραι πολλαὶ καὶ μεγάλαι ἔχουσαι κοίλους τόπους
καὶ σπήλαια, ἐν οἷς καταμένουσι θηρία θαλάσσης. τῶν
δὲ πλοίων ἐν ταῖς πέτραις ἀκοντιζομένων ἐκ τοῦ τῆς χα-
ρύβδεως ὕδατος καὶ συγκλωμένων τοὺς ἄνδρας ἐσθίουσιν.
ἡ δὲ χάρυβδις καὶ ἡ σκύλλα πλησίον εἰσίν. ἡ μὲν χάρυβδις

αὔσων
αὐσονία
μυχός
ὀπιπτεύω
σκύλα
fabula scyllæ & charybdis
χάρυβδις

ῥήγιον ὑπὸ ἰοκάσ(του) κτισθὲν

περὶ ἣν μεσολώνιν ἐστίν· ἡ δὲ σκύλλα περὶ τὸ ῥήγιον ὡς ἔφην
τὸ δὲ ῥήγιον ἰόκαστος ἔκτισεν αἰόλου ὥς φησι καλλίμα
χος· ῥήγιον ἄστυ λιπὼν ἰοκάστου αἰολίδαο. ἡρακλῆς
ὁ ὢν σοφὸς ἀνὴρ καὶ στρατηγὸς καὶ περαπλέων τοὺς τόπους
τούτους μετὰ τῶν γηρυόνου βοῶν ἀπώλεσεν αὐτόθι τινὰς
ἐξ αὐτῶν καὶ ἀνεκάθαιρε τὸν τόπον τισὶ μηχαναῖς. ὅθεν
καὶ ἐμυθεύσαντο τὴν σκύλλαν αὐτὸν ἀνελεῖν. φόρκυς δὲ
ἤτοι ἡ θάλασσα ὁ πατὴρ ταύτης. περ. ἡ γὰρ θάλασσα διὰ χρόνου
ταύτην ~~ἐποίησε~~ λαμβάνουσα αὐτὴν πάλιν ἀνεζώωσεν
ἤγουν κινήσασα καὶ χρόνοις πάλιν τὴν ὑφ' ἡρακλέους ἀνα
κάθαρσιν καὶ τὸ μηχάνημα ἡ θάλασσα χέασα, μετέστρε
ψεν εἰς τὴν ἀρχαίαν δυσχέρειαν. σπήλυγξ τὸ σπήλαιον
σπήλυγξ
σπήλαιον
ἐτυμολογεῖται δὲ σπήλαιον παρὰ τὸ ἐσπαρμένους
τοὺς λάας ~~ἔχειν~~ εἶναι καὶ ὑποκοριστικῶς σπῆλυγξ ἡ ἐ
σπαρμένη λάϊξ ἤτοι λιθίς, ὅθεν καὶ ἄμεινον γράφεσθαι
τροπὴ τοῦ διχρό-
νου εἰς δίχρον(ον)
διὰ τοῦ ι. τροπῇ δὲ τοῦ διχρόνου εἰς δίχρονον διὰ
τοῦ υ σπῆλυγξ γράφεται. ἰχθυωμένην ἰχθύας
κρατοῦσαν καὶ ἀγρεύουσαν ἢ δίκην ἰχθύος πλέουσαν·
μυθικῶς δὲ τῷ λυκόφρονι νοεῖται. ταυροσφάγον ὡς
σφάξασαν ἐκ τῶν γηρυονείων βοῶν αὐτὴν εἶπεν. ταυρο
ἔθος ἰώνων
σφάγον δὲ εἶπεν οὐ ταυροφάγον διὰ τὸ μέτρον ἢ ἰωνικῶς·
οἱ γὰρ ἴωνες οὕτω μετὰ τοῦ σ λέγουσι θεόδοτος θεόσδο
θεόσδοτος
τος καὶ τὰ ὅμοια. οἱ δὲ ἀττικοὶ ἀποβάλλουσι τοῦ σ.
κοινῶς δὲ ταυροσφάγος λέγεται ὁ σφάττων αὐτούς
λοφνίς
ταυροφάγος δὲ ὁ τρώγων ~~αὐτοὺς~~ ταύρους. λοφνὶς ἡ
μεγάλη λαμπὰς λιόφνις τις οὖσα ἡ λίαν μεγάλη
τουτέστι φαίνουσα καὶ συγκοπῇ αἰολικῇ λοφνίς.
Δομήσατο τροπικὴ ἡ λέξις ἀπὸ τῶν τεκτόνων καὶ δο
μητόρων ἀντὶ τοῦ ἀνεζώωσε καὶ ἀνήγειρε. τὸ δὲ δομή
τὸ μ ἐκτείνει
τὸ ο.
σατο ἐμοὶ καὶ μικρὸν ἀρέσκει γράφεσθαι τὸ γὰρ μ ἐκ
τείνει αὐτὸ ὡς τὸ φιλομμειδὴς ἀφροδίτη κἂν ἔχει τινές

ἐδιπλασίασαν τὸ μμ· διὰ τὸ μὴ ἀκεραιῶς(?) εἰδέναι τὰ
μέτρα. εἰ δὲ μετὰ τις τοῦτο γράφει καὶ αὐτὸ ἠ μανθανέ-
τω ὅτι ἀττικὴ ἔκτασις γράφεται μετὰ ὡς τὸ δώτης
πώτης καὶ τὰ ὅμοια. λέπτωνιν· οἷον μὴ δέδοικα ἢν
τὴν περσεφόνην πρόσσον(?) ἀποθανατίσαι(?). ἢ ἄλλως
λέπτωνιν οἱ μὲν τὸν ᾅδην, οἱ δὲ τὴν περσεφόνην φασίν
ἢ τὴν λεπτύνουσαν τὰ σώματα τῶν ἀποθανόντων. ἢ
λέπτωνιν τὴν ψυχὴν παρὰ τὸ λελεπτυσμένην καὶ ἀερώδη
οὖσαν. λέγει δὲ τὴν σκύλαν(?) αὐτὴν ἀπὸ μέρους τὸ πᾶν
ἢ λέπτωνιν τὴν περσεφόνην ἤτοι τὴν κῆρα καὶ τὸν θάνατον
οὐδέαν θεὸν τὴν περσεφόνην ὅν ποτ' ἐξεναρίξεν ἡρα-
κλέα. ὁ νέκυς νέσσος, δεξιούμενος καὶ φιλοποιούμενος
τὸν ᾅδην πάλαι διὰ τὸν θάνατον δῆθεν τοῦ ἡρακλέους,
ἢ δεξιούμενος ἵνα ἀνέλοι ὁ νεκρὸς νέσσος τὸν ἡρακλέα
τὸν δεξιούμενον καὶ φίλον ἔχοντα παρὰ τὸν ᾅδην ὅτι κατῆλ-
θεν ἀνάξαι τὸν κέρβερον. ἡ δὲ περὶ τοῦ νέσσου ἱστορία τοι-
αύτη. ὁ ἡρακλῆς ἀχελῶον καταπαλαίσας ἐν
καλυδῶνι καὶ τὸ δεξιὸν αὐτοῦ θραύσας κέρας καὶ δοὺς πάλιν
αὐτῷ τοῦτο ἔλαβε παρ' αὐτοῦ τὸ τῆς ἀμαλθείας κέρας
τῆς αἱμονίου(?) θυγατρὸς καὶ τὴν δηιάνειραν τὴν οἰνέως ἀντὶ
χρυσοῦ(?) λαμβάνει γυναῖκα. τρεπομένων δὲ τῶν γάμων ἕνα
τῶν συγγενῶν οἰνέως ἄγνομον τὸν ἀρχιτέλους πλήξας κονδύ-
λῳ ἀναιρεῖ παροινήσας κατὰ χειρὸς αὐτῷ πλήξαντα φι-
λικῶς, φυγὴν δ' ἔλετο εἰς τραχῖνα+ εἰς κήυκα. διαπορευ-
όμενος δὲ διὰ τὸν εὔηνον ποταμὸν τῷ νέσσῳ κενταύρῳ
πρῶτος αὐτὸς διαπορθμεύεται, ὡς δὲ ἐν τῷ διαπορθ-
μεύειν ὁ νέσσος καὶ τὴν δηιάνειραν ἐπιχειρεῖ βιάζειν αὐτὴν
ὑφ' ἡρακλέους τοξεύεται. ἔφη δὲ νέσσος ὅτι τελευτᾷ
ἀφύλακτα παρὰ τὰ βέλη τοῦ ἡρακλέους ὡς κηλήσειν […] τῷ
[…] τῆς […] εἰς ἄγγος ἐκ τοῦ τραύματος τοῦ
αἵματος δέδωκε τῇ δηιανείρᾳ ἀπατήσας αὐτὴν καὶ

ἀττικὴ ἔκ-
τασις

λέπτωνις

οὐδέα θεός

νέσου ἱστορία

:. emendo ἄγνομον τὸν ἀρχιτέλους ex hypothesi trachiniarum sophoclis

:. f. διαπορθμεύοντος δὲ νέσσου κενταύρου. ut dicat primus transvectus fuisse Herculem deinde Deianiram. aliter non procederet. nequo pacto si ambo simul transvecti fuerunt nessus presente Hercule ausus potuit deterpere deianiram

+ emenda τραχῖνα ex hypothesi trachiniarum sophoclis

Κήναιον ἀκρωτήριον εὐβοίας

× lege hypothesim trachiniarum sophoclis

∴ f. σκύθου

∴ πατρῷος. paternus

Pulcherrima de arcu & sagittis herculis

Ocalea boetie

Admetus

∴ f. παι-
ζειν

πένθος τοῦ ἀδμήτου βασιλέως

∴ ἄπων ὅτι ἔσω μὲν διά σε τελευτῶ· τοῦτο δέ σοι χαρίζομαι. /
φίλτρον ἐπισπᾶσθαι δυνάμενον ἄπερ τὸν ἡρακλέα νόσους
ἑτέρας πόθῳ κατασχεθέντα, ἐπίχελος οὖν τοῦτο τοῖς ἱμάτι-
οις αὐτοῦ καὶ πρὸς σὲ πάλιν ἀντιστρέψῃ τὸν πόθον. τοῦτο
τὸ αἷμα ἡ δηιάνειρα ἔχουσα ὡς ὑπήκουσεν ὁ ἡρα-
κλέους τὴν οἰχαλίαν πορθήσαντος καὶ τὴν εὐρύτου θυγατέ-
ρα καλὴν οὖσαν αἱρεῖσθαι καὶ αὐτῆς κρατεῖσθαι τῷ ἔρωτι,
ἐπιχρίσασα τῷ αἵματι τὰ ἡρακλέους ἱμάτια, μετὰ θε-
ράποντος λίχα ταῦτα ἀπέσταλκε. περὶ τὸ δὲ τὸ κήναιον
εὐβοίας ὃν ἀκρωτήριον θύων ὁ ἡρακλῆς διὰ χαριστήρια στο-
λίζεται τὸν πεφαρμακευμένον τοῦτον χιτῶνα· ὑφ' οὗ
δραστικῶς καὶ πυρώδει κρατηθεὶς τῷ κνισμῷ, τελευτᾷ, πρῶ-
τον ἀπὸ τῆς πέτρας τὸν λίχαν ῥίψας καὶ ἀνελών. τὰ δὲ
τόξα αὐτοῦ ἡρακλῆς τῷ φιλοκτήτῃ καταλιμπάνει ὡς
τοῦ πατρὸς φιλοκτήτου ποιήσαντος τὴν τελευτὴν αὐτοῦ ὑ-
×πουρήσαντος — τὰ δὲ τόξα ταῦτα ὁ λυκόφρων οὗτος
φησὶ παρὰ τευτάρου <u>κήθου</u> βουκόλου τοῦ ἀμφιτρύωνος
ἔσχεν ὁ ἡρακλῆς. ὅστις τεύταρος καὶ τοξεύειν τοῦτον ἐδίδαξεν·
ἄλλοι δὲ εὔρυτον φασὶν διδάξαι τοῦτον τὴν τοξικήν. οἱ
δὲ ῥαδάμανθυν τὸν κρῆτα πατρῶον τοῦτον γενόμενον
μετὰ τὸν θάνατον ἀμφιτρύωνος· ῥαδάμανθυς ἀνελὼν
τὸν ἴδιον ἀδελφὸν φυγὼν ἐκ κρήτης καὶ εἰς ὠκαλέαν τῆς
βοιωτίας ἐλθὼν γαμεῖ τὴν ἀλκμήνην καὶ ἡρακλέα διδάσκει
τὴν τοξικήν. / <u>τὸν ἀδμήτου δεξιούμενον πατέρα</u>. ὁ ἄδμη-
τος ἔσχε γυναῖκα ἐρίβοιαν ἣν καὶ συνέβη τελευτῆσαι, καὶ κα-
τὰ τὸν καιρὸν τῆς τελευτῆς ἐξενοδοχήθη ἡρακλῆς παρὰ τοῦ
ἀδμήτου καὶ μαθὼν δὲ τὴν τελευτὴν ἀρνηθέντος καὶ παι-
ζειν ἀρξάμενος μία τῶν δούλων προσῆλθεν αὐτῷ καὶ εἶπε
τὸ γεγονός. τοῦ δὲ ἀκούοντος ποῦ τέθαπται καὶ μαθὼν ἐκά-
θισεν ἐπὶ τοῦ μνήματος καὶ ἐξελθόντος τοῦ ᾅδου ἀναφθέ-
των θυσιῶν ἐκράτησε αὐτοῦ σφοδρῶς μέχρις ἂν τὴν. /

—step

Quis docuit herculē sagittandi artē

γυναῖκα ἀπέδωκε. φασὶν οὖν ὅτι ὁ νέσσος νεκρὸς ὢν
ἀφύκτω δόλω ἤτοι τῷ φαρμάκω τῆς ὕδρας ἀνεῖλε τὸν
πλησίαι χρωσάμενον ἄσην ὡς καὶ ὅμηρος τλῆ δ' ἀΐδης
ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν ὅμηρος

Λεύσσω σε τλῆμον δευτέραν πυρουμένην
ταῖς αἰακείαις χερσί, τοῖς τε ταντάλου
λαίβωσιν οἰκουροῦσι λειψάνοις πυρός
παιδὸς καταβρωθέντος αἰθάλῳ δέμας
τοῖς τευταρείοις βουκόλου πτερώμασι
τὰ πάντα πρὸς φῶς ἡ βαρύζηλος δάμαρ
στείλασα κοῦρον τὸν κατήγορι χθονός
ἄξει πατρὸς μομφαῖσιν ἠγριωμένη
λέκτρων θ' ἕκατι τῶν τ' ἐπεισάκτων γάμων
αὐτὴ δὲ φαρμακουργὸς οὐκ ἰάσιμον
ἕλκος δρακοῦσα τοῦ ξυνευνέτου λυγρόν
γιγαντοραίστοις ἄρδισι τετρωμένου
πρὸς ἀνθοπαίστου ξυνὸν ὀγχήσει μόρον
πύργων ἀπ' ἄκρων πρὸς νεοδμῆτον νέκυν
ῥοιζηδὸν ἐκβράσασα κύμβαχον δέμας
πόθῳ δὲ τοῦ θανόντος ἠγκιστρωμένη
ψυχὴν περιασπαίροντι φυσήσει νεκρῷ.

πρώτην μὲν γὰρ ὑφ' ἡρακλέους πορθηθεῖσα ἐξεδόθη καὶ
νῦν μέλλει καυθῆναι ταῖς αἰακίδαις χερσὶν ἤτοι τοῦ νεοπ-
τολέμου καὶ ἐπειοῦ. αἰακοῦ γὰρ δευτερόεγγονοι ἀμ-
φότεροι ὅ τε νεοπτόλεμος καὶ ὁ ἐπειός ὡς μαθήσῃ,
τούτοις οὖν μέλλει καυθῆναι σὺν τοῖς ὀστοῖς τοῦ πέλοπος γρ. ὀστέοις
τοῖς κειμένοις παρὰ λαίβωσαν πόλιν ἠλίδος ἧς ἐ-
βασίλευσεν ὁ πέλοψ τοῦ ταντάλου καὶ διοδανάσσης
τῆς πακτωλοῦ. τὰ δὲ σύνταξις οὐδὲ γραφὴν ἀγά

διαγράμμασι ταύτας διαγράφω, μᾶλλον δὲ μόνας ἐκείνας
τὰς προνενοημένας καὶ ἀρρήτους. Αἰακίδαις χθονὶ. Αἰ-
ακοῦ ἐκ Ἐνδηίδος Πηλεὺς καὶ Τελαμών. ἐκ Ψαμάθης δὲ
τῆς Νηρεΐδος Φῶκος. Πηλέως καὶ Θέτιδος Ἀχιλλεὺς. Ἀ-
χιλλέως καὶ Δηιδαμείας τῆς Λυκομήδους θυγατρὸς Πύρρος ὁ καὶ
Νεοπτόλεμος. Τελαμῶνος δὲ καὶ Ἐριβοίας Αἴας. ἐκ δ' Ἡσιόνης
Τεῦκρος. Αἴαντος καὶ Λυσιδίκης τῆς Κορωνοῦ Φίλαιος. ἐκ
Τεκμήσσης δὲ τῆς αἰχμαλώτου Εὐρυσάκης. Φώκου δὲ
πάλιν καὶ Ἀστερίας Πανοπεύς, Πανοπέως δὲ Ἐπειός ὁ τὸν
δούρειον ἵππον κατασκευάσας δι' οὗ τὸ Ἴλιον ἐπορθήθη.

λαίτρινα

Λαίτρινα· χρησμὸν ἔλαβον οἱ Ἕλληνες μὴ πρότερον τὴν Ἴλιον
πορθηθῆναι εἰ μὴ τὰ Πέλοπος ὀστᾶ μετενεχθῶσιν ἀπὸ Ἤ-
λιδος εἰς τὴν Ἑλλάδα καὶ Νεοπτόλεμον τὸν Ἀχιλλέως υἱὸν καὶ
τὰ τόξα τοῦ Ἡρακλέους ἅπερ εἶχεν ὁ Φιλοκτήτης. εἰ μὴ γὰρ
οὕτω γένηται οὐκ ἂν πορθηθείη τὸ Ἴλιον. Λαίτρινα πόλις
Ἤλιδος. λαφύροις πυρός· ἀπὸ μεταφορᾶς τὸ πυρὸς ἐ-
λάφυρα λέγει πυρός. καταβρωθέντος κατακαυθέντος
δηλονότι τοῦ Πέλοπος ἐν τῇ Αἰθάλῃ ἢ τῇ σποδιᾷ
ὁπότε πρὸς εὐωχίαν τῶν θεῶν ἐτύθη. τοῖς Τευτα-

Teutarus

ρείοις λέγει τόξοις. ἵνα ἢ τοῖς τε Τευτάρου πτερώμα-
σι ἤτοι βέλεσι τοῦ βουκόλου. τίς δ' ὁ Τεύταρος ἐρῶ.

Οἰνώνη ἀλεξάνδρου γυνή

Κόρυθος

Oenones historia

Τὰ πάντα πρὸς φῶς ἄξει ἤτοι φανερώσει ἡ φαρμακεύτρια
γυνὴ τοῦ Ἀλεξάνδρου ἡ Οἰνώνη ἥτις ἦν θυγάτηρ Κεβρῆνος.
ταύτην γὰρ πρὸ Ἑλένης εἶχεν Ἀλέξανδρος ἐξ ἧς αὐτῷ Κόρυ-
θος, ὃν Κόρυθον ὀνειδιζομένη παρὰ τοῦ πατρὸς αὐτῆς διὰ
τὸν φόνον καὶ τὴν μορφὴν τοῦ ἀνδρὸς αὐτῆς καὶ διὰ τοὺς
ἐπακτοὺς γάμους τῆς Ἑλένης ἀγριωθεῖσα ἐξέπεμψεν
ὑποθεμένη τοῖς Ἕλλησι τὸν ἐπὶ Τροίαν πλοῦν. Κοῦρον
δὲ λέγει τὸν Οἰνώνης καὶ Ἀλεξάνδρου υἱόν. αὐτὴ δὲ φαρ-
μακουργός. φασὶν ὅτι ἡ Οἰνώνη βουλομένη θεραπεῦ-
σαι Ἀλέξανδρον ἐκωλύθη παρὰ τοῦ πατρὸς αὐτῆς. ὅθεν

τρώσαντος δὲ ἐκείνου ἑαυτὴν συναναιρεῖ ἢ κατὰ κοίτην ἑαυ- Oenones ·ιι·
τὴν ἐμβαλοῦσα εἰς τὴν ἀλεξάνδρου πυράν ἢ κατὰ τὸν
ἀπαγχθεῖσα ἢ κατὰ τοὺς δὲ τὸν λυκόφρονα κατα-
πεσοῦσα τοῦ πύργου. οὐκ ἰάσιμον δὲ τὸ ἕλκος ἢ ὅτι τε
θνητῶς ἦν ὁ ἀλέξανδρος καὶ ἰαθῆναι οὐκ ἠδύνατο ἢ ὅτι κε-
χρισμένα ἦν τὰ βέλη φιλοκτήτου οἷς ἀλέξανδρος ἐτοξεύ-
θη τῷ ἰῷ τῆς ὕδρας ἡ γὰρ οἰνώνη ἰατρικὴν καὶ μουσικὴν
ᾔδει. γιγαντοραίστοις γῆ κατὰ τιτάνων ἀγανακτοῦσα Gigantũ fabula
γρ. δρακοντόποδας — ἐν φλέγραις τῆς θρᾴκης γεννᾷ δρακοντοπαίδας καὶ ὑπερ- γίγαντες
φυεῖς καὶ βαθυχαίτας τοὺς γίγαντας οἳ πέτρας καὶ δρῦς
πεπυρακτωμένους ἠκόντιζον πρὸς οὐρανὸν ὧν πρῶτος
πορφυρίων καὶ ἀλκυονεύς οἳ καὶ ἀθάνατοι ἦσαν ~~ἕως~~ πορφυρίων
ἕως ἂν ἐν τῇ γῇ ἦσαν ἢ καὶ ἐγεννήθησαν. συμμαχοῦντος δὲ ἀλκυονεύς
ἡρακλέους τῷ διὶ καὶ τούτους τραυματίσας ἀνῃρέθησαν.
πρῶτον μὲν οὖν τοξεύει ἀλκυονέα ὃς πίπτων ἐπὶ τὴν
γῆν μᾶλλον ἀνεθάλπετο, ἀθηνᾶς δὲ βουλῇ τῆς θρᾴκης
γρ. ἀνελε — ἐξελάσας ~~αὐτοὺς~~ τοῦτον ἀναιρεῖ. πορφυρίωνι δὲ ζεὺς
ἥρας ἐπιθυμίαν ἐμβάλλει καὶ τοῦτον ἡρακλῆς ἐν τῷ κα-
ταρρηγνύειν ἥρας τοὺς πέπλους καὶ τοῦ διὸς κεραυνώσαντος πλη-
ξαντος ἀναιρεῖ καὶ τοὺς ἑτέρους δὲ ~~πάντας~~ πλὴν ὀλίγων
σὺν διὶ ἀναιρεῖ. ἔρδις τὸ βέλος παρὰ τὸ ἄρδις καὶ β- ἔρδις
λάβας διδόναι. τετρωμένον καταχρηστικῶς εἶπεν ἀντὶ
τοῦ βεβλημένον. ἢ τετρωμένου καὶ τετρωμένον· τετρωμένου μὲν
τοῦ ἀλεξάνδρου τετρωμένον δὲ τὸ ἕλκος. ἀνθοπλίτου ἀνθοπλίτης
μὲν ἀντὶ τοῦ τοξότου, λέγει δὲ τὸν φιλοκτήτην. ἀχθέντος
γὰρ τοῦ φιλοκτήτου πρῶτος τοξεύσας ἀλέξανδρος ἠστόχη-
σε. δεύτερος δὲ τοξεύσας ὁ φιλοκτήτης βάλλει κατὰ
χεῖρα λαιὰν τὸν ἀλέξανδρον. εὐθὺς δὲ δευτέρῳ οἰστὸν ἀφεὶς
τυγχάνει τούτου τὸν δεξιὸν ὀφθαλμὸν καὶ τρίτῳ βάλλει κα- ἀλεξάνδρου
τὰ ταρσὸν πάρας αὐτὸν ἀναιρεῖ. τελευτή

στένω στένω σε δισσὰ καὶ τριπλᾶ δορὸς
αὖθις πρὸς ἀλκὴν καὶ διαρπαγὰς δόμων
καὶ πῦρ φαντάζουσαν αἰστωτήριον
στένω σε πάτρα, καὶ τάφους ἀτλαντίδος
δύπτου κέλωρος ὅς ποτ' ἐν ῥαπτῷ κύτει
ὁποῖα πόρκος ἰστριεὺς τετρασκελὴς
ἀσκῷ μονήρης ἀμφελυτρώσας δέμας
ῥαθυμνιάτης κέπφος ὡς ἐνήξατο
ζήρινθον ἄντρον τῆς κυνοσφαγοῦς θεᾶς
λιπὼν ἐρυμνὸν κτίσμα κυρβάντων σάον
ὅτ' ἠμάθυνε πᾶσαν ὀμβρήσας χθόνα
ζηνὸς καχλάζων νασμός. οἱ δὲ πρὸς πέδῳ
πύργοι κατηρείποντο. τοὶ δὲ λοισθίαν
νήχοντο μοῖραν προὐμμάτων δεδορκότες
φηγοὺς καὶ δρύκαρπα καὶ γλυκὺν βότρυν
φάλαι τε καὶ δελφῖνες, αἵ τ' ἐπ' ἀρσένων
φέρβοντο φῶκαι λέκτρα θουροῦσαι βροτῶν ∴ γρ. θουρῶσαι

Κυνοσφαγοῦς θεᾶς. ἢ ἑκάτη. στέφανος περὶ πόλεων. ζήρυνθος πόλις καὶ ἄντρον ἐκαλ[εῖτο] τῆς ἐν θρᾴκῃ λυκόφρων ζήρινθ[ον] ἄντρ[ον] τῆς κυνοσφαγοῦς θεᾶς

στένω στένω σε δισσὰ καὶ τριπλᾶ· παρόσον ἡ ἴλιος τρίτον ἐπορθήθη. πρῶτον μὲν γὰρ ὡς ἔτι οἶμαι ἡ ἴλιος διὰ τοὺς ἵππους ἐπορθήθη τοῦ λαομέδοντος. δεύτερον δὲ κατέδραμον ταύτην αἱ ἀμαζόνες ὥς που καὶ ἐν τῷ γράμματι φησὶν ὅμηρος. ὡς ἐπὸ πριάμου ἦλθον ἀμαζόνες ἀντιάνειραι. τρίτον δὲ ὑφ' ἑλλήνων πορθηθεῖσα τελέως ἠφανίσθη. καὶ τάφους ἀντὶ τοῦ τάφου τοῦ δύπτου. ἢ κολυμβητοῦ κέλωρος. ἢ υἱοῦ ἀτλαντίδος θυγατρὸς ἠλέκτρας καὶ τοῦ ~~Διὸς~~ υἱοῦ αὐτῆς δαρδάνου. ὅς ποτ' ἐν τῷ κατακλυσμῷ ἀνερραμμένῳ δέρματι σκεπάσας τὸ σῶμα, αὐτοῦ (κατά τι τὸ πάλαι τοῦ τετράποδου ζῴου ὥσπερ ποιῶν ὅτε τὸ αὐτοῦ αἷμα ἀναφυσᾷ παρὰ τὸν δάνουβιν ποταμόν) διεπέρασεν ἐπὶ τὴν ἴλιον καταλαβὼν τὸ κατοικητήριον

τρὶς ἡ ἴλιος ἐπορθήθη

τῶν κυρβάντων. τοῦτο δὲ ἐποίησε ποτέ, ὅτε κατέκλυσε
τὴν γῆν ὁ ζεὺς ἐπὶ τοῦ δευκαλίωνος καὶ πάντες οἱ ἄνθρωποι
ἔπλει ἐν τοῖς ὕδασι καὶ τὰ παλαιὰ κατέπιπτον τῶν
δένδρων καὶ ἀμέλγον τοὺς καρποὺς τὰ θαλάσσια ζῶα
ἐνέμοντο οἱ δελφῖνες καὶ αἱ φῶκαι αἱ ἀεὶ τῆς συνουσίας
τῶν ἀνδρῶν ἐρῶσαι. ὃς δάρδανος ἐν τῷ ραπτῷ κύ
τει. ἢ. δέρματι. καὶ σκύτει. ἢ. χωρήματι ἐνήξατο ἐ
πλευσεν, ἔπλευσε δὲ μονήρης μονόκωπος ἢ μόνος
ἀμφιλυβώσας καλύψας τὸ σῶμα ἐν τῷ ἀσκῷ ὁ
ποία ὥσπερ ζῶον τετρασκελές. Δάρδανος ὁ υἱὸς
διὸς καὶ ἠλέκτρας τῆς ἄτλαντος θυγατρὸς ἐκ σαμοθράκης
ἐν τῷ κατακλυσμῷ ἐς τὰ κατὰ τροίαν μέρη ἐλθὼν κτίζει
τὴν δαρδανίαν κατὰ τελευτὰς, καὶ ὁ τάφος αὐτοῦ κεῖται
περὶ τὴν τροίαν ἐν τῷ μέρει τῆς δαρδανίας. ὕστερον ἡ δαρ
δανία καὶ ἡ ἴλιος καὶ ἡ τροία μία πόλις γεγόνασι./
νυκτίμου δὲ τὴν βασιλείαν λαβόντος ὁ κατακλυσμὸς
ὡς ἱστοροῦσιν ἐγεγόνει διὰ τὴν τοῦ πατρὸς κρεουργίαν,
πέμπτον δὲ ἐγὼ τὸν πατέρα γινώσκω ἀπὸ δαρ
δάνου, διὰ τοῦτο γ' ἕτεροι ἱστοροῦσιν γενέσθαι τὸν κατακλυ
σμόν, ἢ διὰ ἀξόνου τοῦ λυκάονος καὶ τὸ τῶν λυκάονος
παίδων ἀσέβημα, ὅτι τὸν νύκτιμον κατατεμόντες ἔ
θυσαν τῷ διί. γέγονε δὲ καθ' ἑτέρους ἱστορικοὺς ὁ κα
τακλυσμὸς οὗτος περὶ ἑλίκην καὶ βοῦραν τὰς πόλεις ἀ
νέμων πνευσάντων ἐναντίων, συνέπεσε νέφος πολὺ καὶ
ἐρρύη ὑετὸς καὶ γέγονεν ὁ κατακλυσμός. ἀνύπτου ἤγουν
ἀπὸ τοῦ συνεχῶς δεομένου ἐν τῇ σχεδίᾳ διὰ τὸ χει
μάζεσθαι. ἢ. τοῦ κολυμβητοῦ ἢ διὰ τὸ εἰς δύο ξύλα πή
ξαντα τὰς σχεδίας ἀπὸ σαμοθράκης πέραν φυγεῖν *
τὸν ἐπὶ δευκαλίωνος κατακλυσμόν./ πόρκος ζῶον
συνέζη παρὰ τὸν ἴστρον ποταμὸν τὸν λεγόμενον δά
νουβιν

∴ emendo ἄξενος ex interprete pindari in olympijs char. 47

σκύτος

μονήρης

Dardani sepulchrũ

δαρδανία καὶ ἡ ἴλιος καὶ ἡ τροία μία πόλις γεγόνασι

νύκτιμος filius lycaonis

ἀνύπτης

∴ ἢ πήξαντας σχεδίας ἀπὸ σαμοθράκης πεφευγέναι διὰ τὸν &c.

τετρασκελὲς λεπτῷ περιεχόμενον δέρματι ὁ φυσώμενο(ν)
γίνεται ὡς ἀσκὸς καὶ νήχεται ἕως ἂν λεπτωθῇ καὶ ἐξ
έρχεται ἐπὶ τὴν γῆν καὶ νέμεται. ὃ καὶ ἀφρῶν ψυχό

∴ γρ. μονόκωπη

μενον θνήσκει. μεμονωμένη δὲ ἔπεσε τὸν δάρδανον ὡς
μονόκωπον αὐτοῦ κεχρῆσθαι τῇ σχεδίᾳ. τὸ ἑξῆς
οὕτως. ὡς πόρκος τῷ ἰδίῳ δέρματι καθάπερ ἀσκῷ
ἐπισκεπάσας τὸ σῶμα νήχεται οὕτω καὶ ὁ δάρδανος
ἐπὶ σχεδίας ἔπλευσεν. ἔπλευσε δὲ καὶ δάρδανος

∴ γρ. κατασκεπάζων

ἐπὶ σχεδίᾳ καὶ τέσσαρας λίθους ἔχων κατασκιάζων ἑ
αυτὸν καθάπερ πόρκος. ῥέθυμνα πόλις κρήτης

ῥέθυμνα. stephanus ῥιθυμνία τὸ ἐθνικὸν ῥιθυμνιάτης
κέπφος
ζήρινθον ἄντρον

κέπφος θαλάσσιον ὄρνεον λαρῶδες ὃ παρ' ἀφρῷ θη
ρῶσιν οἱ παῖδες τῶν ἁλιέων. ζήρινθον ἄντρον α
θρακικὸν σπήλαιον. ἄντρον δὲ τὸ σπήλαιον ἢ παρὰ
τὸ ἄνω τετρῆσθαι. ἢ τετρυπημένον εἶναι. τὸ θρακικὸν
σπήλαιον τῆς ῥέας ἢ τῆς ἑκάτης καταλιπὼν ὁ δάρ
δανος. καὶ γὰρ ἡ ῥέα λέουσιν ἐποχουμένη. ἡ δὲ ἑκά
τη ξενοφυὴς οὖσα καὶ φοβερὰ θύουσιν αὐτῇ κύνα

Cur hecate canis sacrificatur. pro theocrito. nota

ὥσπερ ποι σώφρων ἐν μίμοις. ὁ γὰρ κύων βαΰζας
λύει τὰ φάσματα ὡς καὶ λύκος κυνηγηθεὶς ἤ τι
τοιοῦτον. σαὸν ὄνομα ὄρους θρακικοῦ οὗ μέ
μνηται νίκανδρος ἐν θηριακοῖς. ἢ σάου ἢ ἐμο

σάον. ὄρος

ύλλου κτίσμα. κυρβάντων σαὸν σπήλαιον. οἱ
κορύβαντες ἦσαν οἱ δαίμονες οἵτινες περὶ τὴν ῥέαν
ἱδρύσαντο. λέγοιμεν κουρῆτες δαναΐδος νύμφης
κρητικῆς καὶ ἀπόλλωνος παῖδες. οἱ δὲ κορύβαντες

κουρῆτες
κορύβαντες

θαλείας καὶ ἀπόλλωνος. ἠμάθωσε ἄμαθον ἐποί
ησε κατέκλυσε. ἄμαθος δὲ δι' ἑνὸς μ. γρά
φεται ἐκ τοῦ ἀμαθὴς καὶ ἀμέτρητος εἶναι ἐτυμολογου
μένη. καὶ ἄμμος κατὰ πλεονασμὸν γινομένη δι' ἑνὸς
μ. γράφεται ~~ἐκ τοῦ~~ μόνοι δὲ τοῦτο οἱ αἰολεῖς διπλα
σιάζουσιν ὡς καὶ τὰ λοιπά. καγχλάζων ἠχῶ φερό
μενος.

ἄμαθος
ἄμμος
αἰολέων αἱ διπλασιάσεις

α. ζήρινθ(ον) ἄντρ(ον) Corrigendu(m) ζηρύνθ(ιον) ἄντρον. ex stephano de urbibus. ζήρινθος inquit πόλις καὶ ἄντρον ἑκάτης ἐν θράκῃ. λυκόφρων. ζηρινθὸν ἄντρον τῆς κυνοσφαγοῦς. quamquam in stephano mendose pro legatur ζήρινθος ἄντρον τῆς κυνὸς φησίν. ~

Τοὶ δὲ· ἰδιωτικῶς ἀντὶ τοῦ οἱ ἄνθρωποι. φηγὸν· τὴν βάλανον· ἀπὸ τοῦ φάγω φηγὸν ἢ φηγὸν λεγομένην· οἱ γὰρ ἀρχαῖοι πρὸ τοῦ τὸν σῖτον εὑρεῖν βαλάνους ἤσθιον ἢ ὀπώρας. δρυκάρπα· πᾶσαν ὀπώραν ὥς που φησὶν ἐν ταῖς δωδεκαετηρίσιν ὀρφεύς. βάγη ἐννέα πάντας τὰ δὲ δρυὸς ἄκρα λέγεται φάλαινα· φαλαινοῦ ζωΰφιον ἐστὶν ταῖς λυχνίαις ἐφιστάμενον ὃ ἢ πυραγούμενος ἢ ψώρα καλεῖται. λέγεται δὲ φάλαινα παρὰ τὸ εἰς φῶς ἅλλεσθαι, μακρὸν δὲ ἔχει τὸ ᾱ, ἢ προσγραφόμενον δι' ἑνὸς λ. γέγραφεσθαι. τὰ γὰρ ὀνόματα τῶν ῥημάτων βραχύτερα. ὡς τὸ θάλλω θαλός ἢ πρίμην φαλαίνης τῆς χερσαίου ζωϋφίου ~~[illegible]~~ ὃ ἢ κανδηλοσβέστριαν ἰδιωτικῶς φασὶν ἢ πασαν. ἔστι δὲ ἢ φάλαινα κητώδης ἰχθύς. κατ' ἀποκοπὴν γοῦν φάλλαι εἶπεν. αἵ τε παρθένων. αἱ φῶκαι τε αἱ θουρῶσαι ἢ ἐρωτικῶς ὁρμῶσαι ἐπὶ λέκτρα τῶν ἀρρένων βροτῶν. ἡ φώκη θαλάσσιον ζῶον ἐστὶ χρυσοειδὲς βοὶ μᾶλλον παρόμοιον ἐρᾷ δὲ συνουσίας ἀνδρῶν. ἔστι δὲ πρὸς μάγειαν ἐπιτήδειον.,

Δρυκαρπα

φάλαινα
πυραγούμενος
ψώρα

τὰ ὀνόματα τῶν ῥημάτων βραχύτερα.
θάλλω θαλός

φῶκαι

Phocas hominum concubitus appetere & ad magicas artes utiles esse

λεύσσω θέοντα γρυνὸν ἐπτερωμένον
βύρωνος ἐς ἅρπασμα πεφναῖ κυνός
ἣν τόργος ὑγρόφοιτος ἐκλοχεύεται
κελυφάνω στρόβιλον ὠστρακωμένην

λεύσσω θέοντα· ἀνουλέξοντα τὸν ἀλέξανδρον θεωρῶ ἐπὶ τὴν ἁρπαγὴν τῆς ἑλένης. γρυνὸς λέγεται ὁ κορμὸς νῦν δὲ γρυνὸν λέγει ἢ τὸ πλοῖον τοῦ ἀλεξάνδρου διὰ τὸ ἐκ ξύλων πεποιῆσθαι ἢ αὐτὸν τὸν ἀλέξανδρον διὰ τὸ ὄναρ ὃ εἶδεν ἡ ἑκάβη ὅτι δαλὸν ἔτεκεν. ἐπτερωμένον δὲ διὰ τὸ μετὰ πλοίου πορεύεσθαι. πτερὰ γὰρ τῆς νηὸς τὰ ἄρμενα. βύρωνος ἐς ἅρπασμα· εἰς τὴν ἁρπαγήν

γρυνός

βήρων

τῆς λαγνεστάτης βήρωνος ἤτοι πληγάδος τῆς ἀξίας φονευ-
θῆναι ἱκανός ἢ τῆς ἀντὶ φόνου πολλοῖς. λέγει δὲ τὴν
Ἑλένην, βήρωνα δὲ αὐτὴν διὰ τὸ λευκὸν καὶ γὰρ ἡ
πληγάδα μονὴ τῶν πτηνῶν δι' ὅλου τοῦ ἔτους ὀχεύεται
καὶ νεοττοποιεῖ, ὅθεν αἰσχύλος φησὶ παμφόρου πελειά-

Τόρτος

δος. Τόρτος ὁ γρυπός, νῦν δὲ τὸν κύκνον λέγει. Ζεὺς γὰρ
ὁμοιωθεὶς κύκνῳ μίγνυται νεμέσει τῇ τοῦ ὠκεανοῦ

Nemesis dea oceani filia

θυγατρὶ εἰς χῆνα, ὡς ληροῦσιν αὐτὴν μεταβαλοῦσαν. ἡ δὲ
τεκοῦσα ᾠὸν ἐν τῷ ἕλει τοῦτο κατέλιπε. ποιμὴν δὲ
τοῦτό τις εὑρὼν τῇ λήδᾳ κομίζει, ἡ δὲ λάρνακι θεμένη ἐ-
φύλαττε, χρόνῳ δὲ τῷ καθήκοντι Ἑλένη γεννᾶται ἐκ
τοῦ ᾠοῦ ἣν ὡς ἰδίαν παῖδα ἡ λήδα ἔτρεφεν. τινὲς
δὲ καὶ κάστορα καὶ πολυδεύκην ἐκ τοῦ αὐτοῦ ᾠοῦ φασὶ
γεννηθῆναι.

Fabula Tyndari & ledę. Castoris & pollucis & helenae.

ἐν ἄλλοις δὲ τισὶν εὗρον ἱστορικοῖς ὅτι ὁ
Ζεὺς ἀστέρι εἰκασθεὶς καὶ μιγεὶς λήδᾳ κάστορα καὶ πολυ-
δεύκην γεννᾷ, ὕστερον δὲ οὕτως ὡς ἔφημεν τὴν Ἑλένην.

Juppiter in astrum vers(us) castorē & pollucē genuit

ἕτεροι δὲ πάλιν φασὶν ὅτι κύκνῳ ὁμοιωθεὶς τῇ λήδᾳ
ἐμίγη κατὰ τὴν αὐτὴν δὲ νύκτα καὶ ὁ Τυνδάρεως καὶ
ἡ μὲν ἐκ διὸς τὸν πολυδεύκην καὶ Ἑλένην γεννᾷ ἐκ δὲ
Τυνδάρεω κάστορα, ὅθεν καὶ θνητὸς ἦν ὁ κάστωρ. ὁ δὲ πο-
λυδεύκης ἀθάνατος. τὰς δ' ἀλληγορίας ἐατέον ὡς ἔ-
φην. ἐπεὶ δὲ ποθεῖτε καὶ ταύτας μαθεῖν ἀκούετε. Δίας

ἀλληγορία

οἱ παλαιοὶ πάντας ἐκάλουν τοὺς βασιλεῖς. τις
γοῦν βασιλεὺς τῇ λήδᾳ ἐμίγη μοιχικῶς περὶ τὸν εὐ-
ρώταν ποταμὸν ἥτις ἐξ αὐτοῦ ἔγγυος γενομένη μιᾶς
γαστρὶ παῖδας τρεῖς γεννᾷ, κάστορα πολυδεύκην καὶ
Ἑλένην. ᾠῷ δὲ παρεικάζει τὴν θυγατέρα αὐτῆς ὅτι τὸ
ᾠὸν ἐξ αὐτῆς σὺν δέρματι ἐγεννήθη ὃ δέρμα καὶ φιλακτή-
σιον αὐτοῖς ἐποίησαν. εἰς κύκνον δὲ λέγει τὸν δία
μεταβληθῆναι ὅτι οὐ βασιλικῶς ἐμίγη αὐτῇ ἀλλ' ἐν κα-
θύγροις τόποις καθάπερ οἱ κύκνοι. κηλυφάνῳ νῦν ᾠόν

κηύφανι

||: f. φυλακτήρι(ον)

ἀπολέσει. πάντα γὰρ τὰ λέπη κηλύφανα λέγονται.
στρόβιλον· στρογγύλον. στροβιλοειδῶς. ὀστρακωμένην
τῷ ὀστράκῳ τοῦ ᾠοῦ ἐσκεπασμένην

κηλύφανα

Καὶ δή σε ναύτην ἀχερουσία βίβος
καταιβάτις πύαργον οὗ πάγος κόπρους
στείβοντα ῥακτῶν βουσταθμῶν ἐξηνύσεται
ὡς πρόσθεν κάμψους τὸν θυωρίτην βισλαῖς
ἀγ' ὀστρίμων μὲν ἀντὶ γαμφηλὰς ὄνου
ἢ λᾶν θεράπνης. ἀντὶ δ' εὐχίλου κάπης
ἢ μενιαθμῶν ἠδὲ χρυσαίας πλάτης
βάμπτις σ' ὀχμὸς ἢ φερέκαδοι πόδες
διπτὰς σαγαρέββας κἄπι γυθίου πλάκας
ἐν αἷσι πρὸς κύνουρα, καμπύλους φαλάσας
πεύκης ὀδόντας ἔκτορας πλημμυρίδος
σκαρθμῶν ἰαύσεις ἀναφώστωνα στόλον
ἢ τὴν ἄνυμφον πόρτιν ἁρπάσας λύκος
δυοῖν πελειαῖν ὀρφανισμένην γοναῖν
ἢ δευτέραν εἰς ἀρκύων ὀθνείων βρόχων
λιτὴν ἐκπεσοῦσαν ἰξευτοῦ πτερῶ
θύνοισιν ἁρμοῖ μηλάτων ἀπαρτίσματα
φλέγουσαν ἐν κρόκῃσι ἢ βύνη θεᾷ
θρέξεις ὑπὲρ σκάνδιαν αἰγίνου τ' ἄκραν
αἴθων ἐπακτὴρ καγχαλῶν ἀγρεύματι

λᾶν· στέφανος ἀπὸ πόλεων. λᾶ· πόλις λακωνική. ὁ λυκόφρων ἢ λᾶν θεράπνης ταύτην ἑλόντες οἱ διόσκουροι λαπέρσαι ἐκλήθησαν. λέγεται καὶ ἀρσενικῶς. ταύτην δὲ καὶ ὅμηρός φησιν οἵ τε λάαν εἶχον οἱ δ' οἴτυλον. κέκληται δὲ ἀπὸ πέτρας ὑψηλῆς διὸ λᾶς καλεῖται. οἱ κατοικοῦντες λᾶοι.
:. ιβ. ἐπεπέ
σασαν

Καὶ δή σε ναύτην. ἀποστροφὴ τὸ σχῆμα· νῦν γὰρ πρὸς τὸν ἀλέξανδρον ἀποστρέφει τὸν λόγον. ἀχερουσία βίβος· ὁ ᾅδης ὅτι διὰ τὴν ἑλένην μέλλεις ἀποθανεῖν. ἢ τὸ ταίναρον τῆς λακωνικῆς ἀντὶ τοῦ ἀπελθεῖν ὅτι εἰς λακεδαίμονα ἀφίξῃ. ἔστι γὰρ ἐν τῷ ταινάρῳ τῆς λακωνικῆς στόμα. ὅθεν ᾅδου κάθοδον αὐτὸ λέγουσιν ὡς ἢ μὲν ἄν

ταίναρον

ρος

καταιβάτις

φησί. ἡ ἀντὶ τῆς ἐσχάτη πρὸς Ταινάρου. καταιβά-

πύγαργος

τις κάτω φέρουσα. πύγαργον δειλόν. ἢ αἰσχρόν ἢ
ἀργαλέα. εἰσὶ γὰρ μελάμπυγες πύγαργοι ἄδην δειλῶν
κατ᾽ ἀρχίλαον ἀφ᾽ οὗ ὁ ἅρπαξ πύγαργος. ὁ δὲ αἰσχρὸς
ἢ συνουσιαστικὸς τόπος λέγεται πύγαργος κατ᾽ ἀντίφρα-
σιν ὁ μὴ ἄρρεν ἔχων τὴν πυγὴν ἀλλὰ κινῶν αὐτὴν ἐν
τῷ συνουσιάζειν. ὁ δὲ δειλὸς πάλιν πύγαργος λέγεται
ὁ λευκὴν ἔχων τὴν πυγὴν ἐκ τοῦ ἐναντίου τῇ παροιμί-
ᾳ τῇ λεγούσῃ οὔπω μελαμπύγῳ τετύχηκας. ἦσαν
γὰρ οἱ μελάμπυγοι καθ᾽ ἑξῆς [?] ἡρακλῆς. οἱ δὲ λευκόπυγοι

οὔπω μελαμπύ-
γῳ συντετυχήκατε

πάντες ἀσθενεῖς καὶ δειλοὶ καὶ ἄνανδροι. ἄλλα δὲ ἡ ὠκε-
ανοῦ τοῖς ἰδίοις τοῦτο φασὶν ἔπη [?] περὶ ἡρακλέους
οὔπω μελαμπύγῳ συντετυχήκατε. παρὸς κόπρους ἐ-

ῥακτός
βουζαθμός

παύλεις μάνδρας. ῥακτῶν βουζαθμῶν βαχίων [?] βου-

θυωρίτης
θυωρός

στάσεων. κάμους θυωρίτην πατεξίτην [?], ἀργυρογνώμο-
να, κρίτην δὲ νῷν ἥρας, ἀθηνᾶς καὶ ἀφροδίτης. ἔκρι-
νε γὰρ αὐτὰς ἀλέξανδρος ἕνεκα τοῦ μήλου. θυωρὸς ἡ
τράπεζα ἡ τὰ θύη ἢ τὰ θυμιάματα ὠροῦσα ἢ ἡ φυ-
λάττουσα. ἀπ᾽ ὀσρίμων ἀντὶ τῶν ὀσριμῶν ἃ

ὀσρίμων
γαμφηλαὶ ὄνου

εἰσὶν ὄρη βοῶν [?]. γαμφηλὰς ὄνου τὰς σιαγόνας τοῦ ὄ-

λᾶν

νου λέγει. λᾶν πόλις λακεδαιμονίων ἣν ὅμηρος φη-
σὶν [ἱ]. λυχίλου κάπης τῆς ῥυπόφου φάτνης. ἢ τῆς καλά-

λυχίλος κάπη

χαλην ἐχούσης. ἢ καλάς ῥοφάς ὡς κρείττονας οὔσας τοῦ ἤτοι
ποιμενικοῦ βίου τοῦ ἀρπακτικοῦ καὶ μαχίμου. μη-

μηλιαθμός

λιαθμῶν μανδρῶν τῶν προβάτων. χροαὶ πλάτης

πλάτη
καλάβροψ

πτελοῦ ἤτοι καλαβρόπος. ἡ δὲ καλάβροψ ῥάβδος
ἐστὶ ποιμενική μικρὸν ἑκατέρωθεν ὑποκαμπὸς ἣν
ἀφιᾶσιν ἐπὶ τὰ ἀπὸ τῆς ἀγέλης ἀποσκιρτῶντα. πλά-

βάμεπις [?]

τη δὲ κυρίως τὸ πλάτυ τῆς κώπης. βάμεπις [?] βαρ-

ὀχέω. ῶ.

βαρικοῦ πλοίου. ὀχῆσαι ἢ βαστάξαι πορευσαι.
φερέκλειοι πόδες ὁ φέρεκλος περίφρασις. οὗτος γὰρ

ἱ emendo ἦν ὅμηρός φησι λᾶαν ex omeri catalogo
& prefata quam citavi stephani autoritate.

κατεσκεύασε τὰς ἀλεξάνδρου ναῦς πρὸς τοῦ ἑλλάδος κα
τάπλουν. διπλαῖς σαλάμβαις· δύο σαλάμβαι εἰσὶν
ἄκραι ἐν λακωνικῇ θύραι λεγόμεναι· σαλάμβαι αἱ
θύραι λέγονται παρὰ τὸ ἐν σάλῳ βαίνειν. σαλάμβαι
οἱ φανοὶ εἶται ἤτοι οἱ φεγγῖται ἰδιωτικῶς παρὰ τὸ σέλας
δι' αὐτῶν βαίνειν. γύθιον ἀκρωτήριον τῆς λακωνικῆς
πλάκας τοίχους ναοῦ. ἐν αἷς πλαξὶν ἤτοι τοίχοις
πρὸς κυνόσουρα, πρὸς τὰς βορείας μέρας. γαλούσας
καταβαλών. στύγνης ὀδόντας τὰς ἀγκύρας. ἐκτόρ
κωλύτας πλημμυρίδος τῶν κυμάτων. σκαρθμῶν
παύστις τῶν κινήσεων παύστης. ἐνναφώσσωμα
στόλον τὸν ἐννεάριθμον ἢ τὸν μονάριθμον ἢ ἐννεαφώ
σσωνα στόλον τουτέστιν ἀπὸ τῶν κινήσεων παύστης
ἢ παύστης εἰς τὸν αἰγιαλὸν τὸν στόλον ἢ τὴν πορφαν
σου τὴν φωσσώνης ἤτοι τὴν διαρίθμων. καὶ τὴν ἄ
νυμφον πόρτιν ἢ τὴν παρθένον δάμαλιν ἁρ
πάσας ὁ λύκος ἤτοι ὁ ἅρπαξ. δυοῖν πελειαῖν·
ὀρφανὴν ἢ ἔρημον οὖσαν τῆς γονῆς τῶν δύο περι
στερῶν ἤτοι ἰφιγενείας ἣν ἔσχεν ἐκ θησέως ὥς φησι δοῦ
ρις ὁ σάμιος ἢ ἑρμιόνης ἣν ἐκ μενελάου γεννᾷ.
ἐπειδὴ γὰρ ταύτην θησεὺς ἁρπάσας μετὰ τὸ τεκεῖν
ἰφιγένειαν ἀφῃρέθη αὐτήν. δευτέραν ἀρκύων· εἰς
τὴν δευτέραν ἀρκύων ἤτοι δικτύων· ἄρκυς γὰρ κυρίως
δίκτυον πρὸς ἄρκτων θήραν ἁρμόδιον. ὀθνείων βρό
χων ξένων ἀγρευμάτων. ποιητικαὶ εἰσὶν αὗται αἱ
λέξεις· ἄρκυς μὲν ὅθεν εἴρηται λεγομένη, βρόχος
δὲ ἀπὸ τῶν βρόχων οἷς θηρεύουσι πέρδικας ἢ ὄρ
νις ἢ ἕτερα. λήτην ἐμπρέσασαν αἰχμάλωτον
ἐγκρούσασαν ἐξ αὐτοῦ πτερῶν ταχυτῆτι τοῦ ἀλεξ
άνδρου ἢ τοῦ πλοίου θύουσι ταῖς βάκχαις πυρὰ
τὸ ἐν τῷ ὄρμῳ θύσαις λεγομέναις. ἁρμοὶ νεωστὶ

ἢ ἐκάρμενον ἤτοι μονάριθμον

φέγκλος

σαλάμβαι

γύθιον

πλάκες

κυνόσουρα

πλημμυρίς

σκαρθμός

φ. ἐνναφώσσωνα ἤτοι τὴν διάριθμον

ἰφιγένεια

ἑρμιόνη

ἄρκυς

ὀθνεῖος

βρόχος

λήτης nota ~~foeminino ge nere~~

θύσαι ἢ βάκχαι

ἀρμοῖ — ταχέως. ἀπὸ τοῦ ἅρμα, ἀρμοῖ· καὶ Αἰσχύλος ἐν Προμηθεῖ, ἀρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους. μηλάτων ἀπάργματα, ἀπαρχὰς καὶ θυσίας προβάτων.

μῆλον — μῆλον δὲ τὸ πρόβατον αἰολικῶς, παρὰ τὸ μέλω τὸ φροντίζω λεγόμενον, ποιμενικὸν γὰρ καὶ γεωργικὸν βίον εἶχον οἱ παλαιοί. Κρόκησι κρόκοις αἰγιαλοῖς ἀπὸ τοῦ κέρω τὸ κόπτω, κερόκη

κρόκη — καὶ κρόκη, πρὸς ἣν θραύονται καὶ κλῶνται τὰ κύματα.

βύνη — βύνη τῇ Βύνῃ Λευκοθέᾳ τῇ Ἰνοῖ· παρὰ τὸ βύω τὸ κολυμβῶ ὥς τινες φασίν, ἐγὼ δὲ παρὰ τὸ βύω τὸ κρύπτω, ὅθεν καὶ αὐτὴ βύνη· ἡ δὲ τῆς

ἰνοῦς ἱστορία — Ἰνοῦς ἱστορία τοιαύτη. πλέουσα μετὰ τοῦ παιδὸς αὐτῆς Παλαίμονος εἰς θάλασσαν διὰ τὸ διώκεσθαι ὑπ' Ἀθάμαντος ἀπεπνίγη. ἐξεχύθη δὲ περὶ Κόρινθον περὶ Σχοινοῦντα ὑπὸ δελφῖνος. Ἀμφίμαχος δὲ καὶ Δονακῖνος ἀνελόμενοι τὸ σῶμα, ἄγουσιν εἰς Κόρινθον.

∴ γρ. γεράνειαν antone Stephano in ἐπιδείξει

σίσυφος — Σίσυφος ἀδελφὸς ὢν Ἀθάμαντος βασιλεύων Κορίνθου ἀγῶνα καὶ θυσίαν ἐπ' αὐτοῖς ἐτησίως ἐκέλευσε γίνεσθαι. ὅθεν καὶ θεοὺς αὐτοὺς κεκλήκασιν καὶ Λευκοθέαν ἀπὸ τοῦ τῆς θαλάσσης ἀφροῦ τὴν Ἰνώ.

εὐρύκλεια — ἦν δὲ τῆς Ἰνοῦς θυγάτηρ Εὐρύκλεια.

θρέξαι — θρέξας κνεὶς θρέξαι τὸ συμπῆξαι γάλα, πρὸς τὸ τυροποιῆσαι λέγεται· ναῦ δὲ ἀντὶ τοῦ πηδήσας ἢ ἕξας.

σκάνδεια. πό(λις) — Σκάνδεια πόλις Κυθήρων.

αἴγιλος — Αἰγίλου ἄκραν Πελοποννήσου ἀκρωτήριον.

αἴθων ἐπακτήρ — Αἴθων ἐπακτήρ· διάπυρος, ὀξὺς κυνηγός. καγχαλῶν ἀγρεύματι τῇ θήρᾳ ~~...~~ χαίρων, λέγει δὲ ἄγρευμα τὴν Ἑλένην.

μέσῳ δ' ἐνὶ δράκοντος ἐκχέας ποτὸν
ἀκτῆς διμόρφου γηγενοῦς σκηπτουχίας

τὴν δευτέραν ἕωλον οὐ κόψας Κύπριν
ψυχρὸν παρεκκάλισμα, κἀξ ὀνειράτων
κεναῖς ἀφάσσων ὠλέναισι δέμνια.

νήσῳ δ' ἐνὶ δράκοντος. νήσου δράκοντος τὴν Σαλαμῖνα λέγει. τὴν γὰρ Σαλαμῖνα, δράκων πρώην κατεῖχεν ἢ θηρίον ἢ Κύχρον ὄνομα βασιλέως, ἢ ὡς πρὸς κατά τινας ἐκθηριωθέντων. Κυχρεὺς δὲ Ποσειδῶνος καὶ Σαλαμῖνος υἱὸς ὡς ἔφη Εὐφορίων ἀνεῖλε τὸν δράκοντα, καὶ τὴν τῆς Σαλαμῖνος βασιλείαν κατέσχεν. οὕτω γοῦν τὴν Σαλαμῖνα δράκοντος εἴρηκε νῆσον. ἐν ᾗ φησὶν ἐκχέας τὸν πόθον τὸν ἕωλον καὶ χθεσινὴν Κύπριν καὶ συνουσίαν οὐ κόψας δευτέραν. τὴν δὲ σύνταξιν βαλεῖς εἰς τὸ διάγραμμα. ἀκτῆς Ἀττικῆς τῶν Ἀθηνῶν. ἀκτὴ δὲ λέγονται αἱ Ἀθῆναι ὅτι Ἀκταῖος αὐτῆς ἐβασίλευσεν, ἢ ὅτι ἀκτή ἐστι τουτέστι προσβεβλημένη καὶ κειμένη τὸ πλεῖον μέρος εἰς τὴν θάλασσαν. τῆς Ἀττικῆς δὲ νῆσος ἡ Σαλαμίς. διμόρφου γηγενοῦς σκηπτοῦχοι. ἡ Ἀττικὴ γὰρ βασιλεία ἦν τοῦ Κέκροπος ὃς ἐλθὼν ἀπὸ Σάεως πόλεως Αἰγύπτου τὰς Ἀθήνας συνῴκησε, Σαῒς δὲ κατ' Αἰγυπτίους ἡ Ἀθηνᾶ λέγεται ὥς φησι Χάραξ. διμόρφου δὲ λέγουσι καὶ διμόρφου γηγενοῦς τὸν Κέκροπα, διὰ τὸ ἀνδρῶν φυὴν καὶ μέγεθος ἔχειν, ἢ διὰ τὸ δύο φωνὰς ἐπίστασθαι Αἰγυπτίαν καὶ Ἑλληνίδα, ἢ ὡς ληροῦσι τὰ ἄνω ἀνθρώπου τὰ δὲ κάτω δράκοντος ἔχειν. ὁ γὰρ ἀλληγορῶν Δημοσθένης ὅτι κατ' ἀλκὴν ὡμοίωτο δράκοντι, ἀνθρώπῳ δέ γε τὴν φρόνησιν. ἐγὼ δὲ οὕτως ἀλληγορῶ· ὅτι ἀγαθὸς βασιλεὺς γενόμενος πᾶσαν θηριωδίαν ἐθνῶν οὕτως ὑπέταξεν ὡς μίαν σύμπνοιαν πάντας ἔχειν αὐτῷ καὶ ἀγαθὸν ἡγεμόνα καὶ παντοκράτορα. διὰ ταῦτα γοῦν λέγουσιν αὐτὸν διφυῆ, ἢ ὡς ἕτερον ἀντὶ τῶν Ἀντίοχος ὅτι πρότεραι αἱ καθ' Ἑλλάδος γυναῖκες θηριωδῶς ἀνὰ τὰ ἄλσεα καὶ οὐ κατὰ συζυγίαν ἐμίγνυντο.

*νῆσος δράκοντος*

*Σαλαμίν*

*ἀκτή πόθεν*

*Κέκροψ Αἰγύπτιος*

*Κέκροψ διφυὴς πόθεν*

οἱ τότε παῖδες τότε μονοφυεῖς ἦσαν. μητέρα γὰρ μόνην, πα-
τέρα δὲ οὐκ ἐπεγίνωσκον. βασιλεὺς δὲ κέκροψ τῆς ἀ-
ττικῆς κατέπαυσε τὸ θηριῶδες τῆς μίξεως καὶ ἀνδράσιν
νομίμοις ἐποίησε τὰς γυναῖκας συνάπτεσθαι. ἔκτο-
τε γοῦν ἐκ τούτου οἱ παῖδες πατέρα καὶ μητέρα, ἐγνώρισαν
τοὺς γνησίους αὐτῶν τῆς γνώμης δύο τυγχάνοντας φύσεων
διφυὴς καὶ ὁ κέκροψ ἐκλήθη ὡς τοῦτο ποιήσας αὐτοῖς

Erichthonij fabula

ἐριχθόνιος

γηγενοῦς· ὅτι ὁ ἐριχθόνιος ἐκ τῆς γῆς ὥς φασιν ἀνεδόθη
ἀθηνᾶ γὰρ ἐλθοῦσα πρὸς ἥφαιστον ἕνεκεν ὅπλων κατα-
σκευῆς, ἐρασθεὶς ἥφαιστος ἐδίωκε. καταλαβὼν δὲ ὡς ἂν
περιπλέκειν αὐτῷ ἀθηνᾶ, ἐπὶ τοὺς μηροὺς ἀπεσπέρμηνεν
ἡ δὲ μυσαχθεῖσα ἐρίῳ εἰς γῆν τὸν γόνον ἀπέρριψε
ἀνεδόθη δὲ ὁ ἐριχθόνιος ἀπὸ τοῦ ἐρίου κληθεὶς καὶ τῆς χθο-
νός, ὅθεν πάντας ἀθηναίους γηγενεῖς φάσκουσιν ἀπὸ
τούτου. ἄλλοι δέ φασιν ὅτι λυπρόγεως ἡ ἀττική, καὶ οὐ-
δέποτε ὑφ' ἑτέρων ἐξηλάθησαν οἱ ἐν αὐτῇ διὰ τὸ ἄ-

αὐτόχθονες
γηγενεῖς

ζηλον τῆς αὐτῶν χώρας· ὅθεν αὐτοὺς αὐτόχθονας καὶ γη-
γενεῖς ἔφησε. τὸ δὲ περὶ ἀθηνᾶς καὶ ἡφαίστου οὕτως ἐστὶν
ἀθηνᾷ τινὶ βασιλίδι τῇ καὶ βρεγενικῇ καλουμένῃ θυγα-
τρὶ βρονταίου ὑπαρχούσῃ ἥφαιστος γαμεῖ μεθ' ἧς γεννᾷ
ἐριχθόνιον ὃς ἐβασίλευσεν ἀττικῆς. πολλαὶ γὰρ ἀθη-
ναῖ καὶ ἀφροδῖται καὶ οὐ μία, οὐδὲ μυθικὴ ὡς καὶ τὰ λοι-
πὰ τῶν ὀνομάτων. τὴν δευτέραν ἕωλον· φησὶν δὲ ὅτι
τὴν χθεσινὴν ἀφροδίτην οὐκ ὄψει. ἅπαξ γὰρ αὐτῇ
συνεγένετο ἐν τῇ ἀττικῇ καὶ πλεύσας εἰς αἴγυπτον

.: γρ. κομισ

ἀφῃρέθη αὐτὴν ὑπὸ πρωτέως, ὁ δὲ ποιήσας εἴδωλον
αὐτῆς ἀπῆρεν εἰς τροίαν. ψυχρ(ὸν) παραγκάλισμα ψυ-

ἀφάσσων

χρὰν περιπλοκὴν ὀνειράτων ἀφάσσων. ἤγουν ψηλαφῶν
τὴν κοίτην. λέγουσι γὰρ ὅτι διερχομένου ἀλεξάνδρου

ἑλένη ἐν αἰγύπτῳ

δι' αἰγύπτου ὁ πρωτεὺς ἑλένην ἀφελόμενος εἴδωλον ἑλένης αὐτῷ
ἔδωκε καὶ οὕτως ἔπλευσεν εἰς τροίαν ὡς φησι στησίχορος· τρῶ-
ες ὅτι τέως ἦσαν ἑλένης εἴδωλον ἔχοντες. ~/.

ὁ γάρ σε συλλέκτροιο Φλεγραίου πόσις
στυγνὸς Τορώνης, ᾧ γέλως ἀπέχθεται
καὶ δάκρυ, νῆις ἐστὶ καὶ τητώμενος
ἀμφοῖν, ὁ Θρῄκης ἔκποτ' εἰς ἐπακτίαν
Τρίτωνος ἐκβολαῖσιν ἠλοκισμένην
χέρσον περάσας οὐχὶ ναυτίλῳ στόλῳ
ἀλλ' ἀστίβητον οἶμον, οἷά τις σιφνεύς
κευθμῶνος ἐν σήραγγι τετρήνας μυχούς
νέρθεν θαλάσσης ἀτραποὺς διήνυσε
τέκνων ἀλύξας τὰς ξενοκτόνους πάλας
καὶ πατρὶ πέμψας τὰς ἐπηκόους λιτὰς
στῆσαι παλίμπουν ἐς πάτραν ὅθεν πλάνης
Παλληνίαν ἐπῆλθε γηγενῶν τροφόν
κεῖνός σε Γουνεὺς ὥσπερ ἐργάτης δίκης · γρ. ἐργάτης
τῆς θηλίου θυγατρὸς Ἰχναίας βραβεύς
ἐπεσβολήσας λυγρῶν νοσφιεῖ γάμων
λιπόντα, κάσσης ἐκβαλὼν πελάδος

Φλεγραίας· θρακικῆς· ὅτι ἐκεῖσε οἱ γίγαντες ἐφλέχθησαν · Φλεγραία
πόσις στυγνὸς Τορώνης· ἡ Τορώνη δὲ γυνὴ Πρωτέως · Τορώνη
ἡ δὲ σύνταξις καθ' ὑπερβατόν· ἀπὸ τοῦ ὁ γάρ σε συλ
λέκτροιο μέχρι τοῦ λιπόντα κάσσης ἐκβαλὼν πελ
άδος. συνταχθήσεται τῷ διαγράμματι. ᾧ γέλως ἀπε
χθεται· ~~καὶ δάκρυον~~ μισεῖται καὶ τὸ δάκρυ καὶ ὁ γέλως
νῆις δέ· ἤγουν ἄπειρος ἐστί. τητώμενος· ἤγουν στερισκόμενος · νῆις
ἀμφοῖν ἤτοι γέλωτος καὶ δακρύου. ὁ Θρῄκης ἔκπο · τητώμενος
τε· ὁ ἐκ τῆς Θρᾴκης περάσας ποτὲ εἰς τὴν ἐπακτίαν
γρ. ἀπαυξανομένην · καὶ ἀπεξενωμένην χέρσον, λέγει δὲ τὴν Αἴγυπτον, αὐξη
θεῖσαν ὑπὸ τῆς κατασυρομένης ἰλύος. ἡ γὰρ Αἴγυπτος
ὡς φησὶ Διόδωρος καὶ Ἡρόδοτος καὶ πάντες πέλαγος ἦν
οὕτω δὲ ἐχερσώθη καὶ χερσοῦται ταῖς ἐκβολαῖς τῆς ἰλύ
ος

~~ἠλοκισμένων γρ.~~
~~ὑπὸ τοῦ ἄλοξ ὑπο~~
~~ἀβάτων ἀλαουσία~~
~~illunites~~

nutritia

οὕτως ἐστὼ τὸ ἠλοκισμένων ἀντὶ τοῦ χαρασσομένων λέγω ἢ
κεχαρασμένων, ἄλαξ γὰρ ἡ αὔλαξ ἤτοι ἡ γῆ. Οὐχὶ ναυ
άτῃ στόλῳ οὐ τῇ μετὰ πλοίων πορείᾳ. Ἀστίβητον
οἶμον ἀλόγις δίπυνος καὶ ἐπορεύθη ἀβάτους ὁ
δοὺς νέρθεν τῆς θαλάσσης ἤτοι ὑποκάτωθεν. ἢ θαυμα
στικὸν ἀστίβητον οἶμον. Κευθμῶνος ἐν σήραγγι τε
τρήνας μυχοὺς ἐν τῷ τοῦ κρυπτοῦ καὶ κατωτάτου τόπου
σήραγγι. ἤγουν κοίλῳ τόπῳ τρυπήσας σπήλαιον. Δίας
τις σφηνεὺς ὥσπερ τις ἀσπάλαξ ὅ ἐστι ζῷον ὅμοιον
ἀνορύσσει δὲ τὴν γῆν καὶ κοιλαίνει αὐτήν. Ἀλύξας. ἤγουν
ἐκφυγὼν τὰς ξενοκτόνους πάλας τῶν αὐτοῦ τέκνων
ἡ δὲ ἱστορία ἐστὶν αὕτη Πρωτεὺς Ποσειδῶνος υἱὸς τῷ
γένει αἰγύπτιος εἰς Φλέγραν τῆς Παλλήνης καὶ Θράκης ἐλ
θὼν ἐξ αἰγύπτου Τορώνην γαμεῖ ἐξ ἧς αὐτῷ Πολύγονος
καὶ Τηλέγονος οἱ καταπαλαίοντες τοὺς ξένους ἀνήρουν,
ὧν τὴν ξενοκτονίαν μὴ φέρων Πρωτεὺς τῷ ἑαυτοῦ πα
τρὶ τῷ Ποσειδῶνι ηὔξατο πάλιν καταξῆσαι αὐτὸν εἰς
αἴγυπτον. ὁ δὲ ὑπακούσας αὐτῷ, σπήλαιον ἐκ τοῦ
χάσματος τῆς Παλλήνης ποιήσας ὑποκάτωθεν θαλάσσης,
οὕτω διήγαγεν αὐτὸν ἀβρόχως μέχρι αἰγύπτου, Ἡρακλῆς
δὲ περὶ Θράκην διερχόμενος καὶ καταπαλαίσας ἀνεῖλε
τὸν Πολύγονον καὶ τὸν Τηλέγονον, ὅπερ μαθὼν ὁ Πρωτεὺς
ὁ τούτων πατὴρ οὐ γελᾷ μὲν ὅτι παῖδες ἦσαν αὐτοῦ
ὅτι δὲ ξενοκτόνοι οὐδὲ δακρύει. Τὸ δὲ ἀληθὲς μὴ φέ
ρων ὁ Πρωτεὺς τὰς ξενοκτονίας αὐτῶν ἔρριψεν ἑαυτὸν
κατά τι χάσμα τῆς Παλλήνης καὶ ἀναιρεθεὶς οὔτε δα
κρύει οὔτε γελᾷ. τὰ δὲ λοιπὰ ἐς μῦθον ἐσχεδίασθησαν
Τρίτωνος ἐκβολαῖς Τρίτων ὁ Νεῖλος ὅτι τρὶς ὠνομάσθη
πρότερον γὰρ ὠκεανὸς ἐκαλεῖτο. δεύτερον ἀετὸς ὅτι
ὀξέως ἐπέρρυε. τρίτον αἴγυπτος. Τὸ δὲ Νεῖλος νέον
ἐστὶν ἀπὸ τοῦ νέαν ἄγειν ἰλὺν καὶ χρῶσαι τὸ πέλαγος

Σήραγξ
μυχός
σφηνεύς
ἀσπάλαξ

Phlegra pallenes

ἢ Φλέγραν

Protei historia

Proteus neq: ridet neq: plorat. politianus in nutritia
nam quid ego innumeras
variantē protea formas
sed dubio risus vultu lachrymasq: perosum.

Nili nomina

Nilus fl

νήρθε θαλάσσης χωρὶς τοῦ ι. γράφεται κατὰ τὸν κανόνα ὃν πρώην ἐδίδαξα, ἔστι δὲ ἡ κοινὴ συλλαβὴ ἡ δέχεται μακρόν. παλιμπέμπας ἐπηκόους λιτὰς τῷ ποσειδῶνι πέμψας τὰς εὐχὰς ὑπηκόους τὸ στῆσαι ἢ ἀς αὐτὸν παλιμπόσως. ἢ ὀπισθόρμητον εἰς τὴν φάραν ἤτοι τὴν αἴγυπτον ὅθεν ἀπὸ τῆς αἰγύπτου πρώην πλάνης. ἢ πλανώμενος ἐσφάλη εἰς τὴν παλλήνην. ἢ εἰς τὴν παλλήνην τροφὸν τῶν γιγάντων ὡς ἄτοπον κἀκεῖνος δὲ γουνεὺς τὸ ἑξῆς οὕτως ἐκεῖνος δὲ ὁ πρωτεὺς ὥσπερ ὁ τῆς δίκης ἐργάτης γουνεὺς ἐρήμωσε τῶν γάμων τῆς συλλέκτρου ξένης, ὁ δὲ γουνεὺς οὗτος ἄραψ ἦν τῷ γένει δικαιότατος ὅστις στασιάζοντας ποτὲ τοὺς βαβυλωνίους καὶ φοίνικας ἐλθὼν κατήλλαξε καλῶς ὑπὸ σεμιράμιδος, τούτῳ τοίνυν τῷ γουνεῖ παρεικάζει τὸν πρωτέα, ὡς δικαίως τὴν ξένην ἀφελόμενος ἰχναία ἡ θέμις ἢ ἡλίου θυγάτηρ ὅτι κατ' ἴχνος καὶ κατὰ πόδας ἕπεται καὶ λάμπει δίκην ἡλίου. λίπτουσα ἐπιθυμοῦσα. κάσσης ἐκβαλὼν πελειάδος τῆς πόρνης χωρίσας σε περιστερᾶς λέγει δὲ τῆς ξένης

Γουνεύς

λίπτουσα

κάσση

Οἳ τοὺς λύκου τε καὶ χιμαιρέως τάφους
χρησμοῖσι κυδαίνοντας οὐκ αἰδούμενος
οὐδ' ἀνθέως ἔρωτας, οὐδὲ τὸν ξένοις
σύνδορπον αἰθαλῶνος ἁλμυρὸν πέδον
ἔτλης θεῶν ἀλοιτὸς ἐκβιῶσαι δίκην
λάξας τράπεζαν κἀνακυπώσας θέμιν
ἄρκτου τιθήνης ἐκμεμαγμένος τρόπους

λύκου τε καὶ χιμαιρέως. οὗτοι παῖδες ἦσαν τῆς ἀτλαντος θυγατρὸς κελαινοῦσης καὶ προμηθέως. ἔκειντο ἐν τροίᾳ, λοιμοῦ δὲ καταλαβόντος λακεδαιμονίαν ἐ

χρήσθη μὴ μεθεῖναι τοῦ λοιποῦ ἐπεὶ ... λακεδαιμονί
ων ἀπελθὼν ἐν τῇ τροίᾳ, θύσαι τοῖς τάφοις αὐτῶν. ἀπελθόν
τος δὲ καὶ θύοντος τοῦ μενελάου, ἀκουσίως ἀλέξανδρος παί
ξας παιγνίῳ καὶ ἀνθηρῶν ἄνθεα ὡραῖον, οὗ ἦν ἔρως. ἀλέξ
ανδρος αὐτὸς καὶ δηίφοβος ἀπαίρει μετὰ τοῦ μενελάου
εἰς σπάρτην καὶ συμφαγὼν αὐτῷ τὸν νενομισμένον ἅλα,
προτίθεται ταῖς ξενίαις τραπέζαις ἁρπάξας τὴν ἑλένην
μετὰ τῶν ἑκατὸν ταλάντων χρημάτων καὶ πέντε θεραπου
γυναικῶν ὧν μία ἦν ἡ αἴθρα ἡ μήτηρ θησέως διὰ σι
δῶνος καὶ αἰγύπτου ποιησάμενος τὸν ἀπόπλουν ὁλοκ
λήρῳ χρόνῳ εἰς τροίαν κατήρειν. ἅλα δὲ ἐτίθουν οἱ πα
λαιοὶ ἐν ταῖς τῶν ξένων καταρχαῖς συμβολικῶς ἐπιλεγό
μενοι καὶ ὡς ὁ ἅλας ἐκ δύο φύσεων τῆς ὑδατώδους καὶ
πυρὰς εἰς μίαν φύσιν ἐπάγη τοῦ ἀέρος· οὕτω παγῆναι καὶ
τούτους εἰς μίαν ὁμόνοιαν καὶ φιλίαν. αἰγαίωνος τοῦ
ποσειδῶνος ἀπὸ τοῦ ἐν ταῖς αἰγαῖς πόλει τῆς ἀχαΐας καὶ
ἐν τῷ αἰγαίῳ τιμᾶσθαι. αἰγαῖον δὲ τὸ πέλαγος ἐκλήθη
ὅτι δίκην αἰγὸς κυματοῦται. ἀνίπτην πόντον τὸν ἅλα διὰ
τὸ τίθεσθαι ἐν ἀρχαῖς τῶν ξενιῶν καὶ ἀνίζειν καὶ καθαίρειν
τοὺς φιλιουμένους· ἢ ὅτι τὸ ἁλικὸν καὶ θαλάσσιον ὕδωρ
καθαρτικώτερόν ἐστι τῶν γλυκέων κατά τε ἄλλοις δοκεῖ
καὶ οὐκ ἔοικε. πόντον δὲ διὰ τὸ ἐξ ὕδατος πεπῆχθαι
~~..~~ ἔτλης θεῶν· ἐπωμὶ οὕτω φησίν· ὅστις γὰρ οὐκ αἰδέ
σθεὶς τοὺς τιμήσαντας τοὺς τάφους λύκου καὶ χιμαιρέως αἰ
τίᾳ δὲ τὸν μενέλαον καὶ τοὺς μετ' αὐτοῦ λάκωνας οὔτε τοὺς
ἀνθέως ἔρωτας, καὶ τόδε καὶ τόδε ἔτλης ὑπέμεινας ὁ ἀ
λοιτὸς καὶ ἁμαρτωλός, μὴ παρακρίνων τούτεστιν ἐν τῇ δί
κῃ τῶν θεῶν ἥρας δηλονότι ἀφροδίτης καὶ ἀθηνᾶς. τοῦτο δὲ ἐ
νοεῖ ἀνάμεσον, μετὰ γὰρ τὸ φαγεῖν ἐν τοῖς οἴκοις τοῦ μενε
λάου οὐκ ἔκρινεν ἀλέξανδρος τὰς θεὰς ἀλλὰ πρότερον. λάξας
τράπεζαν λακτίσας ὡς ὄνος τὴν τράπεζαν τοῦ μενελάου

^ additum manu demetrij in margine καὶ ξενωθέντος παρ' ἀλεξάνδρου *

+ additū in margine manu demetrij υἱοῦ ἀντήνορος

∴ γρ. συμβολικῶς

sal adhibebatur in initijs nouarum amicitiarum & hospitalitatum

αἰγαίων ὁ ποσειδῶν
αἰγαῖον πέλαγος

∴ γρ. καὶ
+ γρ. γενέσθαι

τουτέστι καταφρονήσας τῶν νόμων τῶν κειμένων ἢ ἐθῶν τῶν
δηλούντων μὴ κακουργεῖν τοὺς ὁμοτραπέζους ἢ συνεστίους.
οὐ γὰρ ξενιαθεὶς ἢ συμφαγὼν αὐτῷ ἀφῆλες ἢ τὴν γυναῖκα
καὶ κἀνακυπώσας θέμιν ἢ ἀναβάλλας τὸ δίκαιον.
κατὰ δὲ τὸ μυθικὸν ἡ θέμις θεά, δικαιοσύνης ἔφορος
ἄρκτου τιθήνης θηλαζούσης ἀναμαξάμενος ἤτοι
λαβών, ὅτε γὰρ θηλάζουσι τὰ θηρία φυλακῇ τῶν τέκνων
ἀγριώτερα γίνονται. ἢ οὕτω τῆς θηλῆς εἰς οὐ λαβὼν
τοὺς τρόπους τουτέστι θηριώδης ἢ ἄδικος φανεὶς περὶ τὸ
μέγαρον. φασὶ γὰρ ὅτι μετὰ τοῦ φανέντα ὄνειρον τῇ
ἑκάβῃ περὶ ἀλεξάνδρου ἀρχελάῳ οἰκέτῃ ὁ πρίαμος
δίδωσιν ἐκθεῖναι τὸν ἀλέξανδρον εἰς ἴδην. ἐκεῖ δὲ ἡμέρας του
τον ἄρκτος ἐθήλασεν ἐκκείμενον. ἔπειτα πάλιν ὁ ἀρχέλαος.
τοῦτον ἀνελόμενος ἐπὶ τῶν χωρίων ὡς ἴδιον ἔτρεφεν πάριν
κατονομασθέντα ὕστερον δὲ ποιμένας ἀλεξήσας ἀπὸ
τῶν λῃστῶν ἀλέξανδρος ἐκλήθη

τοὶ γὰρ ψαλάξεις εἰς κενὸν νευρᾶς κτύπον
ἄσιτα κἀδώρητα φορμίζων μέλη
κλαίων δὲ πάτραν τὴν πρὶν ἠθαλωμένην
ἕξῃ χροῒν ἄδωλ' ἢ καλισμένος
τῆς πενταλέκτρου θυάδος πλευρῶνι

τοὶ γὰρ ψαλάξεις διὰ τοῦτο τοιγαροῦν διὰ τὸ ἄδικον γὰρ
ἔσται σε εἰς κενὸν ψαλάξεις. ἡ κίνησις νευρᾶς κτύπον
τουτέστι τὸ μέλος. ἔστι δὲ σεμνότης τὸ σχῆμα. λέγει
δὲ ἀπὸ παροιμίας κιθαριζῶν τῶν ἀσίτως ἢ ἀδώρως
κιθαριζόντων ἥτις ἐστὶν αὕτη εἰς κενὸν κρούειν τὰς χορ
δάς. κλαίων δὲ ἕξῃ πάτραν κλαίων δὲ ἕξῃ ἢ παρα
θήσῃ εἰς τὴν πατρίδα τὴν τροίαν τὴν ὑφ' ἡρακλέους
καταφθαρεῖσαν ἕνεκα τῆς ὑποσχέσεως τῶν ἵππων τοῦ λαομέ
δοντος

ἀνακυπτώσω
θέμις

πε. θηλαζού
σης



περὶ ἀλεξάνδρου
ὡραῖα

ψαλάξεις
. πορδι.
εἰς κενὸν κρούειν
τὰς χορδάς

χροῒν εἴδωλον ἢ καλλίσωμος ἄνδρι τῇ χροῒ κατέχων τὸ εἴδωλον τῆς Ἑλένης ὁ Πρωτεὺς σοὶ δοὺς τὴν Ἑλένην κατέσχε. πενταλέκτρου θυάδα, ἤτοι βάκχην τὴν Ἑλένην καλεῖ, ἐπεὶ πέντε ταύτην ἔγημαν ἄνδρες. πρῶτος Θησεὺς ἑπταετῆ ταύτην ἁρπάσας καθά φησι Δοῦρις ὁ Σάμιος ἀφαιρεθεὶς αὐτὴν ἐν τῷ ἐπιτηδείῳ ὑπὸ Πολυδεύκους καὶ Κάστορος τῶν αὐτῆς ἀδελφῶν ἐκ Ἀφίδνας πολιχνίου τῶν Ἀθηνῶν γεννήσασαν Ἰφιγένειαν καὶ θεῖν παῖδα παρὰ Κλυταιμνήστρᾳ ποιεῖται. ^ γεννᾶν σὺν Ἑλένης νυμφίος ὡς ἔφημεν ὁ Θησεύς. δεύτερος ὁ Μενέλαος νομίμως ἐκ κλήρου ταύτην λαχών. τρίτος Ἀλέξανδρος ἁρπάσας αὐτήν. τέταρτος μετὰ θάνατον Ἀλεξάνδρου Δηΐφοβος ὁ αὐτοῦ ἀδελφὸς ἀριστεύσας κατὰ πόλεμον καὶ ταύτην ὡς ἀριστεῖον κατά τινας λαβὼν ἢ βίᾳ κατ' Εὐριπίδην. πέμπτος Ἀχιλλεὺς πρὸ Δηϊφόβου ὄναρ ταύτῃ μιγεὶς ὡς ἀναφέρουσι. θυάδος βάκχης. παρὰ τὸ θύω τὸ ὁρμῶ, γυναῖκες ἦσαν αἱ βάκχαι ἱεραὶ πρόπολοι Διονύσου αἵτινες περὶ τὰ ὄρη σὺν αὐτῷ ἀναστρεφόμεναι διεσπῶν ἰδίαις χερσὶ λέοντας καὶ ἕτερα θηρία ὠμὰ, ταῦτα ἤσθιον καὶ νάρθηξι τὴν γῆν καὶ τὰς πέτρας παίουσαι ὁπότε δίψῳεν γάλα, μέλι καὶ οἶνον ἐποίουν ἀναβλύζειν. δράκοντας δὲ περὶ τὰς κόμας εἶχον ἐπιπεπλεγμένους. πλευρωνίᾳ ἀντὶ τοῦ ἐκ τῆς ἀρετῆς πλευρὼν γὰρ πόλις Πελοποννήσου καὶ Θεράπνη ὁμοίως ὅθεν Ὀρφεὺς καὶ Στησίχορος Θεραπναίαν καλοῦσι τὴν Ἑλένην. οὗτος δὲ ὁ Λυκόφρων πλευρωνίαν ὁ δὲ Ὅμηρος Ἀργείαν.

Τρεῖς γὰρ σ' ἀναστῆρας ἀμνάμοι γοναῖς
πτῆνας κατεκλώσαντο δυσμαίας Ἀρός

^ deest ut puto ἦν

Quinque mariti helenę.

Achilles cum helena coiuit in somnijs. de qua re apud politianum mentio in ambra.

βάκχαι

:: γρ. οἰκείαις

πλευρών

θεράπνη

νύμφης πεντάλεκτρα δαίσασθαι γάμων
ὅσους μὲν ἁρπακτῆρας αὐγάσαι λύκους
πτηνοὺς ῥιόρχας αἰετοὺς ὀφθαλμίας
τὸν τ' ἐκ Πελασγῶν καὶ τὸν ἐκ Καρικῶν πότων
βλάζοντα ῥίζης ἡμικρῆτα βάρβαρον
ἔπτον οὐκ ἄρτιον ἀκραιφνῆ γονῆς

Γραῖαι γὰρ αἱ χολαὶ καὶ κατ' ἐμὲ χωλοποιοὶ καὶ βλαστικαὶ μοῖραι αἱ ἀμέναμοι καὶ ἀπόγονοι τῆς Τηθύος ἤτοι τῆς θαλάσσης ἐν τοῖς βίοις ἀτράκτοις κατεκλώσαν καὶ ἐπεμοίρασαν τοὺς ἐπιμαστῆρας τῆς Ἑλένης τῶν γάμων πεντάλεκτρα νυμφεύματα μερίσασθαι. Ἀμέναμοι δὲ αἱ ἀπόγονοι κυρηναϊκῶς· κυρίως δὲ ἀμέναμοι οἱ τῶν ἀνέμων ἀπόγονοι. θαλάσσης κόρας τὰς μοίρας λέγει διὰ τὸ ἄγριον καὶ ἀμετάτρεπτον. νυκτὸς δὲ παῖδες αὗται καθ' Ἡσίοδον καὶ τοῦτο δὲ ὅμοιον διὰ τὸ ἀοράτως ἐπέρχεσθαι τὴν εἱμαρμένην. τρεῖς δέ εἰσιν αἱ μοῖραι. Κλωθώ, Λάχεσις καὶ Ἄτροπος καὶ ταῦτα δὲ τὰ ὀνόματα ἐπλάσθη ἀπὸ τοῦ ὡσανεὶ ἐπικεκλωσμένον εἶναι τὸ λαχὸν ἐξ εἱμαρμένης μέρος τινὶ καὶ ἀπὸ τοῦ ἀμετάτρεπτον καὶ ἄτροπον εἶναι. πηναις ἀτράκτοις. νήμασι παρὰ τὸ πηνίω τὸ νήματι. πίννα δὲ τὸ ζῶον παρὰ τὸ πῖνος ὃ σημαίνει τὸν ῥύπον. Δηναιὰν τὴν πολυχρόνιον καὶ ἐξ αὐτοῦ δαναὸς καὶ δαναία, πολυχρονίαν δὲ καὶ παλαιὰν τὴν θάλασσαν λέγει διὰ τὸ πρῶτον εἶναι στοιχεῖον κατὰ Φερεκύδην καὶ Θαλῆν. ὅσους μὲν ἁρπακτῆρας αὐγάσαι ἤγουν ἰδεῖν λύκους. ἀπὸ κοινοῦ δὲ κατεκλώσαντο. λέγει δὲ Θησέα καὶ Ἀλέξανδρον ἁρπαγας λύκους καὶ πτερωτοὺς ἀετούς πτερωτοὺς λέγω κατὰ μίμησιν τῆς μαινομένης Κασάνδρας, πτηνοὺς ὅτι μετὰ πλοίων ἁρπάσαντες ἔφυγον, πτερὰ γὰρ τῶν πλοίων τὰ λαίφη. ῥιόρχος καὶ ῥιόρχης καὶ κορφυὸς καὶ ... ἀετὸς καὶ ἁλιαετος καὶ περκνὸς εἴδη ἀετοῦ

ἀμέναμοι

Parcæ & earum nomina.

πηναι
πίννα

εἴδη ἀετοῦ

ὀφθαλμοῖ· ἢ ἀετοῦ ὀφθαλμίας ἢ ὀξυωπεῖς. μόνοι γὰρ
τῶν ἄλλων ὀρνέων ἀετοὶ πρὸς τὰς ἡλίου ἀκτῖνας ἀντι-
∴ ἢ τῆς — βλέπουσιν ἢ ἀρπαγὰς τοὺς ὀφθαλμίας ἤτοι ἐνοφθάλ-
μου γένους. πρώτους δὲ τῶν νομίμων τοὺς ἅρπαγας
ἔταξεν οὐ προκρίνων αὐτοὺς ἀλλὰ κατὰ ῥητορικὴν δεινό-
Δεινότης ῥητορική — τητα, ἢ μέθοδον ἀσήμαντα τούτων ἀπαριθμεῖν, τὰ
βραδύνων τῇ τῶν νομίμων νυμφίων ὑποθέσει ὥσπερ
καὶ Ἔφορος ὁ ἱστορικὸς καὶ Διόδωρος ποιεῖ. ἀπὸ τῶν βαρ-
βαρικῶν πρῶτον κατὰ παραδρομὴν ἀρξάμενος γρά-
φειν, ὧν δὲ τοῖς ἑλληνικοῖς περὶ τὴν ἱστορίαν πλατύνοντες
τὸν τ᾿ ἐκ Πλωνοῦ· τὸν Μενέλαον τὸν γεννηθέντα ἐκ τῆς
Πλωνός· πό[λις] ἢ ῥίζη — ῥίζης τῶν ἀνθρώπων οἵτινες ὑπῆρχον ἀπὸ Πλωνοῦ
πόλεως Λιβύης καὶ οἵτινες ὑπῆρχον ἀπὸ τῶν Καρικῶν
ποταμῶν τουτέστι τῆς Λακεδαιμονίας. Καρικὸς ποτα-
Καρικός· ποτα[μός] — μὸς καὶ τόπος λακωνικός. ὁ Μενέλαος δὲ καὶ Λίβυς καὶ
Λάκων ἦν οὕτως. Πλωνὸς πόλις Λιβύης ὅθεν ἦν Ἀτλ-
Genealogia Menelai & Agamemnonis — πηνόνης καὶ Ἄτλαντος ἑπτὰ θυγατέρες. ὧν μία καὶ Ἀστερό-
πη ἢ Ἀρπίνης τῆς Ἀσωποῦ θυγατρὸς καὶ Ἄρεος. Ἀστερό-
πης καὶ Ὑπερόχου Οἰνόμαος. Οἰνομάου Ἱπποδάμεια
ἧς καὶ Πέλοπος ὁ Ἀτρεὺς ὃς τὴν Λακωνικὴν κατῴκει. Ἀτρέ-
ως καὶ Ἀερόπης Ἀγαμέμνων καὶ Μενέλαος. ἡ δὲ Ἀερόπη
θυγάτηρ ἦν Ἀστρέως τοῦ Κρητὸς ὅθεν καὶ τὸν Μενέλαον ἡμί-
κρητον ἔφη. βάρβαρος δὲ ὅτι ὁ Πέλοψ Λυδὸς κατά
τινας δὲ Παφλαγών, βάρβαροι δὲ οἵ τε Λυδοὶ καὶ Παφλα-
γόνες. ἐς ποδὸν οὐκ ἐρίδαν· ἕως μὲν οὕτω φησί· τοῦ ἐστ-
ὸν ἤτοι τοῦ ἡλίου τοῦ οὐκ ἀκραιφνῆ καὶ καθαρὸν ἀλ-
γέον, ἀκραιφνῆ δὲ ἀντὶ τοῦ [illegible]. λέγουσι δὲ καὶ τὸ σχῆμα τοῦτο
ἀπὸ κοινοῦ καὶ οὐκ ἔστιν ἀπὸ κοινοῦ ἀλλὰ συνεκδοχή.
σχῆμα ἀπὸ κοιν[οῦ] — τὸ γὰρ ἀπὸ κοινοῦ σχῆμα ἐν τῷ α. λόγῳ ἔχει τὴν ἀ-
πόδοσιν ἐν δὲ τῷ β. ἀπὸ κοινοῦ τὸ παραλαμβανόμενον
οἷον φιλῶ σε ἐγὼ καὶ συνεκνοεῖται ἀπὸ κοινοῦ φιλεῖς

ἡ συνεκδοχὴ ἐναντία ἐστὶ τῷ ἀπὸ κοινοῦ, ἀντὶ γὰρ τῷ δευτέρῳ ἔχει τὴν ἀπόδοσιν ἐν τῷ πρώτῳ λόγῳ μὴ ἔχουσα κατὰ ... ὡς τὸ ἄπτον οὐκ ἄρτον ἀκραιφνῆ δευτέρῳ οὐ τοῦ ἔπτον ἔχει τὴν ἀπόδοσιν. συνεκδεχόμεθα δὲ ταύτην καὶ ἂν τοῦ ἔπτον λέγοντες, οὐκ ἔπτον οὐκ ἄρτον ἀκραιφνῆ αὐτοῦ ἦπτε, καὶ τὸ ὀψοποριστὸν ἀντὶ γὰρ τῷ πρώτῳ λόγῳ μὴ ἔχουσα μέλλον ἰδοὺ ἀντὶ τῷ δευτέρῳ ἔχει τὸ προκείμενον, τὸ λέγω ἀγόμενος συνεκδεχόμεθα, ἀπὸ τοῦ ἐν τῷ πρώτῳ. ἀκραιφνὴς ἀκραιφνὴς τις ὤν

(margin: γρ. οὖν τὸ; γρ. τῷ λόγῳ; συνεκδοχή; σχῆμα; γρ. ἐκ; Exemplum est quod ipse Isaacius ad maiores declarationes ponit. sed tamen depravatum ut nequit intelligi)

Οὐ πάπποι ἐν ταλεφαίοισιν ἐννέα, ὅτε
ἐρκέων Ἐρινὺς φουρία ξιφηφόρος
ἄσαρκα μηδύλλας ἐθύμευσε τάφῳ
τὸν ἀπευθῆ χόνδρι ἐνδεπτουμένην

Οὐ πάπποι Τάνταλος καλέσας τοὺς θεοὺς εἰς εὐωχίαν παρέθηκε τὸν υἱὸν αὐτοῦ Πέλοπα, θύσας ἵνα φάγωσι τὸ φιλόξενον αὐτοῦ ἐνδεικνύμενος· οἱ δὲ γνόντες ἀπέσχον· μόνη δὲ ἡ Δημήτηρ οὐκ ἔγνω διὰ τὸ μεμηνέναι αὐτὴν διὰ τὴν ἁρπαγὴν τῆς κόρης, ὅθεν λαβοῦσα τὴν ὠμοπλάτην ἔφαγεν. οἱ δὲ θεοὶ κατοικτείραντες, ἀφεψῶσιν ἐν λέβητι βαλόντες καὶ ὑγιᾶ καὶ ~~ἀνάπηρον~~ ἀκέραιον ἀνιστῶσιν. ἀντὶ δὲ τῆς βρωθείσης ὠμοπλάτης ἐλεφαντίνην ὁμοίαν ἔθεντο. ὁ κατὰ γένος τοῖς Πελοπίδαις ἐτύγχανε γνώρισμα, καθάπερ καὶ τοῖς Σπαρτοῖς ἡ λόγχη. (margin: γρ. μεμηνέναι; Fabula Pelopis)

Ἀλλὰ τὸ μὲν μυθῶδες τοῦ λόγου τοιοῦτον. τὸ δ' ἀληθὲς οὕτως ἡμεῖς ἐπιλυόμεθα. ὁ Τάνταλος εὐσεβὴς καὶ θεοσεβὴς τις ἦν ἱερεὺς καὶ φιλανθρωπίᾳ τὰ τῶν ἄνω μυστήρια τοῖς ἀμυήτοις ὕστερον ἀπεῖπεν· ἐξεβλήθη τοῦ ἱεροῦ καταλόγου. τοῦτον τὸν παῖδα Πέλοπα, κατὰ παντὸς ... νοσήσαντα τομαῖς καὶ καυστῆρσι (margin: Allegoria)

καὶ ἰάσθαι χειρουργήμασι παντοίοις θεραπευθέντα, καὶ μόλις ὑ-
γιᾶ γεγονότα. ὡς καὶ Λεπτίνου τῶν καυστήρων ἔχειν καὶ τῶν το-
μῶν τὴν ὠμοπλάτην ἀκέστευτον(?) καὶ πολιὰν καὶ ὑπολευκαί-
νουσαν διὰ τὴν τῆς σαρκὸς ἀσθένειαν, ἔφησαν ὡς ὁ πατὴρ
τοῖς θεοῖς ἐπιξενωθεῖσι τοῦτον κατέτεμεν, ἤτοι τῆς ἀσθενουμέ-
νης τοιαύτης νόσου ἐχούσης αὐτὸν (θεὸς γὰρ ἡ ἀσθενουμένη)
κατέτεμεν ὁ πατὴρ ταῖς τῶν ἰατρῶν τομαῖς, ἤγουν
καὶ τοῖς καυτῆρσιν οἷς ἰάθη. ἐπεὶ δὲ σαπέντι τῆς ὠμοπ-
λάτης γέγονε πῆ καὶ ἐτάφη, ὅθεν καὶ πολιὰ ἦν ὑπολευ-
καίνουσα, ἐμυθεύσαντο ὡς ἡ Δημήτηρ βέβρωκε ταύ-
την. γαμφηλαῖς· γαμφηλαῖς, σιαγόσιν. Ἐνναία, καὶ
ἐριννύα καὶ ἐριννὺς ἐπώνυμα Δήμητρος. καὶ Καλλίμα-
χος ἐριννὺν καλεῖ τὴν Δήμητραν λέγων ἐριννύι φωσφόρ-
ῃ. καὶ ἐριννὺς μὲν λέγεται ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν καὶ
πληροῦν ἢ παρὰ τὸ ἐν τῇ ἔρᾳ καὶ γῇ τῇ ναίειν· ὡς ἐν τῇ
Ἐνναίᾳ ἢ ὅτι ἐριννύι ὁμοιωθεῖσα μίγνυται Ποσειδῶνι
καὶ γεννᾷ τὸν Ἀρίονα ἵππον. φονεία δὲ ὡς ὁρμητικὴ
καὶ ἔνθους ὡς διὰ τὴν τῆς κόρης ἁρπαγήν ὡς ληροῦσι·
τὸ δ' ἀληθὲς ὅτι πᾶσιν ἀνθρώποις πολέμιος καὶ ἀναιρεῖ ξι-
φήρης ἀναιρεῖ ἡμᾶς, κἂν καὶ ξιφηφόρον φασὶν αὐτὴν κα-
λεῖν ὅτι ἐν Βοιωτίᾳ ἵδρυται ἡ Δήμητρα ἔχουσα ξίφος. ἄ-
σαρκα· πολύσαρκα. μιστύλλουσα· κατακόπτουσα εἰς
μικρά, ἐκ τοῦ μιστύλλω ὡς φασὶ καὶ τίλλω τὸ κόπτω καὶ προ-
σθήκῃ τοῦ διχρόνου εἰς δίχρονον. ἐτύμβευσε τάφῳ· ἔθα-
ψεν ἐν τῷ τάφῳ συμβολικῶς ἀντὶ τοῦ ἐσθίειν ἔφαγεν,
τάφον δὲ καλεῖ τὴν ταύτης γαστέρα. τὸ ἐτύμβευσε τὸ
σε δίχα τοῦ ν. καὶ ἔστι μακρὸν ὡς λῆγον εἰς μέρος λό-
γου· κοινὴ γάρ ἐστι συλλαβή. τὸν ὠλενίτην· τὸν τοῦ
ὠμοπλάτου χόνδρον. ἐνδατουμένη· ἤτοι φαγοῦσα.
χόνδρος ἐστὶν ὀστέον μὲν νευρωδέστερον, νεύρου δὲ ὀστωδέσ-
τερον.

ἐρ(?) ζη. ἐρήμα(?)

Ἀρίων ἵππος

ἄσαρκα

μιστύλλω.

προσθήκῃ τοῦ διχρό-
νου εἰς δίχρονον

σε. μακρὸν ὡς
λῆγον εἰς μέρος
λόγου. καὶ ἔστιν
κοινὴ συλλαβή

ὠλενίτης

χόνδρος

ἄτη(?)

ἄτη(?)

σε μακρὸν ὅτι λήγει εἰς μέρος
λόγου

Ὅν δὴ ποτ' ἁρπάσαντα, καὶ βαρὺν τόκον
φυσῶντα, ναυμέδοντος ἁρπακτήριον
ἔστειλ' ἐρεχθεὺς ἐς λεπρειναίας γύας
λευρὰν ἀπεχθύσαντα, μολπίδος πέτραν
τοῦ ζηνὶ δαιτρευθέντος ἀετῷ δέμας
γαμβροκτόνον ῥαίσαντα, πενθεροφθόροις
βουναῖς ἀνάγνοις, ἧς ὁ καδμίλου γόνος
ἤρυσε, τὸν δ' αὖ λοισθὶ ἐκπιὼν σκύφον
φερωνύμους ἔδυψε νηρέως τάφους
πανώλεθρον κηλῖδα, θωΰξας γένει. — ὀμβρείω

Ὅν δή· ὅντινα πέλοπα, δὴ ἁρπάσαντα, καὶ φυσῶντα τὸν ἁρπακτικὸν τόκον τοῦ ναυμέδοντος ἤτοι τοῦ ποσειδῶνος τοῦ τῶν νηῶν μέδοντος· κἄντινες μεταγραφικὸν πλαίσμα ναυμέδοντος ἔχουσιν, ἔστειλεν ὁ ἐρεχθεύς. ἤγουν ὁ ποσειδῶν παρὰ τὸ ἐρέχθω τὸ κινῶ λεγόμενος ἔστειλε δ' αὐτοῦ ἐς τοὺς λεπρειναίους ἢ τὰς λεπρείνας γύας ἤτοι τοὺς τόπους καὶ τὰ χωράφια, ὥστε πολεμῆσαι καὶ νικῆσαι καὶ φθεῖραι τὸν γαμβροκτόνον οἰνόμαον. διὰ ἀθηναῖοι φασὶν τὸν πέλοπα ἐν πρώτῃ ἡλικίᾳ τῆς φυσικῆς ἡλικίας δεύτερον δὲ κατακοπῆς καὶ τεθεὶς ὡς φασὶ τοῖς θεοῖς ἐφ' ἑστίαν [illegible] καὶ ἠράσθη δὲ τούτου μετὰ τὴν ἀφθεῖσαν ὁ ποσειδῶν παρ' οὗ ὁ πέλοψ ἵππους πτερωτοὺς λαβὼν σὺν τῷ ὀχήματι ἐλθὼν ἐς πῖσαν ἐνίκα τὸν γαμβροκτόνον οἰνόμαον καὶ ἀναιρεῖ δώδεκα πρῶτον νυμφίους ἀνῃρηκότα. οὕτω δὲ τοῦτον ἀναιρεῖ. ἱπποδάμεια ἡ οἰνομάου θυγάτηρ καὶ [illegible] τῆς [illegible] φυλάσσει καὶ [illegible] τοῦ ἰδίου πατρὸς ἐρωμένη καὶ διὰ τοῦτο μὴ ἐκδιδοῦσα πρὸς γάμον καθὼς οἱ ἀκριβέστεροι τῶν ἱστορικῶν γράφουσιν ἠρᾶτο καὶ παρὰ μυρτίλου τοῦ ἡνιόχου τοῦ τὰ [illegible] πατρὸς [illegible] δὲ τυγχάνοντος τοῦ [illegible] ἑρμοῦ καὶ κλεοβούλης

ναυμέδων

ἐρεχθεύς

ἱπποδαμείας καὶ πέλοπος ἱστορία

τῆς αἰόλου ἢ αἰγιάλου θυγατρός. αὕτη τὸν πέλοπα ἰδοῦ
σα ὡραῖον μετὰ τὴν τῶν δώδεκα νυμφίων ἀναίρεσιν
ἔρωτι τούτου κατείχετο καὶ τῷ μυρτίλῳ φησὶ συνεργῆσαι
τῷ νεανίᾳ εἰς τὴν τούτου κατὰ τοῦ πατρὸς νίκην. ὁ δὲ
χοινικίσι τῶν τροχῶν τοὺς ἥλους μὴ ἐμβαλὼν ἐποίησε
τὸν οἰνόμαον ἐν τῷ τρέχειν ἡττηθῆναι καὶ ἀναιρεθῆναι πα
ρὰ τοῦ πέλοπος ἐκπεσόντων τῶν τροχῶν. ἐδίδου γὰρ ὁ οἰ
νόμαος τοῖς μνηστῆρσι τὴν ἱπποδάμειαν ἐπὶ τῶν οἰκεί
ων ἔχειν ἁρμάτων εἰς πέρας τοῦ ταχέου(?) μὴ ἔπαθλον τι(?)
θέμου(?) τὸν κορίνθιον ἰσθμὸν εἰ δυνηθεῖεν ἀφικέσθαι
μέχρι τούτου· αὐτὸς δὲ ὄπισθεν θέων μετὰ δόρατος
καταλαμβάνων αὐτοὺς ἀνῄρει. τότε δὲ οὕτω νικηθεὶς
δόλῳ καὶ ἀναιρούμενος κατηράσατο τῷ μυρτίλῳ γνοὺς
τὴν ἐπιβουλὴν ἵνα ἀπὸ πέλοπος ἀναιρεθῇ(?), ὃ καὶ γεγό
νεν ὕστερον, διαβληθεὶς γὰρ παρ' ἱπποδαμείας ὡς βιάζων
αὐτὴν ἢ ὡς οἱ πολλοί φασιν πειράζων αὐτὴν ῥίπτεται
παρὰ πέλοπος περὶ γεραιὸν ἀκρωτήριον. ὁ δὲ τελευ
τῶν ἀρὰς ἀρᾶται τοῖς πελοπίδαις δεινάς, αἳ καὶ ἐπε
πλήρωνται ὕστερον, θνῄσκων(?) μᾶλλον καὶ τῆς χρυσῆς ἀρ
νὸς ἕνεκα(?) τοῦ μυρτίλου πατρὸς αὐτοῖς ἀξίως ποινὰς(?)
νίοις(?) ὅθεν τὰ δεινὰ τῆς τραγῳδίας(?) ἔπη. ἡ δὲ γεραιστὸς
ἀποθανόντος ἐκεῖ τοῦ μυρτίλου μυρτῷον πέλαγος ὠ
νομάσθη. ὁ δὲ πέλοψ εἰς ὠκεανὸν ἐλθὼν καὶ ὑφ' ἡφαίστῳ ἁγ
νισθεὶς λαβὼν πᾶσαν τὴν οἰνομάου βασιλείαν καὶ τὴν ἀ
πίαν πελασγίαν λεγομένην πελοπόννησον ὠνόμασε.
περὶ δὲ ὅτι ὁ ποσειδῶν ἠράσθη πέλοπος μετὰ τὴν ἀφέ
ψησιν οὕτω μυθικῶς καὶ ὁ πίνδαρος φησί· τοῦ γαιαό
χος ἠράσσατο ποσειδῶν ἐπεί νιν καθαροῦ λέβητος ἐξεῖ
λε κλωθὼ ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον καὶ
πάλιν ὡς ἀπὸ τοῦ πέλοπος λέγει ἐμὲ δ' ἐπὶ ταχυτάτων
ἁρμάτων πόρευσον ἐς ἆλιν κράτει δὲ πέλασον ἐπεὶ βάλ(?)

Pelops

∴ γρ. δρόμου

Pelops

∴ γρ. γεραιστ(όν)
ex Strabone in
decimo. est
autem promontorium
euboeae. &
paulo post (?)
isthmius(?)

γεραιστός

Pelops

τρεῖς καὶ δέκα ἄνδρας ὀλέσας ~~ἀνεβάλλετο~~ μνηστῆρας ἀνε-
βάλετο γάμον θυγατρός. καὶ ταῦτα μὲν Πίνδαρος. περὶ δὲ
τοῦ ὅτι ὁ Ποσειδῶν Πέλοπος ἠράσθη μυθικῶς, Ἀπολλ-
ώνιος δὲ ὁ Ῥόδιος περὶ τοῦ τρόπου τοῦ δρόμου φησὶ γρά-
φων· ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες, καὶ τὸν
μὲν προπάροιθεν Πέλοψ ~~ἴθυ~~ ἴθυνε σείων ἡνία,
σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια. τοῦ δὲ
ἐπὶ Μυρτίλῳ ἂν θ' ἠγράφων ἤλασεν ὠκέας ἵππους
σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπώς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
πῖπτεν ἐπεσσύμενος Πελοπήια νῶτα δαΐξαι. τὸ ἰ
δὲ Ποσειδῶν μετὰ τὴν ἀφέψησιν ἠράσθη Πέλοπος ὑπό-
νοια, ἤτοι ἀλληγορία ἐστίν· ὁ γὰρ Πέλοψ πρῶτον ὡς ἔφη-
μεν πολύνοσος καὶ παρετὸς ἦν· ἐπεὶ δὲ ἀφεψήθη
τουτέστιν ἀνήβησε καὶ ἰάθη ὡς ἔφημεν ἠράσθη τούτου
ὁ ~~πα~~ Ποσειδῶν, τουτέστι θυμικὸς καὶ ἀνδρεῖος ἐγένετο, τοὺς
γὰρ θυμικοὺς καὶ ἀνδρείους Ποσειδῶνος καλοῦσι παῖ-
δας καὶ ἀρετὰς καὶ ἄλλο τι τοιοῦτον. τὸ δοθὲν αὐτῷ παρὰ
Ποσειδῶνος ἅρμα πλοῖον ἦν. πτερά, τὰ λαίφη
μεθ' οὗ ἀπελθὼν ἔχων ἐν αὐτῷ πλοῖα καὶ τὸ ἴδιον ἅρ-
μα ἐξελθὼν νικᾷ τὸν Οἰνόμαον. ἀλλ' ὦ φίλε μὴ τῆς ἐμοῦ
κινῇ φρένας λέγων πάντα σοι πλατυτέρως γράφειν, ἀντὶ
τοῦ σαφηνείας ἕνεκα τῷ πλήθει σφαλῶμαι ποιήσῃ λεπτο-
λογῶν πᾶσαν ἱστορίαν ἐν οὐκ ἀμφιγορουμένοις μύθοις
Λυκόφρονος. πόθῳ ἁρπακτῆρι ἤγουν ὡς φησι μυθικῶς
ἐρασθεὶς ὁ Ποσειδῶν ἥρπασεν αὐτόν. Ἐρεχθεὺς ὁ Πο-
σειδῶν ἢ ὁ Ζεύς, παρὰ τὸ ἐρέχθω τὸ κινῶ, ἐπεκλήθη αὐ-
τοῦ εἰς τὴν λάρινθαν ἥτις ἐστὶ χωρίον παιδός. ἐπεκέκλη-
δὲ αὐτοῦ ἀπὸ Λυδίας ἢ ἀπὸ Παφλαγονίας. Γύγας κἂν
προσγεγραμμένον ἔχῃ ὅμως βραχύ ἐστι διὰ τὴν σύγ-
κρουσιν τῶν φωνηέντων καὶ χασμῳδίαν, τὰ γὰρ τοιαῦτα
πάντα κοιναί εἰσι συλλαβαί. Λευρὰν λείαν εὐρεῖαν

Pelops.

ὑπόνοια, σχῆμα

Ἐρεχθεύς

ἵ τό. ι. deest ut puto.

λευρός

Γυγα. τὸ Γυ. κοινὴ συλλαβή

ἀλετρεύειν — ἢ πλατεῖαν. ἀλετρεύουσα, θραύουσα, ἀλήθουσα. Μολπίδος
πέραν τὴν Ἦλιν. Μόλπις γάρ τις Ἠλεῖος εὐγενὴς αὐχ-
μοῦ κατασχόντος τὴν Ἦλιν ἐκ χρησμοῦ ἀκηκοὼς παύ-
σεσθαι τὸν αὐχμὸν εὐγενοῦς νέου σφαγέντος τῷ Διὶ αὐ-
τὸς ἑαυτὸν ἑκουσίως ἔδωκε εἰς σφαγήν, καὶ εὐθέως σφα-
γιασθέντος ἐρρύη ὑετός, Ἠλεῖοι δὲ ἱερὸν Ὀμβρίου Διὸς
ἐποίησαν ἐν ᾧ ἵστατο καὶ ἀνδριὰς Μόλπιδος. Μόλπι-
δος οὖν πέραν τὴν Ἦλιν λέγει ἔνθα ὁ Οἰνόμαος ἀναι-
ρῶν τοὺς μνηστῆρας τῆς θυγατρὸς ἐκ τῶν κρανίων ἐκεῖ
ναὸν ἤθελε κατασκευάσειν, ὧν ἀνῃρ. καὶ Αἴπαλος (?) καὶ Εὐη-
νος καὶ Φόρβας καὶ Διονύσιος ὁ Θρᾷξ καὶ Κύκνος ὁ υἱὸς Ἡρα-
κλέους ἀνῃρέθησαν. Γαμβροκτόνου ῥαίσαντα. τὸν Οἰνό-
μαον τὸν φθείροντα, γαμβροκτόνον λέγει διὰ τὸ ἀναιρεῖν
Γαμβροκτόνος — τοὺς μνηστῆρας τῆς θυγατρός. Γαμβροκτόνος μὲν ὁ κτείνων
Γαμβρόκτονος — τοὺς γαμβρούς. Γαμβρόκτονος δὲ ὁ κτανθεὶς παρὰ τοῦ
γαμβροῦ καὶ τὸ πενθεροφθόρος καὶ τὰ ὅμοια, τὰ γὰρ
Regulam nota — τοιαῦτα, πάντα δύο τόνους ἐπιδέχονται· τὰ μὲν ἐνερ-
γητικὰ τὸν παροξύτονον οἷον γαμβροκτόνος ὁ κτείνων
τοὺς γαμβρούς, τὰ δὲ παθητικὰ τὸν προπαροξύτο-
νον οἷον γαμβρόκτονος ὁ κτανθεὶς ὑπὸ τοῦ γαμβροῦ. ./.
Κάδμιλος — Κάδμιλος ὁ Ἑρμῆς Βοιωτικῶς, οὗ καὶ Κλεοβούλης υἱὸς
ὁ Μυρτίλος ὁ Οἰνομάου ἡνίοχος. ἤρτυσε, κατεσκεύ-
ἤρτυσε — ασε, καὶ τὴν ἱστορίαν ὄπισθεν εἰς πλάτος εἶπον. τὸν δὲ
λοίσθιον ἐκπιὼν σκύφον. ἢ τὸ ποτήριον τοῦ Νηρέ-
ἔδυψεν — ως ἔδυψε. ἤγουν ἐκολύμβησε εἰς τοὺς τάφους τοῦ Νηρέ-
ως τοὺς φερωνύμους, ἤτοι εἰς τὸ ὕδωρ Μυρτῷον πέλα-
χριεντισμός — γος ὡς ἔφην. τὸ δὲ σχῆμα χριεντισμός ἐστι καὶ ἀστεϊ-
ἀστεϊσμός — σμός. ὁ δὲ Νηρεὺς μυθικῶς μέν ἐστι δαίμων θαλά-
σσιος. οὗ καὶ Δωρίδος τῆς Ὠκεανοῦ θυγατρὸς αἱ Νηρηΐ-
Νηρεὺς θεός — δες. ἀλληγορικῶς δὲ Νηρεὺς ὁ θαλάσσιος παρὰ τὸ
Νηρηΐδες — νήχω. ὦ συνωλέθρη κηλίς (?), καὶ τοῦτο ἐρρέθη ὅτι

ῥιπτόμενος εἰς τὸ πέλαγος κατηράσατο τῷ γένει τῆς ἱπποδαμείας. φωύξας κυρίως συρίξας νῦν δὲ καταρασάμενος

ὁ τὴν πελάργων φύλλαν ἡνιοστρόφων
καὶ τὴν ὁπλαῖς ἅρπυιαν ἁρπυίαις ἴσην
τὸν δ' αὖ τέταρτον αὐτομαίμον' ὃ κέλαι-
κίρκου καταρράκτηρος ὅν τε συγγόνων
τὰ δευτερεῖα τῆς δαϊσφάκτου πάλης
λαβόντα κηρύξουσιν, ἐν δὲ δεμνίοις
τὸν ἐξ ὀνείρων πέμπτον ἐστροβημένον
ψολοπλάστῳ προσκαταξανεῖ ῥέθει

φύλλα· ἡ ἅρπυια. ἵπποι οἰνομάου ὧν ἦν μυρτίλος ἡνίοχος. ὁπλαῖς ταῖς ὄνυξιν ἁρπυίαις κυρίως δὲ ἁπαξ τὸ ἀπὸ μηρούς σχῆμα, ποιεῖ γὰρ ὀφθαλμοὺς ἀπὸ ... ἴσην ἁρπυίαις ὁπλαῖς ἔχων. ἅρπυιαι δὲ μυθικοὶ δαίμονές τινες, ἀελλὼ ἠ ὠκυπέτη καὶ κελαινὼ ἴριδος ἀδελφαὶ θυγατέρες θαύμαντος καὶ ἠλέκτρας τῆς ὠκεανοῦ θυγατρός. ἅρπυιαι λέγονται καὶ ὄρνεά τινα ἁρπακτικά, ἐμυθεύσαντο καὶ τὰς τοῦ φινέως θυγατέρας ἐράσθαι καὶ ἁρπυίας ὄρνεα εἶναι ἁρπάζοντα τὴν τροφὴν ἀπὸ τοῦ στόματος τοῦ γέροντος, ἅρπυιαι γὰρ ἀλληγορικῶς οἱ ἄνεμοι ὠκεῖς ὡς ὠκύνω. ἴσην. τὸ ῑ ἀνὰ χοῦ μὲν μακρὸν νῦν δὲ βραχύ ἐστιν καὶ τὸ μακρὸν δὲ δεῖ κεῖν οὐκ ἔστιν ἐπειγομένου ὁ στίχος διὰ ἔχει πάθος τὸ λεγόμενον χολίαμβον, τοῦ γὰρ ἰαμβικοῦ μέτρου ὡς καὶ τοῦ ἡρώου πάθη εἰσὶ διάφορα. τὸν δ' αὖ τέταρτον. τὸν τέταρτον νυμφίον ὄλεῖται τὸν αὐτόμαιμονα ἤγουν ἀδελφὸν κίρκου. ἤγουν ἱέρακος τοῦ καταρράκτηρος. ἤγουν ἀναιρετικοῦ ἕκτορος λέγει δὲ τὸν δηΐφοβον. ὅν τινα κηρύξουσι

φωύξας

ἅρπυιαι

∴ f. θαύμαντος· cuius filia fuit iris. Virgil. thaumantis proles. & r f. ~~tha~~ Iridos autem esse sorores harpyias ipse asserit

χολίαμβον πάθ 10

τὸ ῑ ἐν τῷ ἴσος · βραχὺ καὶ μακρόν

ἢ ὑμνήσουσι λαβόντα τὰ δεύτερα τῆς δαϊσφάκτου πα-
λαίστρας, καὶ οἱ μὲν δαϊσφάκτου πάλην τὴν ἑλένην λέγουσιν
ἐγὼ δὲ τὰ σφαζόμενα καὶ μεταπίπτοντα παλαίσματα
τοῦ πολέμου. Ὃν ἀντὶ τοῦ ὅντινα κηρύξουσι τὰ δεύ-
τερα ἔχειν τῶν πολεμικῶν παλαισμάτων μετὰ τὸν
ἕκτορα. καὶ τοῦτο δὲ τὸ ψεῦσμα τοῦ ποιητοῦ, μετὰ γὰρ ~~τρω-~~
~~ιλος~~ τὸν ἕκτορα τρωΐλος ὁ ἕκτορος ἀδελφὸς καὶ οὐχ ὁ δηΐ-
φοβος ἐν τοῖς πολεμικοῖς ἐδευτέρευεν, ἢ ἴσως καὶ δαϊ-
σφακτὴν πάλην καλῶς ἔχει λέγειν τὴν ἑλένην. Κίρκου
καταρρακτῆρα καὶ ἅρπαγα τὸν ἀλέξανδρον. μετὰ γὰρ τὸ
ἀχθῆναι φιλοκτήτην ἀπὸ λήμνου καὶ τοξευθῆναι ὑπ' αὐ-
τοῦ καὶ ἀναιρεθῆναι τὸν ἀλέξανδρον δηΐφοβος τὴν ἑλένην
ἔγημεν, ἢ τοῦ πριάμου αὐτὴν ἔπαθλα θεμένου τῷ ἀριστεύ-
σαντι κατὰ πόλεμον καὶ λαβὼν ταύτην ὡς ἀριστεύσας κα-
θάπερ ἄλλοι φασίν ἢ μόνος αὐτὸς αὐτὴν ἐφελκόμενος ὡς
» ἐν τρῳάσιν εὐριπίδης φησίν. βίᾳ δ' ὁ καινός μ' οὗτος ἁρ-
» πάσας πόσις δηΐφοβος ἄλοχον εἶχεν ἀκόντων φρυγῶν. Ὃν
δὲ δεμνίοις τὸν πέμπτον ἀδωλοπλάστων προσκατάξα-
ντα ῥέθει ... σώματι ἐξ ὀνείρων στροβούμενον. τουτέστι
ποιήσει αὐτὸν ἐν ὀνείροις φάσμα αὐτῆς βλέποντα
κινεῖσθαι καὶ ταράττεσθαι ὥσπερ συνουσιάζοντα αὐτῇ.
λέγει δὲ τὸν ἀχιλλέα, ῥέθει νῦν μὲν τῷ ὅλῳ σώματι, κυρίως
δὲ μόνῳ τῷ προσώπῳ παρὰ τὸ ῥέον τὰ ἤθη τῆς ψυχῆς
δι' αὐτοῦ φαίνεσθαι

μετὰ τὸν ~~ε~~ ἕκτορα τρωΐλος

τουτέστι

ῥέθος

Τὸν μελλόνυμφον ἐννέτην κυταϊκῆς
τῆς ξηνοβάκχης ὅν ποτ' οἰνώνης φυγὰς
μύρμηξ τὸν ἐξάπεζον ἀνδρώσας στρατὸν
πελασγικὸν τυφῶνα γεννᾶται πατὴρ
ἀφ' ἑπτὰ παίδων φεψάλῳ σποδουμένων
μοῦνον φλέγουσαν ἐξαλύξαντα σποδόν

Achilles medeam apud inferos duxit uxorem. politianus in ambra. elysiu(m) tenet. hic magna uenerabilis umbra mutatisq(ue) pulchra auspiciis sibi colchida iunget

ἢ γρ. μέλλοντα

Τὸν μελλόνυμφον· τὸν Ἀχιλλέα λέγει, τὸν ἐν ᾅδῃ γῆμαι μέλλοντα τὴν Μήδειαν, μνημονεύοντα, ὅτι ἐν μακάρων νήσοις αὐτὴν ἔγημε, θυγατέρα Ἰδυίας Ὠκεανοῦ θυγατρὸς καὶ Αἰήτου. Κύταια δὲ πόλις Κολχίδος, ὅθεν αὐτὴν Κυταΐδα ἔφη. οἱ δὲ Κόλχοι Ἰνδικοὶ Σκύθαι εἰσὶν, οἱ καὶ Λαζοὶ καλούμενοι, πλησίον οἰκοῦντες Ἀψυρτιδῶν· τῶν Κόλχων τὰ φάρμακα, αὐτὴ μετ' ἐκείνων ἀναφέρουσα. εἰς δὲ Κόλχους Αἰήτης ἀφίκετο ὡς μὴ ἀρκεσθεὶς τῇ τοῦ Κορίνθου βασιλείᾳ. Αἰήτης γὰρ καὶ Ἀλωεὺς Ἡλίου παῖδες ἐκ Περσηΐδος τῆς Ὠκεανοῦ θυγατρός, διεῖλε δὲ ὁ ἥλιος τοῖς παισὶ τὴν βασιλείαν, καὶ τὴν Ἀρκαδίαν Ἀλωεῖ δέδωκε, τὴν δὲ Κόρινθον Αἰήτῃ. Αἰήτης δὲ μὴ ἀρκεσθεὶς τῇ Κορίνθῳ παρέθετο ταύτην Βούνῳ φυλάττειν Ἑρμοῦ μὲν καὶ Ἀλκιδαμείας υἱῷ. αὐτὸς δὲ εἰς Κόλχους ἀφίκετο ἐντειλάμενος φυλάττειν τὴν τῆς Κορίνθου βασιλείαν ἕως ἂν ἢ αὐτὸς ἢ τις τῶν ἐξ αὐτοῦ ἵκοιτο. ἐν Κόλχοις δὲ αὐτὸς γήμας Ἰδυῖαν Ὠκεανοῦ θυγατέρα, ἐν Κυταίᾳ πόλει Μήδειαν καὶ Ἄψυρτον γεννᾷ. ἀδελφαὶ δὲ Αἰήτου καὶ Ἀλωέως τοῦ Ἡλίου θυγατέρες Κίρκη καὶ Πασιφάη, καὶ ἑτέρους καὶ Καλυψώ. περὶ δὲ τῆς τοῦ Ἡλίου βασιλείας εἰς τοὺς αὐτοῦ παῖδας Αἰήτην καὶ Ἀλωέα διαιρέσεως, Εὔμηλος ὁ Κορίνθιος ἱστορικὸς ποιητής μέμνηται λέγων·

ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός·
ἣν μὲν ἔχ' Ἀσωπός, ταύτην πόρε δίῳ Ἀλωεῖ,
ἣν δ' Ἐφύρη κτεάτισσ', Αἰήτῃ δῶκεν ἅπασαν.
Αἰήτης δ' ἄρ' ἑκὼν Βούνῳ παρέδωκε φυλάσσειν,
εἰσόκεν αὐτὸς ἀνὴρ ἂψ ὕστερον αὖθις ἵκοιτο ἢ ἐξ αὐτοῖο τις ἄλλος ἢ υἱός·
ᾤχετο Κολχίδα γαῖαν.

φασὶ δὲ τοῦτο, ὅτι οἱ λοιποὶ τῶν ἱστορικῶν Περσηΐδος καὶ Ἡλίου παῖδας φασὶ τὸν Αἰήτην καὶ Ἀλωέα, ὁ δὲ Εὔμηλος Ἀντιόπης καὶ Ἡλίου. τῆς ζ.

Μήδεια, Αἰήτου καὶ Ἰδυίας

Κυταΐς πόλ(ις)

τὰ φάρμακα τῶν Κόλχων

Quo pacto sol diuisit regnum inter filios

Βοῦνος

Ἰδυῖα
Μήδεια
Ἄψυρτος

Eumeli versus ut ipse paulo post

Aeetes & aloeus p(er)ses & solis filij ut autem eumelus solis & antiopes

[illegible]

δάυ... τοῦ

Calypso secundu(m) aliquos solis filia soror Aeetae regis. — Δ. 1.

νοσφάχης τῆς μηδ(είας) ὅτι τῷ ἰάσονι ξένῳ ὄντι ἐφιλιώθη καὶ ἐξεβακχεύθη καὶ διὰ τὸν αὐτοῦ ἔρωτα καὶ ἀπέψυξε καὶ ἀπέκτεινε μικρὸν τὸν αὐτῆς ἀδελφόν. ἡ δὲ ἱστορία παρὰ ἀπολλωνίῳ τῷ ῥοδίῳ κεῖται, μέμνηται δὲ καὶ πίνδαρος λέγων, θέσφατον ἦν πελίαν ἐξ ἀγαυῶν θανέμεν αἰολιδᾶν χείρεσσιν ἢ βουλαῖς ἀκνάμπτοις. τὸ δὲ πλάτος τῆς ἱστορίας κατὰ φερεκύδην καὶ ~~ἄλλους~~ ἑτέρους οὕτως ἔχει. σαλμωνέως καὶ ἀλκυδίκης θυγάτηρ ὑπῆρχε τυρώ παρὰ κρηθεῖ τρεφομένη τῷ σαλμωνέως ἀδελφῷ, ταύτῃ μιγεὶς ποσειδῶν διδύμους παῖδας γεννᾷ πηλέα καὶ νηλέα, οὓς ἡ μήτηρ ἐκτίθησιν· ἱπποφορβοὶ δὲ τραφέντες δὲ ἀνεγνωρίσθησαν τὴν μητέρα καὶ τὴν ἐκείνης μητρυιὰν κτείνουσι σιδήρῳ καὶ περιφυγοῦσαν ἐν τῷ τῆς ἥρας τεμένει. νηλεὺς δὲ στασιάσας μετὰ πελίου ᾤκησε μεσσήνην καὶ κτίζει πύλον. πελίας δὲ ἐν θεσσαλίᾳ οἰκῶν ἐξ ἀναξιβίας τῆς βίαντος ἢ φιλομάχης τῆς ἀμφίονος ἔσχεν ἄκατον, πεισιδίκην, πελόπειαν, ἱπποθόην, ἄλκηστιν. κρηθεὺς κτίσας ἰωλκὸν ἐκ τυροῦς τῆς ἀδελφιδοῦς γυναικὸς ἄρσενας ἀμυθάονα, φέρητα καὶ κρηθέα. πελίας βασιλεύων ἰωλκοῦ ἐχρησμῳδεῖτο ὑπό τινος τῶν ἐξ αἰόλου θανεῖν, ὧν εἷς καὶ ἰάσων παῖς αἴσονος ὑπάρχων καὶ πολυμήδης τῆς αὐτολύκου. ἕνεκα τούτου πάντας ἀνῄρει τοὺς αἰολίδας ὁ πελίας· ἐζήτει καὶ τὸν ἰάσονα ἔτι βρέφος ὄντα, ὡς αἰολίδην ἀναιρήσων. νύκτα βαστάσαντες οἱ τοῦτον τηρήσαντες συγγενεῖς σορῷ τοῦτον βαλόντες μετὰ δακρύων ἐξάγουσιν ὡς δῆθεν θανόντα, καὶ ἀπάγοντες εἰς τὸ τοῦ χείρωνος ἄντρον δεδώκασιν αὐτῷ ἀνατρέφεσθαι καὶ παιδεύεσθαι καθάπερ καὶ πίνδαρος τοῦτο λέγει, αὔξην δὲ λαβὼν ἡλικίας κατῆλθε τοῦ ἄντρου. καὶ κατὰ μὲν ἀπολλώνιον καὶ τοὺς λοιποὺς περὶ τὸν ἄναβρον ποταμόν, ὁ δὲ

Apollonius rhodius

Pindarus

Pherecydes

Tyro salmonei & alcydices

Cretheus salmonei frater

:: f. πελίαν ex hypothesi poematis apollonij rhodij. & paulo post idem iterum vt

:: f. π[...] ου

:: forte corrigendū ἄκαστ

:: apol[...] niu[...] rhen[...]

Pelię filij

:: μετά

Polymede iasonis mr

Medeę fabula

Pindarus

:: f. ἄναυρον. ex eo quem citat apollonio rhodio

πελίας καὶ πάλιν χρησμὸν λαβὼν ἤκουσε ἀπὸ μονοπε-
διλου φυλάττεσθαι καθὰ καὶ πίνδαρος λέγει, τὸν μὲν
μονοκρήπιδα, πάντως ἐν φυλακαῖς ἔχεμεν μεγά-
λαις, τοῦτον τοίνυν μαθὼν τὸν χρησμὸν θύσας τῷ ποσει-
δῶνι πάντας ἐπὶ τὴν θυσίαν καλέσας εἶδε τὸν ἰάσονα
μονοκρήπιδα, διαπεραιούμενος γὰρ τὸν ἄναυρον
ποταμὸν τὸ ἓν μὲν ἐξεβάλωσεν ὑπὸ ἰλύος ἄλλο δ' ἔνερ-
θε κάλλιπεν ~~αὐτοῦ~~ αὖθι πέδιλον ἐνισχόμενον προχοῇσι κα-
θὰ φησὶν ὁ ἀπολλώνιος. ἰδὼν γοῦν ὁ πελίας αὐτὸν
μονοπέδιλον ἤρετο οὔτι ἂν ἐποίησας εἴπου ἦν χρη-
σμὸς ὑπό τινος ἀναιρεθῆναι σε. ὁ δὲ βουλῇ τῆς ἥρας
φησὶν ἐπὶ τὸ ἄγειν τὸ χρυσόμαλλον δέρας ἔπεμπεν αὐ-
τόν, τὸ δὲ χρυσόμαλλον τοῦτο δέρας ἦν τοῦ κριοῦ ὃς τὸν
φρίξον εἰς κολχίδα διεπέρασε, ἐκεῖ δὲ τοῦτον ὡς φασιν
ἔθυσε φρυξίῳ διὶ καὶ ἐν ἄρεος ἄλσει φρυξίῳ διὶ τοῦτο
ἀπεκρέμασε καὶ ἐφύλαττε δὲ τοῦτο δράκων ὅσον πεν-
τηκόρος ναῦς μήκει τε πάχει τε ὡς φησὶ πίνδαρος
κατὰ γοῦν τὴν αὐτοῦ κρίσιν ὁ πελίας κελεύει αὐτὸν τὸν ἰά-
σονα ἀπελθεῖν καὶ κομίσαι αὐτῷ τὸ δέρας, ὁ δὲ τῆς ἀργοῦς
ἐπιβὰς ἥτις κατεσκεύαστο ἔχειν τὴν τρόπιν ἐκ τῆς δωδώνης
δρυὸς ὑπαρχούσης καὶ σὺν αὐτῷ καὶ ἑτέρους ἄνδρας. μεθ-
λαβὼν ὥστε εἶναι τοὺς πάντας πεντήκοντα κατέπλευ-
σεν εἰς τὴν κολχίδα καὶ παρεκάλει αἰήτην δοῦναι αὐτοῖς τὸ
δέρας ὁ δὲ ἔφη δοῦναι ~~αὐτοῖς~~ ἂν τοὺς ἡφαιστείους πυ-
ρπνόους ~~τοὺς~~ χαλκόποδας ζεύξωσι ταύρους καὶ σπείρωσι
τοὺς δράκοντος ὀδόντας οὓς εἶχεν αὐτὸς αἰήτης τῆς ἀ-
θηνᾶς δούσης αὐτῷ μέρος ἐκ τῶν ἐν θήβαις σπαρέν-
των τῷ κάδμῳ. μήδεια δὲ αἰήτου θυγάτηρ ἐρα-
σθεῖσα ἰάσονος φαρμάκοις αὐτὸν χρίσασα καὶ τοῦ
πυρὸς τῶν ταύρων διεφύλαξε καὶ νυκτὶ περὶ τὸ δέρας
ἐπάρτη καὶ γοητεύσασα τὸν δράκοντα τοῦτο ἀφείλετο

f. ἀναύρ[ον]

f. αὐτῆς. ἥρας

Dodonea carina

Argonautæ. 50.

καὶ τοῖς ἀργοναύταις συναπέπλευσε λαβοῦσα μεθ' ἑαυτῆς καὶ τὸν ἑαυτῆς ἀδελφὸν ἄψυρτον. διωκόντων δὲ αὐτοὺς μετὰ τοῦ αἰήτου, μήδεια ἄψυρτον τέμνουσα ἔρριπτεν εἰς τὴν θάλασσαν, συλλέγων δὲ ὁ αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέρησεν, εἶτα εἰς κόλχους ἀπέστειλεν εἰς δίωξιν αὐτῶν. αὐτοὶ δὲ ἠριδανὸν καὶ ἄψυρτιν(?) νήσους καὶ σειρῆνας παρέπλευσαν ὀρφέως κιθαρίζοντος. βούτης δὲ μόνος ἐξήλατο πρὸς αὐτάς, μετὰ γὰρ σειρῆνας παρέπλευσαν χάρυβδιν, σκύλλαν καὶ πλαγκτάς, θέτις αὐτοὺς διεβίβασε ἥρας παρακαλούσης. θρινακίαν παραπλεύσαντες χρυσᾶς βόας ἡλίου, εἰς φαιακίαν ἦλθον πρὸς ἀλκίνοον βασιλέα. τῶν δὲ διωκόντων αὐτοὺς κόλχων οἱ μὲν ἐν τοῖς κεραυνίοις ὄρεσι παρῴκησαν, οἱ δὲ εἰς τὴν ἰλλίδα καὶ ἀψυρτίδον νήσους, καὶ τινὲς εἰς φαιακίαν. αἰήτης δὲ ἰάσονα καὶ μήδειαν συνέτυχε καὶ δώδεκα θεραπαινίδας αὐτοῖς παρέσχεν. οἱ δὲ κρήτην παραπλεύσαντες, αἴγιναν, εὔβοιαν, καὶ λοκρίδα, εἰς ἰωλκὸν ἵκοντο τὸν πάντα πλοῦν τέτρασι μησὶν ἀνύσαντες. πελίας δὲ ἀπεγνωκὼς τὴν ἄφιξιν ~~τῶν~~ τὸν ἀρσὸν αὐτοῦ αἴσονα, ἀνελεῖν ἤθελεν, ὁ δὲ θέλων ταῦρον αἷμα πιὼν ἀπέθανεν, ἡ δὲ μήτηρ ἰάσονος ἑαυτὴν ἀνήρτησε νήπιον παῖδα πρόμαχον ἀπολιποῦσα, ὃς πελίαν ἀνεῖλε. ὁ δὲ ἰάσων τὸ δέρας δοὺς εἰς ἰσθμὸν πλεύσας ποσειδῶνι τὴν ἀργὼ ἱεροῖ, μήδειαν δὲ παρακαλεῖ μετελθεῖν πελίαν ἕνεκεν τοῦ φόνου τῶν αὐτοῦ ἀδελφῶν καὶ συγγενῶν. ἡ δὲ κριὸν ἀφεψήσασα, ἄρνα ποιεῖ καὶ αἱ τοῦ πελίου θυγατέρες ὁμοίως ἀφεψῆσαι θέλουσαι τὸν πελίαν ἀνεῖλον αὐτόν. ἄκαστος δὲ διώκει ἰωλκοῦ μήδειαν καὶ ἰάσονα, καὶ δέκα χρόνους ἐν κορίνθῳ διέζων. ἰάσων δὲ λαβὼν τὴν κρέοντος οὐ μικρῶς τὴν μήδειαν ἐλύπησε ἢ φαρ

# γρ. ἀψυρτίδας νήσους. στέφανος περὶ πόλεων. ἀψυρτίδες νῆσοι πρὸς τῷ ἀδρίᾳ ὑπὸ ἀψύρτου παιδὸς αἰήτου ἐν μιᾷ δολοφονηθέντος ὑπὸ τῆς ἀδελφῆς μηδ. &c.

Marginalia:

: γρ. αὐτὸς, τοὺς κόλχους δὲ

: γρ. δὲ

: lege apollonium in 4 & γρ. ~~παρῴκησαν~~ ἐπιπαρῴκησαν

* puto emendandum ἀλκίνοος qui subdit καὶ δώδεκα θεραπαινίδας. apollonius in 4to. πολλὰ δ' ἰάσονι ἀλκίνοος μείλια ξείνια, πολλὰ δ' ὤπασεν ἀρήτη μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι μηδείῃ δμωὰς φαιηκίδας ἐκ μεγάροιο &c.

: γρ. τῶν ἀργοναυτῶν

: γρ. ὃν πηλ… diodoro inserto(?)

Promachus ex esone filius.

: γρ. τοῦ αὐτοῦ ἀδελφοῦ· ἤτοι προμάχου

: deest θυγατέρα, ἢ γλαύκην ἤ τι τοιοῦτο

: γρ. ἰλλ… (right margin, cut off)

μάκοις Γλαύκην ἀνελοῦσα, καὶ κρέοντα, καὶ τοὺς ἰδίους παῖ-
δας μέρμερον καὶ φέρητα διαχρησαμένη ἐφ' ἅρματι δρακόν- * :. μέρμερος καὶ φέρητα infra schol. 141
των πτερωτῶν εἰς ἀθήνας ἀπεδήμει καὶ συνοικήσασα
αἰγεῖ τῷ τοῦ πανδίονος γυναικα μήδον. ὕστερον δὲ τῷ θησεῖ
ἐπιβουλεύσασα ἐκβάλλεται τῆς ἀττικῆς μετὰ τοῦ παι-
δὸς. ὃς βαρβάρων κρατήσας τὴν ὑπ' αὐτοῦ μηδίαν ἐκά-
λεσε, καὶ στρατεύσας ἰνδοῖς τελευτᾷ. ἡ μήδεια δὲ ἀγνῶς
εἰς κόλχους ἧκε καὶ τῷ πατρὶ τὴν βασιλείαν δίδωσι πά-
λιν πέρσην ἀνελοῦσα τὸν ἀδελφὸν ἐκείνου τὸν αὐτὸν
ἐκβαλόντα τῆς βασιλείας. :. ὅθεν οἱ μὲν πολλοὶ τῶν ἱστο-
ρικῶν τὸν ἀργοναυτῶν ἀπόπλουν εἰς κόλχους φασὶ τοῦ
ἰάσονος, πέμποντος πελίου, ὅτι εἶναι τὸν ἐμὲ ἀνελοῦντα ἀ-
κηκόει ἀπέστειλεν γὰρ αὐτὸν τὸ χρυσοῦν δέρας ἀποκο-
μίσαι μέλλοι, καὶ τοῦ πελίου κατὰ τὴν αὐτοῦ κρίσιν ἐπιτά-
ξαντος τοῦτο ἀποκομίσαι. ὁ δὲ πίνδαρος φησὶν ὅτι
κατελθὼν ὁ ἰάσων ἀπὸ τοῦ χείρωνος ἀγροῦ καὶ γνωρισθεὶς
τῷ πατρὶ καὶ τοῖς συγγενέσι ἀριστοποιήσαντι καὶ συνευω-
χεῖται αὐτοῖς. εἶτα πρὸς πελίαν ἀπελθὼν ταχέως με-
ὰ συμπολλοῦ ὄχλου τὴν τῶν προγόνων βασιλείαν ἀπῄτει.
ὁ δὲ πελίας ὑπέσχετο δοῦναι αὐτῷ πρῶτον εἰπὼν, ἐὰν ἰαπελθεῖν
κολχίδας αὐτοὶ καὶ τὴν φρίξου ψυχὴν ἀνακαλέσασθαι
τρὶς κατὰ νόμον, ἔφη γὰρ ὑπὸ δειμάτων νυκτερινῶν θο-
ρυβεῖσθαι διὰ τὸν φρίξον, ἐὰν δὲ ἀπελθὼν φησὶ καὶ συν-
τελέσῃς καὶ τὸ δέρας κομίσῃς νέος γὰρ εἶ ἐγὼ δὲ γε-
ρων δίδωμί σοι τὴν βασιλείαν. τοῦτο δὲ εἶπεν ἐλπίζων :. εἴ ἵνα ἐλθὼν ἀναιρεθῇ
ἀναιρεθῆναι ὑπὸ δράκοντος. τὰ τοῦ πινδάρου ῥητὰ
οὕτως ἔχουσιν ἐγὼ δὲ γνώμας αὐτὰρ ἀθορὼν βάκχοιο ›› Pindarus
πατρώιον ὃν λαὸν προσορᾶν, πελίαν πρὸς ὄχλον, καὶ μετὰ λίθου ››
πατρικ φησί, οὐ πρέπει ναοῖσι χρυσωτέροις ξίφεσιν ››
οὐδὲ δρακόντεσσιν μελῆσαι προγόνων τιμὰν δύσασθαι.
Οἰνώνης φυλαξ ὁ πηλεύς, αἰακοῦ γὰρ καὶ ἐνδηΐδος παῖ-
δες

ἐξ ◯

Pelei historia

φῶκος

∴ νηρηΐδων ex eodé alibi & ex homeri interprete & alijs multis

∴ γρ. ψαμ algus ut pantoporos

Τελαμὼν καὶ πηλεὺς καὶ φῶκος ἀδελφοὶ αὐτῶν ἐκ ψαμά θου μιᾶς τῶν ἐρινύων· ὃν φῶκον ἐν γυμνασίᾳ πηλεὺς δισκεύσας ἀπέκτεινε, τελαμὼν δὲ τὸ μετάφρενον πλήξας ξίφει ἀνεῖλεν αὐτόν, ὅθεν παρ' αἰακοῦ διώκονται τῆς αἰγίνης· καὶ ὁ μὲν τελαμὼν τὴν σαλαμῖνα νῆσον οἰκεῖ,

Τελαμών

Cenchreus

κεγχρεὺς γὰρ ὁ ποσειδῶνος καὶ σαλαμῖνος τῆς ἀσωποῦ κτείνας ὄφιν τὴν νῆσον λυμαινόμενον ἐβασίλευσεν αὐτῆς, ἄπαις δὲ τελευτῶν τὴν βασιλείαν τελαμῶνι καταλείπει φυγόντι πρὸς αὐτόν ∴ ὁ δὲ πηλεὺς κατὰ φερεκύδην καθαίρεται ὑπ' εὐρυτίωνος τοῦ ἄκτορος

Eurytus actoris

Antigone

οὗ θυγατέρα ἀντιγόνην λαμβάνει, ἀναιρεθείσης δὲ ἐκείνης ἔρχεται εἰς φθίαν, καὶ θέτιν ἔγημεν ἐπὶ τῶν κόπων

∴ γρ. φαρσάλω de thessalia n loquitur.

ἧκε ἐν φαρσάλῳ καὶ θετιδείῳ ἣ καλεῖται ἀπὸ τῆς θέτιδος ἡ πόλις κατὰ μὲν φίλαρχον ὅτι ὁ πλησιόχθων τὰ

✳

ὅπλα ἔφυγε πρὸς ἥφαιστον καὶ μὴ πληρώσασα τοῦ τον τὸν ἔρωτα παυσάσα τὸν πόλεμον ὑπ' αὐτοῦ φρουρά

∴ γρ. κληθέντι

ἐν θετταλίᾳ ἐλθοῦσα ἵστατο ἐν τῷ ὑπ' αὐτῆς ἐληφθέντι θε

θετίδιον

Thetis in uarias figuras

τιδείῳ, κατὰ δὲ εὐριπίδην ὅτι διωκομένη ἡ θέτις ὑ πὸ τοῦ πηλέως μετήλλαττεν ἑαυτὴν ὡς ὁ πρωτεὺς εἰς διαφόρους ἰδέας· ἐκεῖ δὲ κατέσχεν αὐτὴν ἐν σηπίας

Sepias locus magnesiæ

μορφῇ καὶ ἐμίγη αὐτῇ, ὅθεν καὶ σηπιὰς χωρίον μα

∴ γρ. θετταλικῆς

γνησίας θετταλικῆς· οὕτω γοῦν φυλάσσων θετταλικὸν οἰ νώνης ἔλεγε τὸ ἀπὸ οἰνώνης ἤτοι αἰγίνης τὸν πηλέα [illegible]

Οἰνώνη

λυκόφρων φησίν, ἡ γὰρ αἴγινα πρῶτον οἰνώνη ἐλέγετο ἀπὸ οἰνώνης τῆς βουδίωνος θυγατρός καθά φησι θεαίνετος ἐν τῷ πρώτῳ αἰγινητῶν, αἴγινα δὲ

Αἴγινα

ἐκλήθη ὡς οἱ πάντες φασὶν ἀπὸ αἰγίνης τῆς ἀ σωποῦ, διὰ δὲ τὸν φόνον φώκου καὶ ἡ μήτηρ αὐτοῦ

∴ γρ. ἐφῆκε

ψαμάθη λύκον μέγαν ἐξέπεμψε διαφθείροντα τοὺς βόας

∴ γρ. ὃν πηλεὺς αὐτός

πηλέως, ὃν ~~πηλεὺς~~ ἀντὶ ἀπελίθωσεν θέτιδος παρά

~~πηλεὺς~~

κλησις. Οἱ δέ φασιν ὅτι ἡ θέτις τοῦτον ἀπελίθωσε

χὸν δή. λύκον

\# Credo procul dubio legendū ἀκάστῳ. de quo Ovidius in octavo ubi agit de apro calydonio: Plexippus q. ferox iaculoq. insignis Acastus. Hec autem cedes Hectoris vel Actoris filii Acasti facta fuit in venatione apri Calydonii ut innominatus Homeri interpres scribit in sextodecimo commentario Iliados. Π.

Polymele pri-
or Pelei uxor.

f. ἀκάστω

ζῶντα ταύρους ἃς Πηλεὺς ἄποινα ἐξέτισεν ἐκάστῳ #
ὑπὲρ ἕκτορος τοῦ ἐκείνου υἱοῦ ὃν δὴ ἄκων ἀνεῖλεν ἐν κυ- :· f. ἄκτορος
νηγεσίῳ. οἱ δέ φασιν ὅτι ὁ Πηλεὺς πρὸ Θέτιδος πολυ-
μήλην ἔσχε γυναῖκα ἧς ἀδελφὸς ἴρος, οὗ παῖδα εὐρυ-
τίωνα, ἐν κυνηγεσίῳ Πηλεὺς ἄκων ἀνεῖλε ἕνα ὄντα τῶν
ἀργοναυτῶν :· μυρμήκων τοῦ ἐξ ἀπέδων ἀνθρωσθέντος στρα-
τοῦ λέγουσιν ὅτι αἰακὸς ἐξ αἰγίνης καὶ διὸς γεννηθεὶς
ἐν τῇ ὑπ' αὐτῆς αἰγίνης νήσῳ κατελείφθη μόνος. αἰτήσα-
το δὲ τῷ διῒ καὶ ὃς τοὺς μύρμηκας ἀνθρώπους ἐποίη-
σε καθὰ καὶ ἡσίοδος ἐν τῇ ἡρωογενεαλογίᾳ φησί. ἡ
δ' ὑποκυσαμένη τέκεν υἱὸν αἰακὸν ἱππιοχάρμην. αὐ- "
τὰρ ἐπεὶ ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον μοῦνος ἐὼν "
ἤχθαιρε πατὴρ ἀνδρῶν τε θεῶν τε ὅσσοι ἔσαν μύρμηκες "
ἐπηράτου ἔνδοθι νήσου τοὺς ἄνδρας ποίησε βαθυζώ- "
νους τε γυναῖκας οἳ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφι- "
ελίσσας. καὶ ταῦτα μὲν ἐστὶ τὰ ληρώδη καὶ μυθικά. θεα-
γένης δὲ ὁ ἱστορικὸς ἐν τῷ περὶ αἰγίνης φησίν, ὀλιγαν-
θρωπούσης τῆς νήσου τοὺς ἐν αὐτῇ ἐν σπηλαίοις οἰκεῖν
ἀκατασκεύους ζῶντας καὶ τοὺς γεωργουμένους καρ-
ποὺς ἐν τοῖς σπηλαίοις τίθεσθαι, τὴν δὲ ἐκ τούτου ὀρυττο-
μένην γῆν εἰς τὰς γεωργίας ἀναφέρειν ὡς ὑπ' ἄμμου
τὴν νῆσον τελούσης καὶ μᾶλλον αὐτὴ τῶν πεδινῶν. αἰα-
κὸς δὲ ἐλθὼν μετά τινων ἐκ πελοποννήσου καὶ οἰκήσας
τὴν νῆσον ἐξημέρωσεν αὐτήν, πάντας διδάξας τὰ πρὸς
πόλεμον καὶ ἁπλῶς ὅσα τοῖς ἀνθρώποις κέχρηκεν, ὅθεν
ἐμυθεύσαντο ὅτι αἰακῷ χρησάμενος ὁ ζεὺς τοὺς τῆς αἰ-
~~γι~~ γίνης μύρμηκας ἀνθρώπους ἐποίησε, τουτέστιν ἡ ἐπιμε-
λεία καὶ ὁ νοῦς αἰακοῦ· ζεὺς γὰρ ἡ φρόνησις καὶ ὁ νοῦς λέ-
γεται μετέβαλεν αὐτοὺς καὶ μετερρύθμισε τὸ κατ' ἄνθρω-
πους πράττειν συμπάντα ζῷα αὐτῶν. ἡ δὲ αἴγινα
αὕτη νῆσος μία τῶν σποράδων ἐστὶν ἀντικρὺ ἀθηνῶν

Left margin: :· credo corri-
gendū φι-
λομήλαν
ex Apollo-
nii interpre-
tibus. r̃h m.
147.

Right margin:
de hoc Eurytione Ovidius in venatione apri calydonii in octavo metamorphoseos

Eurytion argo-
nauta

αἰακος

ἡσίοδος ἐν τῇ
ἡρωογενεαλογίᾳ

αἰακὸς ἐλθὼν
ἐκ πελοποννήσου

Aegina

Melia nympha

ἑξάπεζος

∴ γρ. πελασγικόν

Inachus Aegialeus

Τῆς ἀττικῆς ἄποικος ὡς ἔφην ἀργέων ὑπάρχουσα
μετὰ δὲ λακεδαιμονίων ἐχθρῶν αἰακὸς ταύτην κατῴ-
κησε καὶ μετὰ τελευτὴν αὐτοῦ τοῦ αἰακοῦ σὺν πλήθει
ἐχθρῶν ᾤκησαν αἴγιναν. οἱ δ' ἄριστοι δωρικοῦ γένους
εἰσίν· *ἑξάπεζον* ἑξάπουν, *ἀνθρώπους* ἐπεὶ μὲν αἰ-
ακοῦ κατὰ τὸ μυθικὸν ἀνθρώπους ποιήσας. ∴
*πελασγικόν*. ὠκεανοῦ καὶ τηθύος ἴναχος. ἰνάχου
καὶ μελίας τῆς ὠκεανοῦ αἰγιαλεὺς ἄπαις ἀφ' οὗ αἰ-
γιαλεία χώρα. φορωνεὺς δυναστεύων πελοποννήσου
ἐκ τηλοδίκης νύμφης γεννᾷ ἄπιν καὶ νιόβην. ἄ-
πις οὖν τυραννικὸς ὢν ἀναιρεῖται ὑπὸ θελξίονος
καὶ τελχῖνος, ἀφ' οὗ καὶ χώρα ἀπία ἡ τῆς πελοποννή-
σου χώρα, [struck] ἡ καὶ ἀπία λεγομένη μέχρι φαρ-
σάλου καὶ λαρίσσης πελασγία ἐκλήθη. τὸν δὲ ἀχιλλέα
πελασγικὸν ἐκάλεσεν ὡς φυσώδη τὸν ∴ τυφὼν δὲ δαί-
μων ἑκατοντακέφαλος πολεμηθεὶς καὶ κεραυνωθεὶς
τῷ διὶ ὥς φησι μυθικῶς [struck] πίνδαρος μὲν λέγων
ἑκατοντακεφάλου τυφῶνος ὀβρίμου, αἰσχύλος δὲ πά-
λιν περὶ τούτου φησίν, σμερδναῖσι γαμφηλαῖσι συ-
ρίζων φόνον, ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ἀλληγορικῶς δὲ καὶ στοιχειακῶς τυφὼν ἐστὶν ὁ τῦφος καὶ ἡ
κενοδοξία ἑκατὸν κεφαλὰς ἔχουσα τουτέστι πολλοὺς τρό-
πους ἐπάρσεως, κεραυνοῦται δὲ καὶ πιμπρᾶται καὶ κατα-
βάλλεται τῷ διὶ ἤτοι τῷ σώφρονι λογισμῷ. ἢ τυφὼν
ἐστὶ στοιχειακὸς ἡ μετὰ τὸν τοῦ χάους καὶ τοῦ ἐρέβους διά-
λυσιν ἡ κίνησις τῶν πνευμάτων καὶ ἐκπλήρωσις ἡ τῆς
ὑπεχέθη καὶ ἐπαύθη ὑπὸ διὸς ἤτοι τοῦ εὐκράτου ἀ-
έρος καὶ οὐρανοῦ, μετὰ γὰρ τὸ εὐκρατωθῆναι καὶ συστῆναι
τὸν οὐρανὸν εὔρυθμον ἐπεχύθησαν τὰ τυφωνικὰ
καὶ πυρώδη πνεύματα, ἔνθεν δὲ τοῖς κοίλοις καὶ κιονη-#
[struck]ρίοις τόποις ἐξαιρέτως δὲ ἐν τῷ σικελικῷ ἡμῖν (?)

∴ γρ. ἔνθεν δὲ [illegible]
καὶ τὰ λοιπά

Margin notes:

ἀπία πόθεν ἡ πελοπόννησος

Τυφών

∴ γρ. ἐστὶν (?)

∴ γρ. ἐκπύρωσις

∴ γρ. ἐπεχύθησαν

τὰ τυφωνικὰ καὶ πυρώδη πνεύματα

∴ γρ. ἡ δὲ (?)

× γρ. ἀχιλλέα

# γρ. κιονηροῖσι
i. pumiceis κιονη-
ρίς n. pumex

μὲν καπνὸς φαίνεται, κατὰ δὲ τὸν καιρὸν τῆς νυκτὸς πῦρ
τὰς τοῦ ὄρους πέτρας ῥιπτοῦμενον ἢ κυλίον εἰς τὴν θάλασσαν
οἱ μὲν ὅτι ἐν τῇ σικελίᾳ ὁ ζεὺς τὸν τυφῶνα κατεταρτά
ρωσεν, οἱ δὲ ἐν λαοδικείᾳ, ἄλλοι δὲ ἐν κιλικίᾳ, ἕτε
ροι ἐν βοιωτίᾳ λέγουσι τοῦτον ταρταρωθῆναι, ἀρτέμων
δὲ ὁ ἱστορικὸς φησὶν ὡσπερεὶ ἐγὼ ὅτι πᾶν ὄρος πυρὸς
ἔχον ἀνάδοσιν καθάπερ ὑπὸ τυφῶνι κεῖται. εἰς ὃ
πάντων οἱ λόγοι συντρέχουσι τῶν μυθικῶν ἐν διαφό
ροις τόποις λεγόντων ταρταρωθῆναι τὸν τυφῶνα. [illegible]
γικὸν δὲ τυφῶνα ἢ δαίμονα ἢ ἀνάδοσιν πυρὸς τὸν
ἀχιλλέα, ~~λέγει~~ καλεῖ. ἄγε ὦ φίλε εἰς πεδίον ἱππι
κῆς ἱστορίας ἱκετεύωμεν τὸν πεζὴν πλατυτέρων
ἀντὶ δὲ σαφηνείας τῶν πάντων τῶν ἱστοριῶν μᾶλλον
ποιῆσαι ἀσάφειαν, σὺν γὰρ θεῷ φάναι ἢ τοῦ
πολυΐστορος ἀλεξάνδρου, ἢ ἀπολλοδώρου, ἢ ῥηγί
νου τοῦ πολυμνήμονος ἢ ἀρτέμωνος τοῦ περγαμηνοῦ
ἢ κασάνδρου τοῦ σαλαμινίου ἢ τῶν λοιπῶν ἱστορι
κῶν ἱστορικότεροι καθεστήκαμεν, ἢ νῦν τοῦ χρονοῦντι
τε ἢ παλαίφατον, ἢ δομνῖνον, ἢ κεφαλίωνα, ἢ
ἡράκλειτ ἢ τοὺς ἄλλους ὁπόσοι ἢ ἑτέρωθεν ἀρυσά
μενοι ἢ ἀφ' ἑαυτῶν γράφοντες ἠλληγόρησαν, ἐκεῖνοι γὰρ
ἢ ἀσύμφορα, ἢ παντελῶς ὀλίγα ἠλληγορήκασιν ὡς
ἢ φικούλης ὁ κορίνθιος, ἡμεῖς δὲ ἀφ' ἑαυτῶν μεμαθη
κότες ἢ κατὰ πλάτος ἢ καιρίως ἀλληγορεῖν ἢ ἱστο
ρεῖν πλάτος ἐξεργάζεσθαι. ἀλλ' ἐᾶσθαι ἄνθρωπε ἢ μὴ
ἐνόχλει πλατυτέρως γράφειν ἡμᾶς μὴ μᾶλλον συνθο
λώσωμεν ἢ μὴ ἀλληγορεῖν ἐν οὐκ ἀλληγορουμένοις
μύθοις λυκόφρονος γλινᾶται. γλινᾶ, ἀττικῶς
τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ, ἀφεῖπτα
παίδων. οὐκ οἶδα ὅθεν εὑρὼν ὁ ψευδογράφος
ἑπτὰ παῖδας ἄρρενας λέγει τὴν θέτιν ἐκ πηλέως

Vbi sepultus typhon

ἄγε.

εἰς πεδίον ἱππικῆς

σὺν θεῷ φάναι

confirmandus

ἀλληγοροῦμεν οὐκ ἀλληγορουμένους μύθους λυκόφρονος

ἀττικῶς τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ

Thetidis & pelei nuptię.

Formidatamque tonanti progeniem & c. papinius.

:: f. πιαλ

:: f. σπ λω

Achilles ante ligyrus uocabatur · teste apollodoro ·

# emendo ἔχριεν ex apolonij qto ubi hec omnia recitat uersus

:: f. ὁ φαρσάλιος

:: τέκνα καὶ τοῦ Πηλέως ἐξ ἃς πυρὶ βάλλουσα ἀνεῖλεν ὡς ἀνάξια
πάσχουσα ἑαυτῆς, ἐπεὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκω
λύθη. Πίνδαρος δὲ λέγει Ποσειδῶνα καὶ Ἀπόλλωνα καὶ
Δία περὶ τοῦ γάμου τῆς Θέτιδος ἐρίσαι, κωλυθῆναι δὲ
αὐτοὺς κατά τινας παρὰ Προμηθέως, κατὰ
δὲ ἄλλους ὑπὸ Προμηθέως· φασὶ γὰρ ὅτι τέξεταί τε παῖ
δα φέρτερον πατρός. Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα
μετὰ τοῦ γάμου τῆς Θέτιδος ἐρίσαι, Θέμιν δὲ ὡς ῥαψῳδῶ
σαν ὑφ' ὕρας ἐπὶ λέγειν ... ὅθεν ὀρκισθῆναι τὸν
Δία Θέτι συζεῦξαι αὐτήν, Χείρωνος δὲ βουλῇ ὁ Πηλεὺς
κατέσχεν αὐτὴν εἰς παντοίας μορφὰς μεταβάλλουσαν καὶ ἐ
γήμεν αὐτὴν ἐν Πηλίῳ. Κἀκεῖ ὁ γάμος ἐν Πηλίῳ
καὶ οἱ θεοὶ δῶρα ἔδωκαν, Ποσειδῶν ἵππους Ξάνθον καὶ
Βαλίον, Ἥφαιστος μάχαιραν, καὶ οἱ λοιποὶ ἕτερα. γεν
νήσασα δὲ ἡ Θέτις τὸν πρὶν κατὰ Ἀπολλόδωρον Λιτύ ⊡
ρον καλούμενον, ὕστερον δὲ Ἀχιλλέα μετακληθέντα διὰ
τὸ δοθῆναι τῷ Χείρωνι καὶ δίχα κοινῆς τροφῆς ἀναζέ
φεσθαι, ἐπεὶ βουλομένη αὐτὸν εἰς πῦρ ἔβαλλεν νυκτὸς ἄ
χρις ἂν ἐκβρασθῇ, καὶ ὡς ἀθανατίσαι τοῦτον εἰς πῦρ, ἡμέ
ρας δὲ ἀμβροσίᾳ καὶ ὡς ἀθανατίσαι τοῦτον ἠθέλησε. ἰδόντος
τοῦ Πηλέως τὴν Θέτιν βάλλουσαν αὐτὸν εἰς πῦρ καὶ βοήσ
αντος συνέβη ταύτην πρὸς τὰς Νηρηίδας ἀποχωρῆσαι.
ὁ δὲ Πηλεὺς τῷ Χείρωνι τῷ ἱπποκενταύρῳ τὸν παῖδα
δέδωκε τρέφειν, καὶ ταῦτα μέν φησιν Ἀπολλόδωρος.
Ἀγαμήστωρ δὲ ὁ Φαρσάλιος Πυρίσοον λέγει τὸν Ἀχιλλέα, Ŋ
καλεῖσθαι ἐν τῷ τῆς Θέτιδος ἐπιθαλαμίῳ, ἄλλοι τοιοῦ
τῳ τρόπῳ αὐτὸν Ἀχιλλέα καλεῖσθαι, ὡς τοῦτο σαφῶς
„ αἰτιολογεῖ, παῖδα ἐγὼ δ' ὠνόμασα θῆκε Πυρίσοον
„ ἀλλ' Ἀχιλλέα, ἐπεὶ καὶ ... ἄχος ἀνεκάμιν
„ καπνὸν θηρὶ κόνιν ἀποδίη ἐνὶ πυρὰ ... ἄμβροτε Χείλε
„ ος ... ἀθ' βίου ἀπροφάτως ἕτερον, ὁ δὲ Εὐρι
πίδης

+ ἢ καλεῖται Λύ... λος

:: f.

⊡ λιγύρων emendandū ex codē Zeze char. 145.

Ŋ emendo πυρίσοος ex codē. Zeze · 145.

ἀθρόα ξίφη ... [interl.: πηλέα] ἀχιλλεία τῇ θέτιδι ἐν τῇ οὐπιάδι
καὶ ἕτεροι σὺν αὐτῷ. φεψάλῳ πυρκαϊᾶς· ἢ φεύγειν
τῆς φαύλην ἢ προσεγγίζειν. ἀσσοδουμένων ἀγα
χοῦ πιπτομένων· νῦν δὲ φλεγομένων. μεσσαίνοντος κό
νον ἰωνικῶς. ἐξαμύξαντα· ἐκφυσῶντα. ἀσσοδοῦ ἀ
λλαχοῦ ζάκτην· νῦν δὲ τὴν πυρκαϊὰν ἢ καῦσιν.

χῶμ' ἐν ... ἀτόρευτον ἕξεται βίρι
ἀφνικὰς δὲ φοινικοὺς χηραμῶν ἀντρώσας
ὁ ... κοῦρος δαίμα κινήσας κεσμῶ
οἱ δ' εὖ προσεννήτειραν οὐλαμωνύμου
βύκταισι χρῄζουσιν ... πορριν
τοῦ σκυρίου δράκοντος ἔντοκον λεχώ

Καὶ ὁ μὲν ἀλέξανδρος ἁρπάζει τῶν ... ἐπιστρέ
ψει πάλιν πρὸς ... τὴν ... κινήσας κεσμῶ
ἀφνικῶν φοινικῶν κατοικίαν ἢ ... αὐτούς.
χῶμεν ... συναλοιφή, ἢ ... · τὸ α. καὶ ο.
... κιρνᾶται, ἀφνικὰς δὲ φοινικοὺς λέγει τοὺς
... χηραμῶν· χῶ τὸ χωρῶ ἢ ἐξ αὐτοῦ χηρα
μὸς ὁ φωλεὸς ἢ κατάδυσις, δαίμα, νῦν τὸν φω
λεόν. οἱ δ' εὖ προσεννήτειραν· οἱ δὲ ... θῆ
νες τοῖς βύκταις ἢ ἀνέμοις θυσιάσουσι τὴν ἰφιγέν
ειαν τὴν προσεννήτειραν ἤτοι μητέρα τὴν πρὸ τῆς
θυσίας αὐτῆς γεννηθεῖσαν τοῦ οὐλαμωνύμου νεοπ
τολέμου. ἢ τὴν πρόγονον οὐλαμωνύμου τουτέστι
τοῦ ἀλεξάνδρου οὐλὰς γὰρ ἡ κριθή, ὁ γὰρ ἀλέξαν
δρος ἐν πήρα φασὶν ἀνετράφη ὅθεν οὐλαμώνυμον
αὐτόν φασι κεκλῆσθαι, τοῦτο δὲ λῆρος ἐστὶ πηρωνύ
μου γὰρ ὤφειλε λοιπὸν εἰπεῖν ἢ σακκωνύμου. οὐλα
μωνύμου προσεννήτειραν κατά τινας ἐξ ἰφιγενείας

:: f. οὐπι ἀδι · alioqn sepias promoto xui est thess. de q° ualeri us fla. sed οὐπι ἀδι vel οὐπιάδι legendu doret. rhon 33.

φεψάλω

μεσσαίνοντος

ἀσσοδος

χῶμεν

χηραμός · ἢ · φωλεός ·

οὐλάς

:: f. πήρα

καὶ ἀχιλλέως ἐγεννήθη ὁ νεοπτόλεμος, μετὰ δὲ τὴν εὔ
ρισιν ἰφιγενείας θυσιάζειν ὥσπερ φησὶ πίνδαρος. ἰφιγέ

γρ. ἀφανι σθεῖσαν

νειαν δὲ τὴν εὑρισκομένην ἀφάνως παρέθετο ὥς τινές φασιν
ἀχιλλεὺς τὸν παῖδα δηϊδαμείᾳ ἐν σκύρῳ τῇ νήσῳ,

γρ. ζηνόδωρ

ζηνόδωρος δὲ καὶ οἱ λοιποὶ πάντες δηϊδαμείας τῆς λυ
κομήδους θυγατρὸς καὶ ἀχιλλέως παῖδα τὸν νεοπτόλεμον
ἴσασιν, φησὶ γὰρ ὁ ζηνόδωρος οὗτος υἱὸς ἀχιλλέως
καὶ ἐστὶ μὲν τῆς δηϊδαμείας, τὴν δὲ ἰφιγένειαν κατὰ τοὺς
ἀκριβεῖς τῶν ἱστορικῶν οὐ γυναῖκα ἔσχεν ἀχιλλεύς ἀλλά
κατεσχεθέντων τῶν ἀνέμων ἐν τῷ διαβαίνειν τοὺς ἕλληνας ἐν
αὐλίδι πέμπουσιν εἰς μυκήνας ἀχθῆναι πρὸς θυ
σίαν ἰφιγένειαν. ζητούσης δὲ τῆς κλυταιμνήστρας τίς
ἡ χρεία αὐτῆς, ἔφασαν ἀχιλλεῖ μνηστεύεσθαι
αὐτήν. οἱ δὲ τῷ ὄντι λέγουσι δι᾽ ἀχιλλέα ταύτην κομι
σθῆναι ἐν αὐλίδι διὰ τὸ συμφωνεῖν τὸ συμβὰν περὶ τοὺς
ἀνέμους ἐλέγχειν αὐτὴν θύειν. ἡ δὲ ἄρτεμις αὐτὴν ἐλε

Iphigenie hi storia ad longum

ήσασα, κατὰ φανόδημον τὸν ἱστορικὸν εἰς ἄρκτον με
τέβαλε, κατὰ δὲ νίκανδρον εἰς ταῦρον, κατ᾽ ἑτέρους καὶ
κατ᾽ ἐμοὺς εἰς ἔλαφον. ταῦτα δὲ πάντα λῆροι καὶ μῦ
θοι εἰσί· τὸ δ᾽ ἀληθὲς οὕτως ἔχει. παραστάσης τῆς ἰφι
γενείας τῇ θυσίᾳ καὶ μελλούσης θύεσθαι ἄρκτος ἢ ταῦρος
ἢ γραῦς ἢ ἔλαφος διέδραμε μέσον τοῦ τῶν ἑλλήνων
στρατοῦ καὶ προστάξει τοῦ μάντεως τὸ ζῷον ἐκεῖνο
ἀναιρεῖται, ἡ δὲ ἰφιγένεια σωθεῖσα φεύγει παρὰ
σκύθαις ἐν ᾗ πόλις ἀρτέμιδος λέγεται καὶ ἀναιρεῖ πάν

γρ. τοὺς

τας τοὺς ἑλλήνων ἀφικνουμένους. τινὲς δὲ τὴν ἰφι
γένειαν ταύτην στησίχορος καὶ δοῦρις οὐκ ἀγαμέμνονος θυ
γατέρα λέγουσιν ἀλλὰ θησέως ἐξ ἑλένης γεννηθεῖσαν
ὑπὸ δὲ κλυταιμνήστρας λέγουσιν ἰφιγένειαν. ἀλλ᾽ ἐκ τὴν
τῆς χρυσηΐδος καὶ ἀγαμέμνονος παῖδες γίνονται χρύ
σης καὶ ἡ ῥηθεῖσα ἰφιγένεια, μετὰ δὲ τὴν πόρθησιν

∴ ζ. ἀπὸ πλω. ʃι. μετ' ἄγω ἀλφ.

Τοῦ ἰλίου θύτας θηνῶν ἀπόλλωνι χρύσης μὲν ἐν τῇ
λεγομένῃ χρυσουπόλει τοῦ ~~[illegible]~~ εὐξείνου ἱερεύσας. τὴν
δὲ ἰφιγένειαν τὴν αὐτοῦ ἀδελφὴν ταυροσκύθαι αἰχμα-
λωτίσαντες ἱέρειαν τῆς ἀρτέμιδος ἤτοι σελήνης ἐποίησαν,
οὐκ ἀπηνῶς δὲ θυομένης τῆς ἰφιγενείας διαδραμεῖν
ἔλαφον καὶ ταύτην τοὺς θύτας ἀνελεῖν καὶ τὴν κόρην ἐάσαι
καὶ γὰρ καὶ ἰούλιος ~~περικαυρώμενος~~ ἀετός οὕτως ἔσωσε
σφαγιαζομένην γὰρ αὐτὴν καταπτὰς ἀπὸ τοῦ δημίου
ἢ ἱερέως ἁρπάζει δὲ τὸ ξίφος καὶ πρὸς δάμαλιν ἐπι-
ρρίπτει πλησίον τοῦ νεὼ νεμομένην ἣν καὶ ἐθυσίασαν
ἀντ' αὐτῆς, οὐκ ἄλλως ἀντὶ ἰσαὰκ κριὸν ἐν φυτῷ
σαβὲκ δεδεμένον ∴ βύκταισι κυρίως τοῖς σφοδ-
ροῖς ἀνέμοις τοῖς βύουσι .ἤ. κρύπτουσι καὶ βυθίζουσι
τὰ σκάφη, νῦν δὲ ἁπλῶς ἀνέμοις τοῖσδε . χερνί-
φουσι σφαγιάσουσι, θύσουσιν ἀπὸ μεταφορᾶς τῶν
χερνίβων οἷς καθαιρόμενοι τὰς χεῖρας τὴν θυσίαν χέρνι-
βα ἤτοι αὐτὴν ἐκκαθαίρουσαν . ὠμησταί κυρίως οἱ
ὠμὰ ἐσθίοντες πόρριν δάμαλιν, λέγει δὲ τὴν ἰφι-
γένειαν. τὸ δὲ πόρριν διὰ δύο ρρ δεῖ γράφειν πόρ-
τις γάρ τις ἦν καὶ τροπῇ τοῦ τ. εἰς ρ. πόρρις, οὗτος
δὲ ὁ λυκόφρων ἔθος οὐ ποιητικὸν ἀλλὰ κωμικὰ
τοιαῦτα ποιεῖ· ἤτοι καὶ μετὰ ρρ. ἀπλῶς ἦν ὁ στίχος
τοῦ γὰρ ἰάμβου ἐστὶ καὶ τὸ πάθος τὸ λεγόμενον χωλίαμβοι
ὁποῖον μετὰ δύο ρρ. τοιοῦτον ἐστὶ . σκυρίου δράκον-
τος τοῦ νεοπτολέμου διὰ τὸ φονικὸν καὶ αἱμοχα-
ρές. θυγάτηρ σκύρῳ κατά τινας μόνος ἀνετράφη, κατ' ἐμὲ
δὲ γεννηθεὶς ἐκ δηιδαμείας τῆς λυκομήδους θυγατρός
ἡ δὲ σκῦρος νῆσος ἐστὶ μία τῶν κυκλάδων .∴.

Ἦν ὁ ξύνευνος ~~σαλμυδησίας~~ ἁλός
ἐντὸς ματεύων θηλάδος καρατόμον

Χρυσούπολις

*

∴ ἐν φρέατι σαβὲκ .i. bersabe hoc est puteus iuramenti. pa[illegible]. in gen. 22.

βύκται

χερνίπτω

ὠμησταί

πόρρις

∴ emendo σαλμυδησσίας duplex. σσ. ςέφανος/σαλμυδησσος κόλπος τοῦ πόντου τὸ ἐθνικ" σαλμυδήσσιος &

σαρὸν, φαληριῶσαν οἰκήσει ἀκτὴν
κέλσου πρὸς ἐκβολαῖσι λιμναίων ποτῶν
ποθῶν ἀλέκτρα, τὴν ποτ' ἐν σφαγαῖς κεμὰς
λαιμὸν προθεῖσα φασγάνων ἐκρύσεται
βαθὺς δ' ἔσω ῥηγμῖνος αὐδηθήσεται
ἔρημος ἐν κρόκαισι νυμφίου δρόμος
στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν
καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην
γραῖαν σφαγείων ἠδὲ χερνίβων πέλας
ἅδου τε παφλάζοντος ἐκ βυθῶν φλογὶ
κρατῆρος ὃν μέλαινα ποιφύξει φθιτῶν
σάρκας λεβητίζουσα δαιταλουργία

ἢν φησὶν ὅτι ὁ ἀξιώνειμος., μετὰ τὸ ἁρπαγῆναι τὴν ἰφιγένειαν ὑπ' ἀρτέμιδος ἀκούσας ἀχιλλεὺς ὅτι ἐν σκυθίᾳ ἐστὶν ὥρμησε ζητῶν αὐτὴν καὶ μὴ εὑρὼν ᾤκησε περὶ τὴν λευκὴν νῆσον ἥτις ἐστὶν ἐν τῷ εὐξείνῳ πόντῳ. σαλμυδησσὸς ποταμὸς θρᾴκης ἐκβάλλων εἰς τὸν εὔξεινον πόντον ὅθεν καὶ πέλαγος σαλμυδήσιον τὸ ἀπὸ σαλμυδέως μέχρι καὶ ὅλου εὐξείνου. μακέλων ἀπηλεφῶν κατὰ πολικῶν ἐκθλιμμάτων τοῦ. σ. σφαγίδος κερατόμου ἔφημεν πρότερον ὅτι τὰ τοιαῦτα πάντα δύο τόνους ἐπιδέχονται. τὰ μὲν ἐνεργητικὰ τὸν παροξύτονον, τὰ δὲ παθητικὰ τὸν προπαροξύτονον. ἢ τὰ ἐνεργητικὰ τὸν ὀξύτονον, τὰ δὲ παθητικὰ τὸν παροξύτονον οἷον τόμος ὁ κόπτων, τομὸς δὲ ὁ κοπεὶς. κεράτομος σφαγὶς ἡ ὑφ' ἡμῶν κερατομηθῆναι θέλουσα, ἢ κερατόμος σφαγὶς ἡ ἐν σκυθίᾳ τοὺς ξένους ἀναιροῦσα, οὕτω τὰ τοιαῦτα τοὺς δὲ τοὺς τόνους ἐπιδέχονται ἢ τὸν παροξύτονον τὰ παθητικὰ τοὺς δὲ περισπωμένους

λευκὴ νῆσος

σαλμυδησσός

σαλμυδήσιον πέλαγος

∴ σημ. τόνους

∴ σημ. παροξύτονον

+ σημ. ὀξύτονον

Κανών

∴ σημ. τόπ.

∴ σημ. προπαροξύτονον

+ σημ. προπερισπώμενον

τὰ ζευγιτικά. οἷον βουπλῆγες οἱ πλησσόμενοι ὑπὸ τῶν βο-
ῶν, βουπλῆγες δὲ οἱ πλήσσοντες τοὺς βόας. Φαληριῶ-
σαν: τὴν λευκὴν νῆσον τοῦ εὐξείνου ἢ τὴν λευκαινομένην
ἐκ τοῦ ἀφροῦ τῶν κυμάτων ἢ κατὰ διονύσιον τὸν πε-
ριηγητὴν ὅτι πολλὰ ζῶα λευκὰ ταύτην κατοικεῖ λάροι
κύκνοι καὶ ψαροί. ἀστίκτου νῆσον. κέλτρος ὄνομα
λίμνης ἀφορμοῦσα περὶ τὸν εὔξεινον πόντον. βα-
φὸς δέσω ἐν σκυθίᾳ ἐστὶν αἰγιαλὸς εἰς μῆκος δισχι-
λίων σταδίων ἀχιλλέως δρόμος. ἀπὸ κοινοῦ τὸ
στένοντος δέμας καὶ κλύων ναυκληρείαν καὶ τὴν ἀφ'
αὐτοῦ ἔθος πλοιωμένην ἐρρέθη ταῦτα εἰς ἰφιγένειαν,
νῦν δὲ εἰς γραῖαν φησὶν αὐτὴν ἀλλαγῆναι σφαγίων στε-
νοντος τὸ δέμας καὶ τὰς σφαγὰς τῶν ἀφαιρουμένων καὶ χέρ-
νίβων καὶ ἐντεκέων σφαγάς τε τοῦ κρατῆρος τοῦ ἅδου
τοῦ παφλάζοντος ἐκ βυθῶν φησὶν ὅντινα κρατῆ-
ρα ἡ μήδεια ἤτοι ἡ περσεφόνη ἢ ἡ ἰφιγένεια ποι-
φύξει λεβητίζουσα καὶ ἑψῶσα τὰς σάρκας τῶν φ-
θιτῶν ἤτοι ἀνθρώπων τῇ μαγειρουργίᾳ. ἡ μαγει-
ρικὴ τέχνη. κρατῆρα δὲ ἅδου τὸν λέβητα καλεῖ
εἰς ὃν ἡ ἰφιγένεια τοὺς ἀναιρουμένους ἐνέβαλεν.
ἄλλοι δέ φασιν χάσμα εἶναι ἐν ταύροις ἐξ οὗ φασὶ
φέρεσθαι εἰς ὃ τοὺς ξένους ὑπέρριπτεν ἡ ἰφιγέ-
νεια.

λευκὴ νῆσος

λάρος ζῶον λευκόν

ἀχιλλέως δρόμος

παφλάζω
βυθός
ποιφύξει
λεβητίζω

ἢ τήν

χ' ὃ μὲν πετρώδη χοιράδ' ἀλαζώνων σκύθην
εἰς σῦτε που πλέοντας ἱμείρων λέχους
οἱ δ' ἀμφὶ βωμὸν τοῦ προμάντεως κρόνου
σὺν μιξιτέκνων νηπίων κρεωνόμον
ὅρκον τὸ δευτεροῦχον ἁρπάσαντες ξυνὸν
στερρὰν ὑποσπιοῦσιν ὠλέναις πάλην
σωτῆρα, βάκχον τὸν σάροιζον πημάτων

σφάκτην ἀνεβάζοντες ἐν ποτ' ἐν μυχοῖς
Δελφινίου παρ' ἄντρα, κερδῴου θεοῦ
Ταύρῳ κρυφαίῳ χέρνιβας κατάρξεται
ὁ χιλίαρχος τοῦ πολυρραίστου στρατοῦ

Χὠ μὲν παλαιστοῦ χῶρον ἀλάζων σκύθην· ὁ Ἀχιλλεὺς πέντε ἔτη εἰς Σκυθίαν θρηνῶν διατρίψει ἱμείρων τοῦ λέχους τῆς Ἰφιγενείας :: οἱ δ' ἀμφὶ βωμόν· οἱ δὲ Ἕλληνες φησὶν ἐν Αὐλίδι περὶ τὸν βωμὸν τοῦ Διὸς ἰδόντες τὸν δράκοντα τοὺς στρουθοὺς φαγόντα καὶ τὴν μητέρα, ὅρκους ἀλλήλοις δόντες βεβαιοῦσι καθ' Ἰλίου βουλήν. τινὲς δὲ τὸν Κρόνον φασὶν ὅτι τὸ ἐν Δελφοῖς μαντεῖον πρότερον τοῦ Κρόνου ἦν. ἔνθα ἔμαθον τὸν χρησμὸν οἱ Ἕλληνες ὅτι τῷ δεκάτῳ ἔτει τὴν Ἴλιον πορθήσουσι, τὸ δὲ ἑξῆς οὕτως· οἱ δ' Ἕλληνες περὶ τὸν βωμὸν τοῦ προμάντεως Κρόνου ἢ Κρονίδου ἐκ τοῦ κρεανόμου τῶν νηπίων σὺν τῇ μητρί, ἤτοι τοῦ δράκοντος τοῦ φαγόντος τοὺς στρουθοὺς καὶ τὴν αὐτῶν μητέρα, ἀρύσαντες ἢ ἁρμόσαντες καὶ ποιήσαντες τὸν δεύτερον ὅρκον, τουτέστι δευτέρους ὅρκους ποιησάμενοι περὶ τοῦ παραμένειν μέχρι τέλους τοῦ πολέμου τὴν ἰσχυρὰν κώπην ἐνοπλίσουσι ταῖς χερσίν, ἀντιστρόφως δὲ εἶπεν ἀντὶ τοῦ τὰς χεῖρας ἐνοπλίσουσι στερραῖς κώπαις. δευτέρους δὲ ὅρκους εἶπε πρὸς ἀντιδιαστολὴν τῶν πρώτων τῶν δοθέντων παρὰ πάντων τῶν μνηστήρων ὅτε ἐμνηστεύσαντο τὴν Ἑλένην, ὅτι εἰ ἀδικηθείη παρά τινος ὁ κληρωσάμενος ταύτην λαβὼν σύζυγον, πάντες αὐτῷ συμμαχήσαιεν. σωτῆρα βάκχον· τὸν Διόνυσον φησὶ ὅτι αὐτοὺς ἔσωσεν ἐν Μυσίᾳ ὑπὸ Τηλέφου μέλλοντας ἀπόλλυσθαι ἀναδοὺς ἐξ αὐτομάτου ἄμπελον καὶ σφήλας τὸν Τήλεφον δι' αὐτῆς, ὅθεν καὶ σφάλτης ἐκλήθη καὶ ἀναδότης.

Iusiurandū grecorū in aulide

ἀντιστρόφως

κερδῷος

τῆς ἀμπέλου, μῦθος ἐστὶ τοῦτο, ἡ δὲ ἀλήθεια οὕτως ἔχει·
ἢ κατά τινας ὅτι ὁ Τήλεφος ὑπ' ἀμπέλου κλήμασιν ἐπι-
συσχεθεὶς τιτρώσκεται ὑπὸ Ἀχιλλέως ὡς καί που ποτὲ
προϊὼν φησὶν ὁ στιχουργός(?), τῆς γὰρ ἐσθὴν(?) τὴν "
λεφον θραγλυτῶ(?) δ' ἐν Καΐκου παρόχθαις. τῶν πα- "
ροιχεπιημάτων(?) ἐπειδὴ πρῶτον πλεύσαντες οἱ Ἕλληνες
ἀνεχθέντες ἐν Μυσίᾳ ἐδιώχθησαν ὑπὸ Τηλέφου καὶ πά-
λιν ὑπέστρεψαν εἰς τὴν Ἑλλάδα. ὁ δὲ Τήλεφος παῖς — Τηλέφου ἱστορία
ἦν Ἡρακλέους καὶ Αὔγης τῆς Ἀλέου θυγατρός, ἥτις Αὔγη
τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς ἔθετο, λοιμοῦ
δὲ κατασχόντος, γνοὺς Ἄλεος εἰς τὸ Παρθένιον ὄρος ἐξέθη-
κε· θηλάζει δὲ τοῦτον ἔλαφος, ποιμένες δὲ εὑρόντες Τήλε-
φον ἔσωσαν, τὴν δὲ Αὔγην Ναύπλιος ὁ Ποσειδῶνος κελεύ-
σαντος Ἀλέου πεπέρακε(?) Τεύθραντι τῷ Τελεμυσί(?) δυνάστῃ
ὃς ἔσχεν αὐτὴν γυναῖκα. ἀνεβράζοντες· ἀνευφημή- — γρ. εὐάζοντες
σαντες. ὦ ποτ' ἐν μυχοῖς· ὧ τινι ποτὲ Ταύρῳ
ἤτοι ταυρομόρφῳ Διονύσῳ κατάρξεται καὶ θύσει κρυφαῖα. ἤ-
τοι μυστικὰς θυσίας ἐν μυχοῖς Δελφινίοις τόποις ἤτοι
τῆς Φωκίδος περὶ τὰ ἄδυτα καὶ σπήλαια τοῦ Κερδῴου
θεοῦ ἤτοι τοῦ Ἀπόλλωνος. τίς δὲ θύσει ταῦτα; θυσίας
Ἀγαμέμνων ὁ χιλίαρχος τοῦ πολυρραίστου. ἤτοι πο-
λυφθάρτου στρατοῦ τουτέστιν ὁ χιλιῶν νεῶν ἄρχων.
ρ. ω. ς. τῆς Φωκίδος· ἤτοι τοῦ Ἀπόλλωνος. κατὰ χρησ- — γρ. Δελφινίου
μὸν γὰρ ὁ Ἀγαμέμνων ἐλθὼν ἐν Δελφοῖς ἐν τῷ τοῦ
Ἀπόλλωνος ἱερῷ ἔθυσε Διονύσῳ. Δελφίνιος οὖν
καὶ κερδῷος θεὸς ὁ Ἀπόλλων, Δελφίνιος μὲν ἢ ὅτι τὸν
ἐν Πυθῶνι δελφῖνα δράκοντα τοξεύσας ἀνεῖλε λη-
στῶν βιάζουσαν ὥς φησιν ἥλιος(?), ὅς ποτε δελφύνην
ὑπὸ δειράδι Παρνασοῖο δελφῖνα τόξοισι πελώριον
ἐξενάριξεν, ἢ ὅτι ἐπὶ δελφῖνος ὀχούμενος ἢ δελφῖνι
ὁμοιωθεὶς προηγεῖτο τῆς νεὼς ἕως τοῦ Κρισαίου

κόλπου τῆς Φωκίδος. τινὲς δέ φασιν ἐν τῷ πλοίῳ αὐτοῦ ἀσελγῆ ἂν ἐν δελφῖνος καὶ κατὰ τοῦτον τὸν τρόπον πι-

Κερδῷος

θῆσαι. Κερδῷος δὲ ὅτι διὰ χρησμῶν τὰ συμφέρον-
τα καὶ κέρδη δείκνυσι. ἐπ' ἀνάκτα· παρὰ τοὺς ἐσωτάτους τόπους τοῦ ναοῦ. ἐτιμᾶτο δὲ καὶ ὁ Διόνυσος ἐν Δελφοῖς σὺν Ἀπόλλωνι οὑτωσί. οἱ Τιτᾶνες τὰ Διονύσου μέλη σπαράξαντες Ἀπόλλωνι ἀδελφῷ ὄντι αὐτοῦ παρέθεντο ἐμβαλόντες εἰς λέβητα. ὁ δὲ παρὰ τῷ τρίποδι ἀπέθετο, ὥς φησι Καλλίμαχος καὶ Εὐφορίων, ὃν πυρὶ Βάκχον δῖον ὑπὲρ φιάλην ἐκβαλόντες.

Δελφοὶ ἀπὸ Δ.

Δελφοὺς κληθῆναι ἀπὸ Δελφοῦ τοῦ Ποσειδῶνος καὶ Μελανθοῦς τῆς Δευκαλίωνος θυγατρός. Ταύρῳ Διονύσῳ, ὅτι κερατοφόρον αὐτὸν γρά-

Κερατοφόρος Βάκχος

φουσιν ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις καὶ πρόσθεν μὲν ταῦρος ἡμῖν ἡγεῖσθαι δοκεῖ. Ἱπποκράτης δὲ καὶ Διόνυσον αὐτὸν καλεῖ ὅτι κερατοφόρος ἐξ ἑλῶν τοῦ Διὸς μηροῦ ἐγεννήθη. κευθμαίαις χρήστηρσιν· ὅτι τῷ παραβύστῳ τῷ Διονύσῳ τὰ μυστήρια ἐπετελεῖτο.

ᾯ ξυμμάχων πρόσαιον ἐκτίνων χάριν
Δαίμων Ἐνόρχης, Φιγαλεὺς Φαυστήριος
λέοντα θοίνης ἴχνος ἐμπλέξας λύγοις
σχήσει τὸ μὴ πρόρριζον αἰστῶσαι στάχυν
κείροντ' ὀδόντι καὶ λαφυστίαις γνάθοις

πρόσαιος

ᾯ τινι Ἀγαμέμνονι. πρόσαιον· ἡ νεαρὰν τὴν χάριν τῶν ξυμμάχων ἀντιδιδοὺς ὁ Διόνυσος συμποδίσει τὸν Τήλεφον ἀμπέλου κλήματι ὥστε μὴ ἀνελεῖν πάντας τοὺς Ἕλληνας, βόας ἢ ἄρνας ἐπεὶ ἔσθει ὁ στάχυς ἐπὶ αὐτούς, τοῦτο δὲ ἀκατάλληλον, λέων γὰρ στάχυς οὐκ ἐσθίει. Δαίμων Ἐνόρχης ὁ Διόνυσος πρά-

λεσβίοις, φασὶ γὰρ δύο ἀδελφοὺς συμμίξαντας ἀδελφῇ
καὶ σάιταν ἐξ αὐτοῦ τεκεῖν παῖδα ἐνόρχην καλούμενον,
ὃς ναὸν ἱδρυσάμενος τῷ διονύσῳ ἀπὸ τοῦ ἰδίου αὐ-
τοῦ ὀνόματος τοῦτον ἐκαλέσατο, ἢ ἐνόρχης λέγεται ὅτι
μετ' ὀρχήσεως αὐτοῦ τὰ μυστήρια ἐτελεῖτο ἢ ὅτι ἐν
ὄρχοις καὶ φυτοῖς διῆγεν. οἱ δὲ αἰσχράν τινα ἱστορίαν φέ-
ρουσι, διόνυσον γὰρ λέγουσι ζητῆσαι τὴν μητέρα μετὰ
τὸ κεραυνωθῆναι αὐτήν, πολυύμνου δέ τινος νεανί-
σκου δεῖξαι τὴν πρὸς ταύτην ὁδόν, εἰ συγγένοιτο αὐτῷ·
ὁ δὲ ὑπέσχετο τοῦτο ποιῆσαι εἰ πρῶτον εὕροι τὴν
μητέρα, καὶ δὴ βουλαῖς πολυύμνου κατελθεῖν εἰς τὸν
ᾅδην ἐκ τῆς λέρνης πόλεως ἀναγαγεῖν αὐτήν. τελευτήσαντος
δὲ πολυύμνου διόνυσος θέλων πληρῶσαι τὴν ὑπό-
σχεσιν ἐκείνῳ, αἰδοῖα προσάψαι ἑαυτῷ καὶ φαλλοὺς δερ-
ματίνους ἔγραψαν, ὅθεν ὥς φασι καὶ ἐνόρχης λέγεται.
ἄλλα καὶ περὶ τοῦ ὀσίριδος ληροῦσι καὶ τὴν ἀλήθειαν
οὐκ ἴσασιν. ἔχει δὲ ἡ ἱστορία οὕτως. ὄσιρις ὁ καὶ διόνυ-
σος βασιλεὺς ὑπάρχων αἰγύπτου ὑπὸ τυφῶνος καὶ τῶν
συνόντων γιγάντων κατετμήθη καὶ ἐξετάθη πολλα-
χοῦ. ἡ ἶσις δὲ ἡ καὶ δημήτηρ γυνὴ διονύσου μετὰ ὥ- *
ρου τοῦ υἱοῦ αὐτοῦ τὸν τυφῶνα καὶ πάντας τοὺς ἐκεί-
νῳ φονεῦσιν ἀνεῖλε· τὰ δὲ διονύσου μέλη καὶ μόρια συ-
λλέξασα, ἑκάστῳ ναὸν καὶ ἱερὰ ᾠκοδόμησεν ἐν φιλά-
λαις, φιλάγη δὲ πόλις αἰγύπτου ~~φιλαγ~~ τὸ μέγιστον
ἦν τῶν ἱερῶν ὃς καὶ μέγας ὅρκος τοῖς αἰγυπτίοις ἐτύγχα-
νεν, μὰ τὸν ἐν φιλάγῃ ὄσιριν, πάντα δ' οὖν εὑροῦσα
τὰ μόρια ὡς ἔφην καὶ δειμαμένη πάντας ναούς, τὰ
δὲ παιδογόνα μόρια μὴ εὑροῦσα τοὺς δερματίνους
φαλλοὺς ἐπενόησε κρεμαμένους ἕκαστον ~~ἕκαστον~~
ἑαυτῷ καὶ σὺν τούτοις ὀρχεῖσθαι, καὶ πρίαπος τοῦ ὁσί-
ριδος οὕτως ἔχει τὸ δὲ συμβολικώτερον τούτου

ἐνόρχης ὁ διόνυσος

∴ f. ἐν ὄρχοις φυτοῖς. de his montibus & in principio poematis & item fr. cie sequenti unde hic locus depravatissimus emendatus est.

ὄσιρις ὁ καὶ διόνυσος

φιλάγη πό.

∴ f. μὰ τὸν ἐν φιλάγῃ ὄσιριν

δῆλον ὅτι ὁ οἶνος συνέφυσε τὰ μόρια· ὅθεν τὸν διόν
νυσον καὶ νέον καὶ γέροντα γράφουσι πρὸς τὴν πόσιν
τοῦ οἴνου μετρίαν λέγω καὶ ἄμετρον, καὶ φαλακρὸν
γέροντα γράφουσι τούτῳ ἀκολουθεῖν ὅτι οἱ οἰνωθέν
τες τὰ τοῦ λογισμοῦ ἀπόρρητα ἐκφαίνουσιν· ὅθεν
,, καὶ ἀλκαῖος φησίν· οἶνος γὰρ ἀνθρώποις διόπτερον·
καὶ ἄλλα μυρία περὶ τοῦ διονύσου ἤτοι τοῦ οἴνου συμ
βουλευτικωτέρως ἡγούμεθα, παρδάλεις καὶ βάκ
χαι καὶ σάτυροι καὶ ἀνδρόγυνοι στολισμοί καὶ ἕτερα ἃ
μακρὸν ἐστὶ ἐν μυστικοῖς συγγράμμασιν ἀκριβέστερον
περιεργοτέρως. φηγθηρούς ἐμοὶ δοκεῖ δεῖν γράφ
εσθαι παρὰ τὸ ἐν φηγοῖς ὄρεσιν λέγεσθαι. ἄλλοι δὲ
διὰ τοῦ τ γράφουσι φιγαλέα λέγοντες ἐν ἀρκαδίᾳ τι
μᾶσθαι τὸν διόνυσον. φαυστήριος δὲ λέγεται ὅτι με
τὰ φανῶν καὶ λαμπάδων τελεῖται τὰ τούτου μυστήρια
ἐγὼ φημὶ ἀληθέστερον τοῦτον φαυστήριον παρὰ
τὴν τοῦ οἴνου θρασύτητα. λέοντα τὸν τήλεφον καλεῖ
τῆς θοίνης. ἢ τῆς εὐωχίας ἀνὴρ ὅ τ' αὐτόρριζον ἀ
ϊστῶσαι τὸν στάχυν κάρπου τ' ὀδόντι καὶ λαφυστίαις ἠ
δονικαῖς σιαγόσι. ἀπὸ δὲ στάχυος, τὸ ἴχνος ἐμπ
λέξας τοῖς αὐτοῖς, λύσους δὲ νῦν ἀπὸ τῆς
ἀμπέλου τὰ κλήματα, στάχυν δὲ τοὺς θύρσους κα
κοζήλως τῷ λέοντι προσάπτων θοφὴν τοὺς σταχύας

Λεύσσω πάλαι δὴ ἀστραπὴν ὁλκαίων κακὸν
σύρουσαν ἄτην κἀπιρροιζοῦσαν πάλην
λυγὰς ἀπλὰς καὶ πυριφλέκτους φλάβας
ὧς μὲν δὲ κάδμος ἐκφυγεῖν περιρρύτην
ἴσον φυτεῦσαι δυσμενῶν ποδηγέτην
τέταρτον ἐξ ἄτλαντος ἀλλὰ τὸν ὀρ
τῶν ἀνθομαλέων συγκατεσκάπτην πύλην

φαυστήριος

λαφυστίαις

λύσοι

τέρμουρε πρὸς τὰ λῶστα νημερτέστατε

στεῖραν ἀγαθοῦ τάξιν στρατιωτικήν, ναῦν δὲ συστροφὴν ἢ συναγωγὴν κακῶν τὴν ἀπὸ ὁλκάδων ἢ πλοίων γινομένην, ἀστέρα γὰρ ἡ τῶν ὄφεων συστροφή· σύρουσαν συρομένην ἐν τῇ θαλάσσῃ. κἀγχιροιβοῦσαν ἢ ἐπιβοῶσαν τῇ σαρίδι. ἢ τῇ βοαλδι δεινὰς ἀπειλὰς ἢ πυρπολήσεις, τὸ δὲ λεύσσω ἀντὶ τοῦ προορῶ ταῦτα. ὡς μὲν δὲ κάδμος ἀπέστρεψε τὸν λόγον πρὸς τὸν πρύλιν ὃς ἦν μάντις τῇ ἴσῃ ἤτοι τῇ λέσβῳ υἱὸς τοῦ καδμίλου. ἢ κάδμου ἤτοι ἑρμοῦ καὶ ἴσης τινὸς νύμφης ὃς προενεχθεὶς τοῖς ἕλλησι τῇ λέσβῳ ὑπέθετο τὸν τρόπον τῆς ἰλίου ἁλώσεως διὰ μαντείας· ἔφη γὰρ τὴν κατασκευὴν τοῦ δουρείου ἵππου δώροις πεισθεὶς ὑπὸ παλαμήδους πρὸς ὃν λέγει ὦ πρύλι ὡς μὴ ὤφελε σὲ τὸν πρύλιν φυτεῦσαι ἢ γεννῆσαι ὁ κάδμος ἤτοι ὁ ἑρμῆς οὕτω λεγόμενος παρὰ βοιωτοῖς ἐν τῇ ἴσῃ ἢ μιτυλήνῃ τῇ περιρρύτῳ ἤτοι κυκλουμένῃ ὑπὸ θαλάσσης. φυτεῦσαι δὲ ποδηγέτην καὶ ὁ ἑρμέας ὁδηγὸν τῶν ἑλλήνων τῶν αὐτομαίμων δὲ ἢ συγγενῶν βοῶν συγκατασκαπτῆρα τέταρτον ὑπάρχοντα ἐκ τῆς ἔθνης ἄτλαντος. πληιόνης γὰρ τῆς ὠκεανοῦ θυγατρὸς καὶ ἄτλαντος τοῦ υἱοῦ ἰαπετοῦ ἑπτὰ θυγατέρες ὡς καὶ ἄρατος λέγει ἑξ ὧν αἵπερ ἑοῦσαι ἐπόψιμαι ὀφθαλμοῖς ἑπτὰ δή τοι ταί γε ἐπιρρήδην καλέονται ἀλκυόνη, μερόπη τε κελαινώ τε, ἠλέκτρα, καὶ στερόπη καὶ ταϋγέτη καὶ πότνια μαῖα καὶ κελαινοῦς, μέλη καὶ προμηθέως παῖδες λύκος καὶ χιμαιρεύς, ἠλέκτρας καὶ διὸς δάρδανος καὶ ἠετίων ἀστερόπης καὶ ὑπεράχου οἰνόμαος. ταϋγέτης καὶ διὸς λακεδαίμων × μαίας καὶ διὸς ἡρακλῆς ὡς ὀρφεύς

ἀστέρα

ἀγχιροιβοῦσαν

λεύσσω

πρύλης μάντις

κάδμος ὁ ἑρμῆς παρὰ βοιωτοῖς

πλειάδες

:τῆς ὁ ἑρμῆς

» φησὶ δ' ἐν τῇ ἀρχῇ τῶν λιθικῶν. Δῶρ' ἀνεξικάκοιο Διὸς γνη-
» τοῖσιν ὀπάσσαι κεκλομένης μαίης ἐριούνιος ἦλθε κο-
» μίζων υἱὸς ὅν περ μιν ἔχομεν ὀΐζυος αἰκαρθαίμης, ἢ
» ἢ ὁ ἱππῶναξ ἐν τῷ κατὰ βουπάλου πρώτῳ ἰάμβῳ
» ἐβόησε μαίης παῖδα κυλλήνης πάλμυν· ἢ σιμωνίδης
» μαιάδος ὀρέης ἑλικοβλεφάρου κατάγονον τάχ' ἑρμῶν
ἑρμῆς δὲ ἐκ τῆς ῥηθείσης ἰάνης πρύλιν γλωσσ. τέ-
ταρτον αὐτὸν ἐξ ἄτλαντος εἶπεν, ἄτλας γὰρ οὗ μαῖα,
ὡς ἔφημεν, ἧς ἑρμῆς οὗ πρύλις. ἄθλιον δὲ τὸν
ἄτλαντα λέγει διὰ τὸ τὸν πρύλιν συγγενῆ αὐτοῦ ὄν-
τα, τοὺς ἰδίους προδιδόναι συγγενεῖς. αὐθομαί-
μων τῶν συγγενῶν ζώων. τόμουρε μάντι πρὸς
τὰ λῷστα ἢ βέλτιστα. δν. τὰ ἡδονικά. μνημεστέσατε
ἤτοι ἀληθεύσατε, τόμουρος δὲ ὁ μάντις ὁ τὸ μὴ ὂν ὁ-
ρῶν ἤτοι ὁ τὸ μὴ ὑπὸ γεγονὸς βλέπων. λῷστα παρὰ
τὸ λῶ τὸ θέλω. μνημερτής παρὰ τὸ μὴ στερητικὸν μό-
ριον ἢ τὸ ἁμαρτάνω ὁ μὴ ἁμαρτάνων τοῦ ἀληθοῦς κα-
τὰ συγκοπήν. ἔπε τὸν κάδμον κάδμιλος γὰρ ἦν·
αὐτῷ τὰς ζαμφίδας γάμφας

αὐθομαίμων

τόμουρος

λῷστα

μνημερτής

ζαμφίδες γάμφαι

ἀντὶ τοῦ ἀσαρκοενός

μηδ' αἴσακός ποθ' ὤφελε πατὴρ
χρησμῶν ἀπῶσαι νυκτίφοιτα δείματα
μιᾷ δὲ κρύψαι τοὺς διπλοῦς ὑπὲρ πάτρας
μοίρᾳ τεφρώσας γυῖα λημναίῳ πυρί·
οὐκ ἂν τοσόνδε κῦμ' ἐπέκλυσε κακῶν

μὴ ~~δὲ~~ δ' αἴσακός ὤφελε δὲ ὁ ἐμὸς πατὴρ μηδὲ
τὰ νυκτίφοιτα δείματα ἤτοι τοὺς ὀνείρους τῆς ἑκά-
βης ἀπῶσαι ἢ ἐκτὸς θεῖναι τῶν χρησμῶν ἢ προσ-
ταγμάτων τοῦ αἰσάκου. ὤφελε δὲ ὑπὲρ τῆς πα-
τρίδος ἐν μιᾷ μοίρᾳ ἤτοι ἐν ἑνὶ θανάτῳ κρύψαι τοὺς

Orpheus in initio lapideor[um]

διπλοῦς τὴν δὲ τε Ἑκάβην καὶ τὸν Ἀλέξανδρον. τὰ γυῖα· ἤγουν — γυῖα
ἤγουν τὰ μέλη τούτων τεφρώσας. ἤγουν καύσας τῷ ἐν Λήμνῳ — πῦρ ἐν Λήμνῳ
καθ' Ἑλλάνικον εὑρεθέντι πυρί. οὐκ ἂν τοσόνδε· ἐπιφ- — εὑρεθέν
-ωνηματικῶς εἶπε· ὤφελε γὰρ εἶπεν· ἐὰν ταῦτα ἐγένετο
οὐκ ἂν τοσούτων συμφορῶν κῦμα ἀπέκλυσεν. ἤγουν δί-
-κην κατακλυσμοῦ ἐξεχύθη καὶ ἐπανεμμύρησεν καὶ
ἡμᾶς κατεπόντισεν. Αἴσακος υἱὸς ἦν Πριάμου, — Αἴσακος
καὶ Ἀρίσβης τῆς Μέροπος θυγατρός μάντις ἄριστος ὃς ὕ-
στερον ἀπωρνεώθη θρηνῶν θανοῦσαν τὴν αὐτοῦ γαμε-
τὴν Ἀστερόπην Κεβρῆνος. Πριάμου δὲ δόντος Ἀρίσβην
Ὑρτάκῳ καὶ γήμαντος τὴν Ἑκάβην ὡς συνέβη αὐτὴν κα-
τὰ γαστρὸς ἔχουσαν τὸν Ἀλέξανδρον ἰδεῖν περὶ τοῦ
δαλοῦ ὄνειρον ἔκρινεν ὁ ῥηθεὶς Αἴσακος ὅτε ἐγεννήθη
Ἀλέξανδρος τοὺς δύο ἀναιρεθῆναι τὸ τεχθὲν καὶ τὴν τεκοῦ-
σαν εἰπὼν ὅτι τὸ σήμερον τεχθὲν καὶ τὴν τεκοῦσαν χρὴ
ἀνελεῖν, τότε ὁ Πρίαμος ἀντὶ τούτων ἀνεῖλε Κίλλαν ἐκ — Κίλλα
μέσου κρυφαίῳ γάμῳ τότε γεννήσασαν Μούνιπ- — Μούνιππ(ος)
-π(ον). ὤφελε· τὸ λε· καὶ τὰ ὅμοια ταῦτα κοιναὶ συλ-
-λαβαί εἰσιν ὅθεν καὶ δίχα τοῦ ν μακραί εἰσιν. :/
γυῖα κυρίως αἱ χεῖρες παρὰ τὸ γυῶ τὸ χωρῶ καὶ — γυῖα
ὑποδέχομαι καταχρηστικῶς δὲ καὶ τὰ λοιπὰ μέλη
τοῦ σώματος γυῖα καλοῦνται. Λημναίῳ πυρί·
ἀπὸ τοῦ κεραυνοβόλου δένδρου Ἑλληνικαῖς χώρ(αις). ἐν — *
Λήμνῳ πρῶτον εὑρέθη τότε πῦρ καὶ αἱ ὁπλουργίαι
καθὼς καὶ ἐν τῷ περὶ χρόνου κτίσεως Ἑλλάνικος ἱστορεῖ
ἵνα μὴ κατὰ πλάτος τὴν ἱστορίαν ἀπεργασώμεθα. :/

Καὶ δὴ Παλαίμων δέρκεται βρεφοκτόνος
ζέουσαν αἰθυίῃσι πλεκτανοστόλοις
γραῖαν ξυνευνὸν Ὠγένου τὴν ἰδα
ἢ δὴ διπλᾶς σὺν πατρὶ ῥαίεται τέκνα

Ignis in lemno inuentus

στερρῷ τυπῶντα, κλῶδας εὐάρχου μύλῳ
τὰ πρόσθεν ἀλυκτῆρος ἐκτεθευγότα
ψυδραῖοι φήμαις λαρνακοφόρους ῥιφές

Καὶ δὴ παλαίμων ὁ μελικέρτης, ὁ τῆς ἰνοῦς υἱός. οὗτος σφόδρα ἐτιμᾶτο ἐν τῇ τενέδῳ, ἔνθα καὶ βρέφος ἐθυσίαζον, ἡ δὲ ἱστορία ὄπισθεν ἐρρέθη [ἀθάμας βρεφῶν τοῦ διονύσου ἥρας ὀργῇ μανεὶς τὸν παῖδα λέαρχον ἀναιρεῖ, ἧττα καὶ ἰνὼ μαινομένη ἀφῆκεν αὐτὸν εἰς λέβητα. σωφρονήσασα δὲ ἐδιώκετο παρὰ τοῦ ἀθάμαντος καὶ αὐτὴ μετὰ τοῦ ἑτέρου αὐτῆς παιδὸς μελικέρτου ἀναιρεθῆναι, φεύγουσα δὲ διὰ τῆς γερανείας ὄρους μεγαρικοῦ ἀπὸ τῆς μολουρίδου πέτρας ἔρριψεν ἑαυτὴν μετὰ τοῦ παιδὸς μελικέρτου ἢ παλαίμονος εἰς τὴν θάλασσαν, νηρηΐδες δὲ ἐπιφανεῖσαι ἐπὶ τῷ σισύφῳ εἰς τιμὴν τοῦ παιδὸς ποιεῖν ἀγῶνα ἴσθμια. :: ἕτεροι δέ φασιν ὅτι ἀθάμας ἐνέβαλε καὶ τὸν παλαίμονα εἰς λέβητα, καὶ κλέψασα ἡ μήτηρ ἰνὼ ἔφευγεν. οἱ δὲ κομίσαντες ἐν κορίνθῳ τοῦτο τὸ σῶμα σισύφῳ ἀπὸ τῆς χοινοβυσι (ἐκεῖ γὰρ ἐξερρίφη ἐκ τῆς θαλάσσης δελφῖνος αὐτὸν ἐκβαλόντος) ἀμφίμαχος καὶ δονάκινος ἐκαλοῦντο. ὁ δὲ σίσυφος ἀδελφὸς ἦν τοῦ ἀθάμαντος τοῦ παλαίμονος πατρὸς βασιλεὺς κορίνθου, ὅθεν καὶ ἐν κορινθίᾳ ἑορτὴν τὰ ἴσθμια συνεστήσαντο. ἐτιμᾶτο γὰρ ὡς εἴρηται ὁ παλαίμων ἐν τενέδῳ. Καὶ δὴ παλαίμων ἀντὶ τοῦ εἰπεῖν καὶ δὴ τῆς τενέδου ἡ θάλασσα ἀνεκράσθη καὶ στενωθήσεται τῷ πλήθει τῶν ἑλληνικῶν ὁλκάδων ἤγουν πε καὶ δὴ ὁ παλαίμων ὁ βρεφοκτόνος δέρκεται ἤγουν βλέπει τὴν γραῖαν σύγκοιτον τοῦ ὠγηνοῦ ἤγουν ὠκεανοῦ ἤτοι τὴν τηθὺν τουτέστι τὴν θάλασσαν τὴν τιτηνίδα

Inus historia

μολουρίδου πέτρας

χοινοβυσι

ὠγηνός ἢ ὠκεανός

τὴν οὖσαν μίαν τῶν τιτάνων τῶν παίδων οὐρανοῦ καὶ γῆς
δέρκεται τί πάσχουσαν; ζέουσαν ἢ ἀναβράζουσαν
ἐν ταῖς αἰθυίαις ταῖς στολισμέναις ἐμπλεκτάναις ἤτοι
σχοινίοις. νῦν δὲ λέγει μεταφορικῶς ~~αἰτ~~ αἰθυίας τὰ πλοῖ
α, αἴθυια γὰρ κυρίως ὄρνεον θαλάσσιον. Καὶ δὴ δι
πλᾶ. Κύκνος ὁ σκαμανδρώδης καὶ ποσειδῶνος λαθραί
ως τεχθεὶς ἐρρίφη πλησίον θαλάσσης. κύκνων δὲ πε
ριξ αὐτοῦ καταπτάντων ἰδόντες τινὲς ἁλιεῖς ἀνείλοντο
τοῦτον καὶ κύκνον ὠνόμασαν οὗτος ὃς ἀνδρωθεὶς ἔγημε
πρόκλειαν τὴν λαομέδοντος καὶ γεννᾷ τέννην καὶ ἡμιθέαν·
ἀποθανούσης δὲ τῆς προκλείας ἐπέγημεν ὁ κύκνος φιλο
νόμην τὴν τραγάσου ἥτις ἐρασθεῖσα τοῦ τέννου καὶ μὴ
τυχοῦσα κατηγόρησεν πρὸς τὸν πατέρα ἐκβιασθεῖσα ὑπ'
αὐτοῦ συμφωνοῦντος αὐτῇ καὶ αὐλητοῦ τινος μόλπου.
ὁ δὲ ὀργισθεὶς εἰς λάρνακα βαλὼν τέννην καὶ ἡμιθέαν ἐ
φῆκεν εἰς τὴν θάλασσαν, τῆς δὲ λάρνακος προσενεχθεί
σης τῇ τότε λευκόφρυι νήσῳ νῦν δὲ ἀπὸ τοῦ τέννου
τένεδος καλουμένῃ ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ
μαθόντες τὸ δρᾶμα, βασιλέα αὐτὸν τὸν τέννην ἐποίη
σαν καὶ τὴν νῆσον ἀπ' ἐκείνου τένεδον προσηγόρευσαν.
γνοὺς δὲ ὁ ~~κυ~~ κύκνος τὸ ἀληθὲς ἀνεῖλε μὲν φιλονόμην
αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν τενέδῳ. Ἀχι
λλεὺς δὲ ἐπιστρατεύσας τῇ τροίᾳ ἀνεῖλε τὸν κύκνον καὶ
τέννην υἱὸν κύκνου λόγῳ ἔργῳ δὲ ἀπόλλωνος, ἡ δὲ
ἡμιθέα διωκομένη φεύγουσα τὴν μῖξιν εἰς γῆν κατε
πόθη. μετὰ δὲ τὸ ἀνελεῖν ἀχιλλεὺς κύκνον καὶ τέννην
εἰς ἔννοιαν ἐλθὼν ὕστερον ἀνεῖλε καὶ μνήμονα, ὅντινα θέ
τις συνακόλουθον ἀχιλλεῖ δέδωκεν ὑπομιμνήσκειν
αὐτῷ μὴ ἀνελεῖν ἀπόλλωνος παῖδα, εἱμαρμένον γὰρ
ἦν ἀχιλλεῖ ἀποθανεῖν εἰ ἀνέλῃ παῖδα ἀπόλλωνος,
ὁ δὲ τέννης ὡς ἔφην υἱὸς ἦν ἀπόλλωνος. Τάδε πρό
σθεν

Τιτάνες οὐρανοῦ καὶ γῆς παῖδες

αἴθυιαι

Κύκνου ἱστορία

hec & amphithea vocatur ab Stephano in dictione Τένεδος

καὶ Τέννης

Τένεδος νῆσος lege Stephanum a q̃ cum unico ν. Τένεδος scribitur licet Τέννης a quo dicta est dupliciter scribatur. est in terestu tenedos notissima & καὶ

Hemithea a terra absorta

Mnemon achilli socius a thetide datus ut admoneret eum ne apollinis filium occideret

ψυδραῖς

γρ. φέρεσθαι φθῆν

τὸ δασὺ σύμφωνον δύναται ἐκτείνειν ὡς τὸ φ.

χ. θ.

μύλῳ ἤγουν λίθῳ

κύκνος ἄτρωτος

αὐλητῆρος οὕτω δὲ σύνταττε, τὰ πρόσθεν ἐκπεφευ-
γότα τοὺς λαρνακοφόρους ἐλαφὰς τὰς ἐν ψυδραῖς ἤγουν
ἐν ψευδέσι φήμαις τοῦ αὐλητῆρος ἤτοι τοῦ μολπῆς
λείπει δὲ τὰς γενομένας λαρνακοφόρους ἐλαφὰς τὰς
μηνούσας φθῆραι αὐτὰ ἐν τῇ λάρνακι λαρνακοφό-
ρους τὰς φερομένας διὰ τῆς θαλάσσης ἐν λάρνακι καὶ
γὰρ λαρνακοφόρους ἔθηκεν οὐκ ἔστιν ἐσφαλμένος ὁ
στίχος διορθωτέος καὶ οὕτως ἔχει κἂν ἴσως καὶ ὁ Λυκόφρων
τοῦτο ἠγνόησε τὸ γὰρ δασὺ σύμφωνον δύναται ἐκ-
τείνειν ὡς τὸ βόες δὲ ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄ-
φιν, ἀλλὰ καὶ οὐ τοῦτο μόνον ἡ λέξις ὡς οἱ λοιποὶ ἀ-
κούουσιν ἱστορικός ἐστιν αὐτὸς ὄφις τὸν τεκόμενον
δῆμον ἰδοὺ τὸ ὄφις μακρὸν ἐκτάθη καὶ ἕτερα τοιαῦτα
εὑρήσει ὁ πολυμαθὴς τεχνικός. Καὶ δὴ διπλαῖ καὶ
ἐν δυὰ τὰ δύο τέκνα ὁ Τέννης καὶ ἡ Ἡμιθέα, ῥαίεται
ἤγουν φθείρεται ἀντὶ τοῦ φθαρήσονται σὺν τῷ πατρὶ αὐ-
τῶν Κύκνῳ ἐν τῷ στερρῷ μύλῳ ἤγουν λίθῳ τοῦ κακῶς
ἄρχοντος Ἀχιλλέως συντρίψαντα ἤγουν πλήξαντα τὰς κλεῖ-
δας ἤγουν τοὺς ὤμους. τοῦτο ψεύδεται ὁ Λυκόφρων
οὐ γὰρ κατὰ τοὺς ὤμους ἀλλὰ κατὰ τὴν κεφαλὴν πλη-
γεὶς ὁ Κύκνος ἀνῃρέθη. φασὶ γὰρ ὅτι ἄτρωτος ἦν τὸ λοι-
πὸν σῶμα πλὴν τῆς κεφαλῆς, τοῦτο δὲ μῦθος ἐστί.
~~περιδέξιος γὰρ ὢν στρατιώτης ὁ Κύκνος καὶ κάλλιστα σκε-~~
~~πόμενος ἐν πολέμοις ὡς μηδέποτε τρωθῆναι ὑπο-~~
~~πέπτωκε τοῖς μύθοις ὅτι ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα~~
~~πλὴν τῆς κεφαλῆς~~ ἐπεὶ δὲ πληγεὶς ὑπ' Ἀχιλλέως
τὴν κεφαλὴν ἀνῃρέθη ἔφασαν ἄτρωτον εἶναι πλὴν
μόνης τῆς κεφαλῆς.

ᾧ δὴ ἐπιθήσας στυγνὸς ἄρταμος κύκνος
ἁλιόθρεπτος πορκέων λιναγρέτης

τὸ δασὺ σύμφωνον δύναται
ἐκτείνειν ὡς τὸ φ. &c.

κρηθμοῖσι καὶ ῥαιβοῖσιν ἀρίταις φίλος
χηλῷ κατεβρύφαξε διπτύχους γονάς
σὺν τοῖσδε τλήμων μητρὸς οὐ φράσας θεᾶς
μνήμων ἐφετμὰς ἀμφὶ ληθάργῳ σφαγῆς
πρηῶνος θανεῖται στέρνον οὐταθεὶς ξίφει

ᾧ δὴ πιθήσας ᾧ τινι μόλπῳ πταθεὶς ὁ κύκνος ὁ ξυνός· ἤτοι· ξυνετὸς ἄρταμος· ἤτοι· φονεὺς τῶν τέκνων ὁ ἀλφιόθρεπτος ἴδος ἔπτυ ἀντὶ ἴδους ἀντὶ τοῦ ὁ κυκνόθρεπτος ὁ λιναγρέτης· ἤτοι· ἀγρευτὴς τοῖς λίνοις καὶ δικτύοις τῶν πορκέων· ἤτοι· ἁλιέων ὁ φίλος· ἤτοι· ὁ ἠγαπημένος τοῖς κρηθμοῖσι· ἤτοι· ὀστρέοις καὶ ῥαιβοῖσι· ἤτοι· λοξοῖς νηρίταις· ἤτοι· κοχλιδίοις ἐν χηλῷ· ἤτοι· κιβωτῷ κατεβρύφαξε· ἤτοι· ἠσφάλισε τὰς διπτύχους γονάς ἤτοι τοὺς δύο παῖδας τέννην καὶ ἡμιθέαν· βρύφακτα κυρίως τὰ ἐκ τῶν δρυῶν περιφράγματα. τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἐρρέθη, ὡς καὶ τοῦ μνήμονος σὺν τοῖσδε σὺν κύκνῳ καὶ τοῖς ἐκείνου παισὶ καὶ ὁ τλήμων ἤτοι ὁ καρτερικὸς μνήμων θανεῖται πρηῶνος τὸ στέρνον· ἤτοι· τὸ στῆθος οὐταθεὶς ξίφει τῆς μητρὸς ἀχιλλέως τῆς θεᾶς οὐ φράσας· ἤτοι· οὐκ εἰπὼν τὰς ἐντολὰς ἀμφὶ τῷ ληθάργῳ καὶ τῇ λήθῃ σφαγῆς.

∴ ἄλθημα supradi est et aut ma vinu

πιθήσας
ξυνός
ἄρταμος
λιναγρέτης
πορκεύς
κρηθμός
ῥαιβός
νηρίτη
χηλός
κατεβρύφαξε
τλήμων
πρηῶνος

Καὶ δὴ στένει μύρινα καὶ παράκτιοι
ἵππων φρυμαγμὸν ἠιόνες δεδεγμέναι
ὅταν πελασγὸν ἅλμα λαιψηροῦ ποδός
ἐς θῖν' ἐρείσας λοισθίαν ἄλλων λύκος
κρηναῖον ἐξ ἄμμοιο ῥοιβδήσει γάνος
πηγὰς ἀνοίξας τὰς πάλαι κεκρυμμένας

Καὶ δὴ στένει μύρινα· ἡ μὲν ἔννοια οὕτως ἔχει·

ἔστω ὡς ἀνωτέρω ὅτι βλέπω συστροφὴν τῶν πλοίων συρομένων ἐν τῇ θαλάσσῃ καὶ ἐπιβοῶσαν τῇ σπαβίδι μου τοία τόδε καὶ τόδε, νῦν φησὶ καὶ δὴ στενάζει ἡ μύρινα πολύχνιτζοι καὶ ὁ αἰγιαλὸς τοῦ χρεμετισμοῦ τῶν ἵππων ἀκούσας ὅταν ὁ ἀχιλλεὺς ὕστερος ἁπάντων ἑλλήνων πηδήσας ἐκ τῆς νεὼς εἰς τὴν γῆν ὕδωρ ἐκ τῆς βίας τοῦ πηδήματος ἀναδώσῃ καὶ σύμβολα πολέμου ἐλθόντος ζητεῖ σαλπισασῶν τῶν σαλπίγγων ἐν κόχλῃ. προορῶ δὴ τοῖς ὀφθαλμοῖς μου καὶ πάσης τῆς τρωικῆς γῆς τὴν πόρθησιν καὶ τοῖς ἀοίμου ἀφομοιῶ καὶ ψάλλω τοὺς στεναγμοὺς τῶν τρωικῶν γυναικῶν διὰ τὰς ἐπερχομένας αὐταῖς ἀνεπαλήλους συμφοράς. ἡ μὲν ἔννοια ἐστὶν αὕτη. σύνταξις δὲ ἐνταῦθα οὐκ ἔχομεν χρείαν διὰ τὸ σαφές, τὰς δὲ ἱστορίας γραπτέον.

μυρίνα

μύρινα πολύχνιτζοι ἐστὶν ὅπου παρετάξαντο οἱ ἥρωες ἀκούσαντες τὴν τῶν ἑλλήνων πλοίων ἐπέλευσιν παρὰ πολίτου τοῦ υἱοῦ πριάμου ὅστις σκοπὸς τῶν τρώων ὑπῆρχεν θαρρῶν τῶν ποδῶν ταχυτῆτι ὡς φησιν ὅμηρος, ἔστι δέ τις προπάροιθεν πόλιος αἰπεῖα κολώνη ἐν πεδίῳ ἀπάνευθεν περίδρομος ἔνθα καὶ ἔνθα, τὴν ἤτοι ἄνδρες βατίειαν κικλήσκουσιν ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο μυρίνης ἔνθα τότε τρῶες διέκριθεν ἠδ' ἐπίκουροι, μύρινα δὲ ἡ πολύχνη ἐκλήθη ὅτι

μύρινα πόθεν

μία τῶν ἀμαζόνων μύρινα καλουμένη ἐκεῖ τέθαπται, ὅτε κατὰ τροίαν ἐστράτευσαν· αἱ δὲ λοιπαὶ τῶν ἀμαζόνων εἰς τιμὴν ἐκείνης πόλιν ἀνήγειραν. / περάκτιοι ἠιόνες οὐκ ἄλλον τοὺς τῆς γῆς αἰγιαλούς. λέγω κρημνώδεις καὶ πετρώδεις ἔτι καλοῦσιν ἠιόνες καὶ αἰγιαλοὶ παράκτιοι ἤτοι παραιγιαλοί.

φριμαγμός

χρεμετισμός

φριμαγμὸν οὕτως οἶμαι τὸν χρεμετισμὸν λέγει, οὐκ ἔστι δὲ φριμαγμὸς ὁ χρεμετισμὸς ἀλλ' ὁ διὰ τῶν ῥινῶν τῶν ἵππων

ἐκπεμπόμενος ἦχος ὅταν ζεφυριῶσιν. ἠϊόνες καὶ ἠόνες · ἠϊόνες · ἠόνες

∴ τ. δῆ συμά βς · ὡς Ἀνθέης γράφει ἔστι τρισύλλαβος τιθεὶς κάτωθεν τὸ ι· προσγεγραμμένου ἔστι δισύλλαβος μὴ ὑπογράφων ἀγέννως ἠϊόνες· τῶν γὰρ ἰαμβικῶν καὶ ἀνάπαιστον δέχονται πολλοί οἷος ἐστὶν οὗτος καὶ δάκτυλον καὶ χορεῖον πλὴν ἐν τοῖς οἰκείοις τόποις. πηδασμὸν ἅλμα τὸ θετταλὸν πήδημα. πηδασμὸς γὰρ καὶ θετταλὸς ὁ ἀχιλλεύς. τὸ δὲ ὅθεν ἐκλήθη πηδασία ἄστυ. ἡ δὲ περὶ τοῦ ἀχιλλέως πηδήματος ἱστορία τοιαύτη ἐστί.

De iambo nota

χρησμὸς ἦν δοθεὶς Ἕλλησι τὸν προπηδήσαντα τῶν Ἑλλήνων κατὰ Τρώων ἐκ τῶν ὁλκάδων πρῶτον τῶν ἄλλων ἀποθανεῖν. προπηδήσαντος δὲ τοῦ πρωτεσιλάου καὶ ἀναιρεθέντος ὑφ' ἕκτορος ἢ ἑτέρου τινὸς ὁ ἀχιλλεὺς τῷ τούτου παθήματι παιδευθεὶς ὕστερον ἁπάντων τῆς ἰδίας νεὼς ἀφόβως πηδήσας πλῆξε τὴν γῆν καὶ ὕδωρ ὥς φασιν ἐξ αὐτῆς ἀνεδόθη ὥς φησιν ἀντίμαχος. ῥίμφα δὲ ἀπ' ἠπείροιο μελαίνης νηὸς ἀερθεὶς πηλείδης ἀπόρουσε ἐλαφρὸς ἠΰτε κίρκος τοῦ δ' ἐκ προθορόντος ὑπὸ ποσσὶ κρήνη γένοντ' ἀεννάουσα. καὶ εὐριπίδης φησὶ διὰ νεὼς ... τὸ τρωϊκὸν πήδημα πηδήσας ποδοῖν. αἴθων λύκος ὁ ἀχιλλεύς. ἀμαθοῖο τῆς ἄμμου. ἄμος δι' ἑνὸς μ γράφεται, ἄμαθος γὰρ λέγεται διὰ τὸ ἀμαθὴς καὶ ἀνέξιτος εἶναι καὶ συγκοπῇ ἄμος, ἄμμος δὲ αἰολικῶς διὰ δύο μμ. ἐκεῖνοι γὰρ πάντα τὰ σύμφωνα διπλασιάζουσι. ῥοιβδηθεὶ μετὰ ἤχους ἀναδοθεί. γάνος νάω τὸ ὕδωρ ἀγλαοῦ δὲ τὸ θάλος καὶ ἡ χαρά.

πρωτεσίλαος

Ex saltu achillis in terrā troianā fons ortus

ἄμαθος
ἄμος
ἄμμος
ῥοιβδηθεὶ
γάνος

Καὶ δὴ καταίθει γαῖαν ὀρχηστὴς ἄρης,
στρόμβῳ τὸν αἱματηρὸν ἐξάρχων νόμον
ἅπασα δὲ χθὼν πρ' ὀμμάτων δηουμένη

κἤδη πέφρικαν δ' ὥστε ληΐου στάχυς
λόγχαις ἀποστίλβουσιν· οἰμωγὴ δέ μοι
ἐν ὠσὶ πύργων ἐξ ἄκρων ἰνδάλλεται
πρὸς αἰθέρος κυροῦσα νηνέμους ἕδρας
γόοισι γυναικῶν καὶ καταρραγαῖς πέπλων
ἄλγη ἐπ' ἄλγει συμφορὰν δεδεγμένων

Καταίθει νῦν ἀντὶ τοῦ λαμπρύνει τῇ στιλβότητι τῶν ὅπλων. Θρήκιος Ἄρης ὁ εὐκίνητος πόλεμος ἢ ὁ μετὰ πυρρίχης καὶ ἐνόπλου ὀρχήσεως γινόμενος ὥσπερ ἐγίνετο παρὰ Λάκωσιν ἔν τινι καθεστῶτι ῥυθμῷ καὶ σχήματι καὶ κινοῦντι πρὸς πόλεμον. Προμολπὰ τοῦ αἵματος προοίμιον. ἐν κοχλίῃ σαλπίζων καὶ κατάρχεσθαι ποιῶν τὴν προσβολὴν τοῦ πολέμου, πρὸ γὰρ τῆς εὑρέσεως τῆς σάλπιγγος ἐν τοῖς πολέμοις πυρφόροις ἐχρῶντο οἵτινες ἐξ ἑκατέρου μέρους τῶν στρατευμάτων τοῦ πολεμίου καὶ τοῦ πολεμουμένου μέσοι προερχόμενοι λαμπαδηφόροι ἔρριπτον τὰς λαμπάδας ἀντὶ τοῦ σαλπίσαι καὶ οὕτω συνεκροτεῖτο ὁ πόλεμος. εἶτα τῇ κοχλίῃ ἐφεῦρον σαλπίζειν καὶ ἐπαύθη τὸ πυρφορεῖν. ἐπεὶ δὲ παρὰ Τυρρηνῶν εὑρέθησαν αἱ σάλπιγγες ἐπαύθη καὶ τὸ διὰ τῆς κοχλίης σαλπίζειν καὶ τοῦτο δὲ κακόπλαστον παρὰ τοῦ Λυκόφρονος τοῦ προσποιῆν ἑαυτὸν μὴ εἰδέναι σάλπιγγα, ὑστέραν γινομένην ἀλλὰ κοχλίῃ κέχρηται τὸ τῆς Κασάνδρας πρόσωπον εἰσάγει ἐπὶ τούτου λαλοῦν, ἀλλ' Ὅμηρος ὁ ἀρχαιότερος τούτου γενόμενος πρὸ ὀκτακοσίων ἐτῶν οἶδε σάλπιγξι χρωμένους τοὺς Ἕλληνας λέγων· ὡς δ' ὅτ' ἀρίζηλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ. Δηουμένων ὡς τὸ ποιοῦντες ἢ προσγεγραμμένου καὶ ἀνεκφώνητον ἢ ἐκφωνούμενον δίχα προσγεγραμμένου. Πέφρικαν

πυρρίχη καὶ ἔνοπλος ὄρχησις ἐκ τοῦ πυρρίχης

πυρφόροι ἐν πολέμῳ

τῇ κοχλίῃ σαλπίζειν

Quo tempore fuit Lycophron hinc potest colligi

π. χαλκιδικῆς διαλέκτου ꝑ ligat ex exemplis que adducit · supra etiam eadem menda·

ἀντὶ τοῦ πεφρίκασι καὶ τὰ ὅμοια, χαλκιδαϊκῆς ἀττικῆς διαλέκ-
του ὡς τὸ ἐλάβοσαν καὶ ἔσχοσαν καὶ τὰ ὅμοια. ἡ δὲ σύν-
ταξις οὕτως· πέφρικαν. ἤγουν πεφρίκασιν καὶ ἤγουν πεφρί-
κονται αἱ γύαι. ἤγουν αἱ πεδιάδες τῶν Ἀνίου ἤτοι τῆς
πεπύκνωνται αἱ γύαι τοῦ Ἀνίου ἤγουν χωραφίου· πεπυ-
κνῶνται δὲ αἱ γύαι ἐν λόγχαις ἀστράπτουσαι. γύαι·
τὸ γυ· μακρὸν κἂν βραχὺ δέξῃ, ἄπταιστος ἐστὶν ὁ στί-
χος ὡς ἐδιδάχθης. πύργων ἐξ ἄκρων ἐκ τῶν ὑψη-
λῶν πύργων ἰνδάλλεται ὁμοιοῦνται, ἀπεικάζεται κα-
ταχρηστικῶς, κυρίως γὰρ ἐπὶ ὀφθαλμοῦ λέγομεν τὸ ἰνδάλ-
λειν. αἰθέρος νηνέμους ἕδρας ἀπ' ἀναίνει αἰθέ-
ρος, περιφραστικῶς τὸν αἰθέρα λέγει, ὡς παρὰ Πινδάρῳ
ἐρήμας δι' αἰθέρος, ἐν γὰρ τῷ ἀέρι συνίστανται καὶ πάντας
σοφοὺς τά τε νέφη καὶ καταιγίδες καὶ τὰ πνεύματα, ὁ δὲ
αἰθὴρ ἔρημος τούτων ἁπάντων καθέστηκεν, ὅθεν καὶ νηνέμους
ἔφη αὐτόν. ἀρήγην ἐπ' ἐμῇ συμφορὰν δεδειγμένων
οἷον ἐπεὶ νῦν μὲν ἀκουσῶν τῶν Τρωικῶν γυναικῶν
τὴν πάντων συμφορὰν καὶ τὸν θάνατον ~~ἅτε συμπεσεῖν~~
~~ἐπὶ τὰ ἔκτορος~~ ἅτε συμπεσεῖν ἐπὶ τὰ ἔκτορος
διὰ τοῦτον τυπτομένων καὶ ῥηγνυουσῶν τὰ ἱμάτια

πέφρικαν ἀντὶ τοῦ πεφρίκασι

γυ· μακρόν

ἰνδάλλειν

παρὰ τῷ

ἐρήμας δι' αἰθέρος παρὰ τῷ Πινδάρῳ ~~αἰθὴρ~~

ἐκεῖνο σ' ὦ τάλαινα καρδία κακὸν
ἐκεῖνο δὲ τὸ πημάτων ὑπέρτατον
εὖτ' ἂν λαβράζων περκνὸς αἰχμητὴς θρόον
πτεροῖσι θρόον αἰετὸς διαγράφων
ῥοιβῶν τὴν ποτ' ἐνὶ τόρμαν ἀγκύλῃ βάσει
κλάζων τ' ἄμικτον στόματι ῥιγίστην βοὴν
~~τὸν~~ φίλτατον γόνον τῶν ἀλεκτόρων ῥόφων
πτωρὸν δὲ παιδὸς ἁρπάσας μεταρσίου
ὄνυξι γαμψωνύχοισι θαμὰ σπαράσσων δέμας
ἔγχωρα τίφη καὶ ~~πεδ~~ πέδον χραίνει φόνῳ

~~[illegible] πρὸς~~

λευρὰς βοώτης γατομῶν διαύλακος

ἐκεῖνο ὦ τάλαινα πρὸς ἑαυτὴν ἡ κασσάνδρα ταῦτα
φησὶν ἀποδυρομένη τὴν ἕκτορος τελευτήν, ἢ λέγει
ὦ τάλαινα καρδία, ἐκεῖνό σε πλέον τῶν ἄλλων βλα-
βῶν λυπήσει, ὅταν ὁ ἀχιλλεὺς φονεύων τὸν ἕκτορα
ἐφ' ἅρματος ἕλκει μιαίνων τὴν γῆν τῷ αἵματι ἐκείνου
ἡ δὲ σύνταξις οὕτως. ἐκεῖνό σε ὦ τάλαινα καρδία
δάψει ἤγουν λυπήσει ἐκεῖνο τὸ ὑπέρτατον τῶν πημάτων
ἤγουν τῶν βλαβῶν, ὅταν ὁ γεννὸς ἤγουν κυνηγετικὸς
ἀετὸς ὁ ἐχθρὸς ὁ αἰχμητὴς ἤτοι ὁ ἀχιλλεύς χραίνῃ
ἤγουν μιαίνῃ τὰ ἐγχώρεια ἤγουν ἐντόπια τῖφη ἤγουν ἔλη
χραίνει ἤγουν μιαίνει τὸ πέδον ἤγουν τὴν γῆν ἐν τῷ φό-
νῳ ἤγουν αἵματι ἁρπάσας μετάρσιον ἐν τοῖς ὄνυξι
τὸν φίλτατόν σου πόρτιν ἤγουν ἀδελφόν ἀπὸ τῶν ἀλα-
στόρων τοῦ πτῴου ἤγουν ἀπόλλωνος ὑπερέχοντα πα-
ρὸς ἢ ἄπο τι ποιῶν αἱμαλωπῶν τε τὸ ἐκείνου δέμας
ἐν ταῖς γαμφηλαῖς ἤγουν σιαγόσιν λαβράζων ἤγουν ἠχ-
ῶν τοῖς πτεροῖς κλάζων τε ἤγουν βοῶν ἄμικτον ῥοιζεῖν
ἤγουν φοβερὰν βοὴν ἐν τῷ στόματι τοιῶν γατομῶν
ἤγουν ἀροτριῶν ὁ βοώτης διαύλακος ἤγουν τῆς πλευρᾶς τῆς
πλατείας χέρσον ἢ ξηρὰν τόρμαν ἤγουν αὔλακα διαγρά-
φων τυπωτικῶς ἤγουν χαράττων ἐν ῥαιβῷ ἤγουν σκολι-
ῷ ἢ ἀγκύλῳ βάσει ἀντὶ τοῦ τῇδε κἀκεῖσε περιστρέ-
φων τὸ ἅρμα ὥσπερ ἀροτριῶν. τὸ δὲ ῥαιβῷ ἀντὶ
τῇ ῥαιβῇ θηλυκοῦ ἀττικόν ἐστιν, ἢ οὕτως
εἰπέ, διαγράφων τυπωτὴν ἤγουν χαράττων ἐν ῥαιβῷ
ἀρότρῳ σχηματικῶς ἐν ἀγκύλῃ βάσει ἀσυνδέτως εἶπεν
ὡς τὸ χερσοῦν δάψει λυπήσει λαβράζων ἠχῶν τοῖς
πτεροῖς σπερχνός ἤγουν κυνηγετικός, ταχέως κλαίνων

*Margin notes (left):* δάψει, πῆμα, χραίνω, ἔγχωρος, τῖφος, πόρτις, πτῷος ἤγουν ἀπολλ(ων), γατομῶ, χέρσος, τόρμη, ∴ σ. ἀντὶ τοῦ, ∴ σ. ἐκεῖνο, λαβράζω, σπερχνός

ἢ κόπτων. περῶσι τοῖς τοῦ ἅρματος τροχοῖς. Κλάζων βοῶν. ἀλαγόρων τρόφιν ὁμογαστέρων ἀδελφόν ἤτοι τὸν συντεθραμμένον. Πτώου τε παιδός τὸν υἱόν τε τοῦ Πτώου παιδός ἤτοι τοῦ Ἀπόλλωνος. στίχος ἢ Ἀλέξανδρος ὁ Αἰτωλός ποιητής φασι τὸν Ἕκτορα εἶναι υἱὸν Ἀπόλλωνος, Πτῶος δὲ ὁ Ἀπόλλων λέγεται οὕτω. Λητοῖ ἐν Δήλῳ ὠδινούσῃ Ἄρτεμιν καὶ Ἀπόλλωνα σῦς μέγας ἄγριος ἐφάνη ἰδοῦσα δὲ αὐτὸν ἐπτοήθη καὶ ἔτεκε, ἐκλήθη ὁμοίως δὲ καὶ Ἄρτεμις καὶ Ἀπόλλων. λευρᾶς λίαν εὐρείας. Ἐμὲ κἂν τὰς λέξεις ἄνωθεν τῶν στίχων γράφε.

Πτῶος Ἀπόλλων

ἰσ. Πτῶα

λαβὼν δὲ ταύρου τοῦ πεφασμένου δάνος
σκεθρῷ ταλάντῳ Τρυτάνης ἠρτημένον
αὖθις τὸν ἀντίποινον ἐκχέας ἴσον
Πακτωλοῖο σταθμοῖσιν ἰνδαυτοῦ μέτρον
κρατῆρα Βάκχου δέξεται κεκλαυσμένος
νύμφαισιν αἷς φίλαν τὸν ἠμφυρον γένος
λειβηθρίης θ' ὕπερθε Πιμπλείας σκοπῶν
ὁ μυκροπέρνας ὃς προθέμενον πότμον
καὶ θῆλυν ἀμφὶ σῶμα τλήσεται πέπλον
δοιαῖς παρ' ἱστοῖς κερκίδος ψαύσας κρόκων
καὶ λοίσθος ἐς γῆν δυσμενῶν ῥίψει πόδα
τὸν σὸν ξυναίμον κἂν ὑποπτήσσων δόρυ.

Λαβὼν δὲ ταύρου τοῦ πεφασμένου. ταῦρον δὲ τὸν Ἕκτορα καλεῖ ὡς θυμικὸν καὶ ἀνδρεῖον. δάνος νῦν τὸ δῶρον, φασὶ γὰρ οἱ παλαιοὶ ὅτι ὁ Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης τῆς Πριάμου θυγατρὸς ἐδήλωσε τῷ Πριάμῳ συμμαχῆσαι αὐτῷ εἰ λάβοι τὴν κόρην. ὁ δὲ συνέθετο δοῦναι, καὶ ἐλθόντων ἐν τῷ

Πολυξένη

θυμβραίου ἀπόλλωνος ναῷ ἀλέξανδρος λάθρα τοξεύ-
Achillis mors — σας τὸν ἀχιλλέα, καὶ οὕτως συνέβη ἀποθανεῖν τὸν ἥρωα. οἱ
δὲ τρῶες τὸ σῶμα αὐτοῦ τοῖς ἕλλησιν οὐκ ἐδίδουν ἕως
* — ἔλαβον πάλιν τὰ δῶρα ἃ πρίαμος. σκεθρῷ ταλάν-
σκεθρός — τῳ ἤτοι ἀκριβεῖ ζυγοσταθμῷ ἢ ζυγάνης τοῦ ζυγοῦ
ἠρτημένον κρεμάμενον σταθμούμενον. τάλαντον νῦν
τάλαντον — τὸ πλατὺ καὶ πεταλῶδες τοῦ ζυγοῦ ἐν ᾧ τίθεται τὰ σταθ-
μούμενα. ζυγάνη δὲ ἡ γλωχὶν λεγομένη. λέγεται καὶ
ζυγάνη — ἡ ὅλη ῥάβδος τοῦ ζυγοῦ ἧς ἑκατέρωθεν τὰ τάλαντα αἱ
πλάστιγγες — καὶ πλάστιγγες. κυρίως δὲ ἡ ζυγάνη ἡ γλωσσὶς τῆς ῥα-
αὖθις — βδου τοῦ ζυγοῦ. αὖθις ἐξοπίσω. τὸν ἀντίποινον
ἀντίποινος — τὸν ὑπὲρ τοῦ μὴ ποινηλατηθῆναι τὸν ἕκτορα δοθέντα
ἴσον καὶ μακρὸν καὶ βραχὺ δεξάμενος τὸ ῑ. οὐκ ἔστιν ὁ στίχος
ἐσφαλμένος. ἀγνοοῦσι δὲ οἱ εὑρόντες ὡς ἐδίδαξα. μύδρον
μύδρος — κυρίως τὸν πεπυρακτωμένον σίδηρον, νῦν δὲ τὸν χρυσοῦν
πακτωλός — σημαίνει ἐκ τοῦ πακτωλοῦ ἀπὸ, ὁ γὰρ πακτωλὸς πο-
ταμὸς σάρδεων χρυσίτην πρὶν εἶχε ψάμμον ἐκ τοῦ παρα-
τμῶλος — κειμένου ὄρους τμῶλον καταρρέουσαν εἰς αὐτόν. τανῦν
δ' ὕαλον κατάγει. κρατῆρα βάκχου εἰς τὸν χρυσοῦν
ἀμφορέα τοῦ διονύσου ὃν ἐχαρίσατο τῇ θέτιδι φυ-
λάξων πρὸς αὐτὴν σωθεὶς ὅτε ὑπὸ λυκούργου κατὰ
βάκχον ἐδιώκετο, εἰς ὃν τὰ τοῦ πατρόκλου καὶ ἀχιλλέως
f. ἀντίλοχ — καὶ ἀντιλόχου κεῖται ὀστᾶ. κεκλαυσμένος νύμφαισι
νύμφαι ἀντὶ τοῦ μοῦσαι — θρηνηθεὶς ταῖς μούσαις. αἱ φίλαντο αἵτινες ἐπὶ ταῖς παρὰ
βήφυρος — βηφύρου ῥόος βήφυρος ποταμὸς μακεδονίας. λει-
βηθρίων σκοπιὴν τὴν ἐξοχὴν τοῦ λειβηθρίου ὄρους
μακεδονίας ὑπὲρ τῆς πιμπλείας, ἣν μὴ πίμπλειος
ἄλσεϊν ὄχθος. καὶ ὀρφεὺς νῦν δ' αὖτε μοι κοῦραι πιμπλειάδες
πίμπλεια — ἔννεπε μοῦσαι ὑπερέχουσαι. πιμπλεία δὲ πόλις
καὶ κρήνη καὶ ὄρος μακεδονίας ὡς μέμνηται καλλίμαχος
ἐν ὕμνοις λέγων. ὦ μοῦσαι τὴν ἀοιδήν, καὶ αἱ μὲν

λέξεις οὕτως ἔχουσιν· περὶ ὧν οὐκέτι γράφω. ὕστατον
δὲ οὐ ταύτας μόνον τῶν στίχων, ἡ δὲ ἔννοια ἐστὶν αὕτη
ὅτι λαβὼν Ἀχιλλεὺς τὰ Ἕκτορος λύτρα, καὶ πάλιν ἀντι-
δοὺς ἰσοστάθμια ταφήσεται καὶ ἐν τῷ κρατῆρι τῆς Θέτιδος
παρὰ Διονύσου θρηνηθεὶς ταῖς νύμφαις. αἵ τινες περὶ
τὴν Πίμπλειαν καὶ Λειβήθρειαν καὶ περὶ Βάφυρ οἰκοῦσιν
ἃ περὶ τὸν Ἑλικῶνα καὶ τὴν Μακεδονίαν φασί. λέγουσι
Λυκόφρων καὶ ἕτεροι ζυγοσταθμηθῆναι αὐτὸν ἰσοβαρῆ
χρυσῷ τὸν Ἕκτορα λέγουσι καὶ οὕτω παρὰ τοῦ Ἀχιλ-
λέως δοθῆναι τῷ Πριάμῳ νομίζοντες ὅτι ζυγοσταθμηθῆ-
ναι αὐτὸν πλέον ἐστὶ τῶν ὧν φησιν Ὅμηρος χρημάτων
οὐκ ἔστι δὲ τοῦτο, ὑπερβαίνουσι δὲ τὰ δέκα τάλαντα
ἅπερ φησὶν Ὅμηρος, ὅτι καὶ περὶ νηρηίσιν, ἀλλ᾿ ἐκεῖνος μὲν
πάντα σαφῶς γράφει καὶ ἀλληγορικώτερον· ὅτι μετὰ μου-
σῶν ὀργάνων ἡ κηδεία τοῦ Ἀχιλλέως, νηρηίδας δὲ λέ-
γει θρηνῆσαι αὐτὸν ὅτι κατὰ τὸν αὐτὸν καιρὸν τῆς αὐ-
τοῦ τελευτῆς μιμήσασθαι μὲν πρῶτον τὴν θάλασσαν
ὡς ὀδυρομένην, εἶτα μετὰ τοῦ ῥοιθίου ἱκανὸν
διάστημα ἐξελθοῦσαν φοβῆσαι μὲν τοὺς Ἕλληνας οὐ
μικρῶς, εἶτα πάλιν ὑποστραφῆναι. καὶ τοιαῦτα μὲν
φησὶν Ὅμηρος. Οἱ δὲ νεώτεροι Μούσας μὲν φάσκου-
σι δακρυούσας καὶ τὰς ἐκείνων γινώσκουσι κατοικίας
ὅπῃ εἰσὶ πηγαὶ καὶ ἐξ οἵων ποταμῶν ἀπορρέουσιν ὕ-
δατα· Πίμπλειαν καὶ Λειβηθρίαν λέγοντες καὶ ποταμόν
σοι τὸν Βάφυρ καὶ τοῦτον ἀλληγορηθήσεται ἐπείπερ
Ὀρφεὺς ἀρχὴ καὶ πηγὴ ὑπάρχων τῶν ποιητῶν κατῴ-
κει τὸν Ἑλικῶνα καὶ τὸν Λειβήθρειον ἐμυθουργήθη ὡς
αἱ Μοῦσαι περὶ τοὺς ἐκείνου τόπους οἰκοῦσιν.
<u>ὁ νεκροπέρνας</u> ὁ Ἀχιλλεὺς ὁ πιπράσκων τοὺς νε- νεκροπέρνας
κροὺς ὅτι τὸν Ἕκτορα νεκρὸν ὄντα πέπρακε, ἐκ τοῦ
πέρνημι ἡ μετοχὴ πέρνας. ὅτι ὁ Ἀχιλλεὺς δέδοικε πέρνημι

τὸν θάνατον καὶ γυναικῶδα, ἀνδύσεται καὶ ἱστουργήσει· αὐτοῦ

νὴ καὶ ὑπὲρ ἁπάντων τῶν ἑλλήνων ἀποθανοῦσι τῆς να

ὸς εἰς τὴν γῆν τῶν βόων τὸ σὸν δορυδεδιῶς. ἱστορεῖται

γὰρ τοῖς νεωτέροις ὅτι ὁ ἀχιλλεὺς ἀκούσας τὸν ἕκτορα

ἀνδρεῖον καὶ φοβηθεὶς ὑπεκρίθη κόρη εἶναι καὶ ἦν ἐν

σκύρῳ ὡς κόρη μετὰ τῶν τοῦ λυκομήδους παίδων ἔνθα καὶ

τῇ δηιδαμείᾳ συνῆλθεν· ὀδυσσεὺς δὲ σταλεὶς ὑπὸ ἀ

γαμέμνονος ἀράκτους καὶ ἠκαλάτας καὶ ὅσα τοιαῦτα γυ

ναικεῖα ἐργαλεῖα, ἔτι δὲ καὶ ξίφη καὶ τόξα καὶ ὀϊστοὺς ῥίψας πρὸ

τοῦ παρθενῶνος τοῦ λυκομήδους ἐπείρα αὐτὸν καὶ τοῖς

ἑλλησιν ἦγεν. αἱ γὰρ γυναῖκες τὰ τῶν γυναικῶν ἐπήρον

τὸ ἀχιλλεὺς δὲ ξίφος λαβὼν ἐπειρᾶτο κινεῖν δεξιῶς καὶ

οὕτως ἠλέγχθη πεπλάσθαι καὶ μεμυθολόγηται. τὸ δὲ ἀ

ληθὲς οὕτως ἔχει, ἄρτι λαβὼν δηιδάμειαν, τὴν θυγατέρα

τοῦ λυκομήδους συνδιέτριβεν ἐν τοῖς θαλάμοις πόθῳ τοῦ

νέου γάμου ὅθεν ἐμυθεύσαν ὅτι γυναικῶδα ὑπέδυ. ἀγγε

λου δὲ τῆς στρατείας καταγγέλοντος τοῦ ὀδυσσέως προθύ

μως ὑπήκουσε καὶ ἐξώρμησε πρὸς τὸν πόλεμον καὶ περ μαν

θάνων ἀπὸ χρησμοῦ βραχυχρόνιον εἶναι, ἢ πρὸς τροίαν ἐκ

πλεύσει ἢν ἀσθένειαν καὶ τὸν ἐκ χρησμοῦ φόβον εἰς ξίφη καὶ

ἀράκτους ἐξέθεντο. ὅτι γὰρ οὐκ ἐδειλίασεν ἀχιλλεὺς ἀλλὰ

καὶ προθύμως πρὸς τὸν πόλεμον ὡρμήσατο καὶ ὅμηρος

μαρτυρεῖ τῇ λ. ῥαψῳδίᾳ τὸν νέστορα παρεισάγων πρὸς

τὸν πάτροκλον λέγοντα ἤλθον ἐγὼ καὶ δῖος ὀδυσσεὺς λα

ὸν ἀγείροντες κατ' ἀχαιΐδα πολυβότειραν. καὶ μετ' ὀλίγον

φησὶ περὶ ἀχιλλέως μύθοιο λέγων ὑμᾶς μὲν ἐπέτοθε σφῶϊ δὲ μάλ'

ἠθέλετον, ταῦτα μὲν πάντα ἀλληγοροῦνται. ὁ δὲ βαρβα

ρόγλωσσος οὗτος λυκόφρων μυθικωτέρως ἐκδέχεται.

διὸ καὶ φορτικά μοι δοκοῦντα ἐν οὐκ ἀλληγορουμένοις πε

πολλάκις ἔφην ἀλληγορεῖν. καὶ λοῖσθος εἰς γῆν ἔπι

τὴν ἱστορίαν καὶ τάξιν ἔρω. ἑρμηνεύων ἦν τοῦ τῆς νηός

De Achille in Scy
ro latente.

βαρβαρόγλωσσος
λυκόφρων

πρώτως ἀποβάντι ἀποθανὼν ὃ πέπονθεν ὁ πρωτεσί-
λαος. διόπερ ὁ ἀχιλλεὺς ὑπερεξήλθεν ...

ὦ δαῖμον οἷον κίον᾽ ἀιστώσας δόμων
ἔρεισμα Τροίας δυστυχοῦς ἀποσπάσας
* οὐ μὴν ἄνατά σου δ᾽ ἄνευ μόχθων πικρῶν
πλῆθος θ᾽ ὁ λῃστὴς Δωριεὺς ἥξει στρατὸς
ἐπικαχλάζων τοῦ θέοντος μόρῳ
ἦλθ᾽ ἀμφὶ πρύμναις τὴν πανώλεθρον δραμὼν
πεύκαις βίου βαλβῖδα συμφλεχθήσεται
κλαίων ἐπ᾽ εὐχῇ πλεῖστα φύξιον διὰ
πορθουμένοισι κῆρας ἀρκέσαι πικράς

ὦ τύχη ὦ φθονερὰ ὁποῖον κίονα τῶν οἴκων ἀφα-
νίσας τὸ ἔρεισμα τῆς δυστυχοῦς πατρίδος καταβαλὼν
οὐ μὴν ἄνευ βλάβης καὶ τιμωρίας, οὐδὲ χωρὶς πόνων
καὶ κόπων πικρῶν καὶ πλήθους ὁ λῃστὴς καὶ ἑλληνικὸς ἐλά-
σει στρατὸς ἐπαλαμώμενος τῷ θανάτῳ τοῦ πεπτωκότος ἕκ-
τορος ὡς μὴ μόνον τοῦ πριάμου οἶκον συνέχοντα, ἀλλὰ
καὶ πᾶσαν τὴν τροίαν. ὦ δαῖμον ὁ στίχος οὗτος ἐν
τῇ τετάρτῃ χώρᾳ πόδα ἀνάπαιστον ἔχει καὶ καλεῖται
ἰαμβικὸς βασικός. δωριεὺς στρατὸς ἑλληνικὸς ἀπὸ δώ-
ρου τοῦ ἕλληνος παιδὸς ὥς φησιν ἡσίοδος ἐν τῇ ἡρωικῇ
» γενεαλογίᾳ, ἕλληνος δ᾽ ἐγένοντο θεμιστοπόλου βασιλῆος
» δῶρός τε ξοῦθός τε καὶ αἴολος ἱππιοχάρμης. αἰολο-
» μήτης σαλμωνεύς τ᾽ ἄδικος καὶ ὑπέρθυμος περιήρης.
πρύμναις πεύκαις, ἤγουν ναυσὶν ἀπὸ τοῦ ποιοῦντος
τὸ ποιηθέν. πρύμνη δὲ τὸ ἔσχατον καὶ τὸ ὀπίσθιον μέρος
τῆς νηὸς παρὰ τὸ ἔσχατον καὶ τελευταῖον μένειν. πρῶρα
δὲ τὸ ἔμπροσθιον παρὰ τὸ πρωτεύειν τοῦ ῥέοντος ἤτοι
τοῦ ὕδατος ἅπτεσθαι. τὸ δὲ ἑξῆς οὕτως. οὐ μὴν ὁ

ἰαμβικὸς βασικός

δωριεὺς στρατὸς πόθεν

πρύμνη

πρῶρα

Hellenus f.
Dorus
Xuthus
Aeolus
Salmoneus
Perieres

Δωριεὺς στρατὸς

∴ γρ. πῆ

Ἕκτωρ δωρεὰν ἀποθανεῖται καὶ οἱ Ἕλληνες τῷ θανάτῳ αὐτοῦ ἡσσήσουσιν ἀλλὰ φυγόντες παρὰ τὰ πλοῖα αὐτῶν συμφλεχθήσονται ταῖς ναυσί. μεταφράζει τὴν παρ' Ὁμήρῳ ἑλληνικὴν ναυμαχίαν ἐν ᾗ φαίνεται ὁ Ἕκτωρ διώξας τοὺς Ἕλληνας καὶ καύσας τὴν ναῦν τὴν πρωτεσιλάου. Καλῶν ἐπεύχεσθαι πλεῖστα τοῦ φυγῆς αἴτιον διὰ αὐτοῖς γινόμενον πορθουμένοις αὐτοῖς ὑπὸ τῶν ζώων ἀποδιῶξαι τὸν θάνατον, ἢ καλῶν διὰ φύξιον τὸν δυνάμενον ποιῆσαι φυγὴν τοῦ ~~κινδ~~ κινδύνου. φύξιος δὲ ὁ Ζεὺς καὶ φίλιος καὶ ἑταιρεῖος καὶ ὁμόγνιος καὶ ἐφέστιος καὶ ἄλλα μυρία, καλεῖται γάμους δὲ χάριν ποιῶν γαμήλιος καὶ ἁπλῶς πρὸς τὰ συμβαίνοντα καὶ γινόμενα μετονομαζόμενος φευγόντων τις φύξιον διὰ ἐπικαλεῖται συμβουλευσάμενος δὲ βουλαῖον καὶ τὰ ἄλλα ὁμοίως

Iovis multiplicia cognomina.

Γαμήλιος Ζεὺς
βουλαῖος
φύξιος

τὸν οὔτε τάφρος οὔτε ναυλόχων σταθμῶν
πρόβλημα, καὶ σταυροῖσι κορσωτὴ πτέρυξ
οὐ γεῖσα χραισμήσουσιν οὐδ' ἐπάλξιες
ἀλλ' ὡς μέλισσαι συμπεφυρμέναι καπνῷ
καὶ λιγνύος ῥιπαῖσι καὶ τοξῶν βολαῖς
ἄφλαστα καὶ κόρυμβα καὶ κληδῶν θρόνοις
πυκνοὶ κυβιστητῆρες ἐξ ἑδωλίων
πηδῶντες αἱμάξουσιν ὀθνείαν κόνιν
πολλοὺς δ' ἀριστεῖς πρωτόλεια θηγάνου
αἰχμὴν φέροντας καὶ πυραῖς ὠγκωμένους
αἱ σαὶ καταξανοῦσιν ὄμβριμοι χέρες
φόνῳ βλύουσαι καὶ κἀπιμαιμῶσαι μάχης
ἔσω δὲ πένθους οὐχὶ μεῖον ὄψομαι
τὰς σὰς στένουσα καὶ διωλένους ταφάς
Οἰκτροὶ γὰρ οἰκτρὸν χεῦ' ἐσόψομαι φάος
Καὶ πημάτων ὑψίστων κράντης χρόνος

∴ γρ. γρώων

μένης ἠιόνων κύκλ(ῳ) αὐδηθήσεται

Τὸ τοῦτε τάφρος· οὐ βοηθήσουσι τότε τοῖς ἕλλησιν οὔτε
ὁ τάφρος. ἤ τὸ ὄρυγμα, οὔτε ναῶν τὰ προπύργια. καὶ — τάφρος
ἡ ἐν σταυροῖς. ἤ σταυροῖς τοῖς πεπηγμένοις ἔξωθεν τῆς — σταυροί
τάφρου πτέρυξ. ἤ τὸ παραπέτασμα τὸ δίκην κορωνί — πτέρυξ
ων ἔξωθεν ἐν τῇ τάφρῳ ἤ τὸ δίκην κόρδου καὶ κλίμα
κος τουτέστι τὸ κλιμακηδὸν πεπηγμένον. οὔτε τὰ
γεῖσα. ἤ αἱ στεφάναι ἤτοι οἱ κοσμηταί. λέγουσι — γεῖσα
αἱ ἐπάλξεις ἤτοι αἱ στάσεις τῶν πύργων ἐν αἷς ἵστανται — ἐπάλξεις
οἱ πολεμισταὶ ὧν ἄνωθεν εἰσὶν αἱ ἐρίπναι ἤτοι — ἐρίπναι
αἱ προμαχῶνες καὶ τὰ διεστηκότα τοῦ τείχους καὶ οἷον εἰ
πεῖν οἱ ὀδόντες. ταῦτα πάντα τότε οὐκ ὠφελήσου
σιν τοῖς ἕλλησιν περὶ τὰς ναῦς διωχθεῖσιν ὑπὸ τοῦ ἕκτορος,
ὅτι δὲ ἔκτισαν τοῦτο τὸ τεῖχος οἱ ἕλληνες ὅ λέγει ὁ λυ
κόφρων ναῶν μὴ ὠφελῆσαι αὐτοῖς ὅμηρος διδάσκει ἐν τῇ
τῆς θ. ῥαψωδί(ᾳ) τὴν κτίσιν αὐτοῦ ἐν δὲ τοῦ μυ. ῥα
ψωδίᾳ τὴν ναυμαχίαν φησὶ καὶ τὴν τούτου κατάλυσιν
λύγως μηλίσαι· δίκην σεμηλισμῶν κατασκοτισ
μένων καὶ βολ(αῖς) κεραυνῶν, οὕτω καὶ οὗτοι ὑφ' ἕκτορος
πτοηθέντες εἰς τὴν ξένην στρ(ατ)ὸν ἐκ τῶν καθέδρων καὶ πρύμ
νας καὶ πρώρας τῶν νεῶν καὶ τὴν φοινικὴν γῆν μολύνουσι
τῷ αὐτῶν αἵματι ἐν τῷ πεδίῳ ὁμοιούμενοι ὀρχησ
σι πολλοὺς δ' ἀριστεῖς. ἤ εὐγενεῖς ἕλληνας λαμβάνοντες.
πρωτόλεια. ἤ πρώτην αἰχμαλωσίαν καὶ προκόπτου
σαι ἐν τῷ ἑαυτῶν δορὶ αἱ σαὶ χεῖρες. ἤ σοῦ κατα
γρ. ἀ ξανθῆς ἤ ἀνθηρᾶς, πρωτόλεια δέ εἰσι τὰ τῆς λείας πρῶ — πρωτόλεια
νθης τα καὶ τῶν λαφύρων ἃ οἱ ἀριστεῖς λαμβάνουσιν, ὡς ὁ
ἀγαμέμνων τὴν χρυσηΐδα, ἀχιλλεὺς δὲ τὴν βρισηΐ
δα, ἣν ἀπολέσαμεν αἴας δὲ τὴν τέκμησσαν. πολλοὺς
δ' ἀριστεῖς· τὸν ἕκτορα λέγει διὰ τὸ ἀνελεῖν τὸν πάτρο
κλ(ον)

πηνέλεων, ἀσκάλαφον, ἀρκεσίλαον, καὶ λοιποὺς <u>ἔξω δὲ πένθους</u> ἐγὼ δὲ λυπήσομαι οὐ μικρῶς, αἰωνίως τὴν σὴν ταφὴν καὶ τὸν θάνατον στενάζουσα, ἀξίαν γὰρ οἴομαι ἐκείνην τὴν τῆς σῆς ταφῆς ἡμέραν καὶ ὕψιστον τὴν βρέχουσαν τῶν θλίψεων ὧντινων θλίψεων κράντης ὁ χρόνος καὶ τελεωτὴς <u>αὐδηθήσεται</u>· ἢ καὶ ἀντὶ τοῦ λέγει ὁ χρόνος ὁ <u>ἰλάτων</u>. ἢ συστρέφων καὶ πληρῶν τὸν κύκλον αὐτοῦ διὰ τῆς σελήνης κινήσεως καὶ περιφορᾶς, ἐπεὶ δὴ οἱ παλαιοὶ κατὰ σελήνην τοὺς μῆνας ἐψήφιζον καὶ διὰ τῶν μηνῶν ὁ χρόνος ἀπαρτίζεται

αἰαῖ στενάζω καὶ σὸν εὔθηλον θάλος
ὦ σκύμνε τερπνὸν ἀγκάλισμα συγγόνων
ὃς τάγριον δράκοντα πυρφόρῳ βαλὼν
ἴυγγι τόξων τὸν τυπέντα δ' ἐν βρόχοις
μάρψας ἀφύκτοις βαιὸν ἀζήνῃ χρόνου
πρὸς τοῦ θανόντος αὐτὸς οὐ τετρωμένος
καρατομηθεὶς τύμβον αἱμάξεις πατρός

<u>αἰαῖ στενάζω</u> φεῦ φεῦ στενάζω καὶ τὴν σὴν θαλερὰν καὶ νεανάζουσαν ἡλικίαν ὦ ἀδελφέ μου τρωΐλε· <u>ὦ σκύμνε</u>· ὦ βασιλικώτατον γέννημα, τερπνὴ περιπλοκὴ τῶν ἀδελφῶν. <u>ὃς τάγριον</u> ὃς φώσας τὸν ἀχιλλέα τῷ ἐρωτικῷ τοῦ κάλλους βέλει πλήξας αὐτὸν ὥστε ἐρασθῆναι σου, σὺ δὲ ἐρασθεὶς αὐτοῦ καρατομηθεὶς τὴν κεφαλὴν ἐν τῷ τύμβῳ καὶ ναῷ τοῦ ἀπόλλωνος ὑπὸ + τοῦ ἐρασθέντος σου ἀχιλλέως ἐν τῷ καρατομηθῆναι σε αἱμάξεις τὸν ναόν. φασὶ γὰρ ὅτι ὁ ἀχιλλεὺς ἐρασθεὶς τρωΐλου τοῦ παιδὸς τῆς ἑκάβης καὶ πριάμου ἐν λόγοις ἔργῳ δὲ ἀπόλλωνος ἐδίωκ' αὐτὸν προφυγόντα δ' ἐν τῷ τοῦ θυμβραίου ἀπόλλωνος ναῷ ἀχιλλεὺς ἐβίαζεν

.: γρ. θυμβραίῳ ναῷ τοῦ ἀπ(όλλωνος)
+ γρ. ὑπὸ

τρωΐλος υἱὸς ἀπόλλωνος.

αὐτοῦ ἐξῆλθεν, ὡς δ' οὐκ ἔστεργε, προσελθὼν ἐν τῷ ναῷ τοῦ ~~Θυμ~~
βραίου, ὅν φασι καὶ τιμωρῶν ὁ Ἀπόλλων αὐτόθι παρεσκεύ-
ασεν ἀναιρεθῆναι, καὶ οὕτω μὲν λυκόφρων περὶ τοῦ Τρωΐλου.
ἐγὼ δὲ τοῦτον τὸν Τρωΐλον καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην καὶ με-
λάγχροον ἐπίσταμαι· οὐκ οἶδα δὲ εἰ ὁ θετταλὸς Ἀχιλλεὺς
οὕτως ἐρωτικὸς ἦν ὡς καὶ βαθυγενείων ἐρᾶν καὶ γεραιτέρων
τούτου. νέος μὲν γὰρ οὐκ ἦν Τρωΐλος καὶ ὡραῖος, μελάγχ-
ρους δὲ καὶ δασυγένειος καὶ Ἀχιλλέως ἐρώτων ἀνάξιος. με-
τὰ δὲ τὴν ἀναίρεσιν ἐκείνου ἐξελθὼν ἐκ τῆς Τροί(ας)
συμβάλλει τῷ Ἀχιλλεῖ καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ καὶ ἐγέ-
νετο ἐν τῇ Τροίᾳ δι' αὐτὸν πένθος πολύ, οἷον ἐπὶ Ἕκτορι.
πυρφόρῳ ἴυγγι τόξων. ἀντὶ τοῦ πυρφόρῳ βέ-
λει. λέγει δὲ τῷ ἔρωτι. ἴυγξ δὲ κυρίως ὄρνε-
όν ἐστιν ἀπὸ τοῦ τὴν οὐρὰν αἰωρεῖν ζῶον. ἔστι δὲ ποικίλ(ον)
τὴν χρόαν μακροτράχηλον, γλῶσσαν ἔχον ἀεὶ πολὺ
ἐκτεταμένην, πυκνῶς περιστρεφόμενον καὶ περιδινοῦν
τὸν τράχηλον. ταῖς φαρμακίσι χρήσιμον εἰς ἐρωτικὰς ἐπῳ-
δάς, λαμβάνουσαι γὰρ αὐτὸ δεσμοῦσιν ἔν τινος τρο-
χοῦ, ὃν ῥομβοῦσιν ἅμα ἐπᾴδουσαι. ἄλλοι δέ φα-
σιν ὅτι κηρίνῳ τροχῷ συντήκουσιν αὐτὸ ἐπ' ἀνθράκων.
οἱ δέ φασι τὰ ἔντερα αὐτοῦ ἐξελκύσασαι περιάπτουσι
τῷ τροχῷ. ταύτην οὖν φασι τὴν ἴυγγα πρώτην Ἰάσονι
δοῦσα(ν) ἐδίδαξε τοῦτον ὅπως Μήδειαν θέλξῃ. λέγουσι
δὲ ὅτι αὕτη ἡ ἴυγξ νύμφη ἦν, Πειθοῦς θυγάτηρ ἢ Πειθοῦς
ἢ Ἠχοῦς καὶ Πανός, φαρμακεύουσα δὲ τὸν Δία εἰς τὸν
τῆς Ἰοῦς πόθον ὑφ' Ἥρας διωκομένη ἀπολιθώθη. ἄλλοι
κιθαρίστριαν αὐτὴν οὖσαν φασὶ τὴν ἴυγγα. ὅθεν
πᾶν ποθεινὸν ~~ἴυγξ~~ ἴυγξ καλεῖται.

Τρωΐλου θάνατος

ἴυγξ. pro theocriti pharmaceutria. nota.

Οἴμοι δυσαίων καὶ διπλᾶς ἀηδόνας
καὶ σοῦ τάλαινα, πότμον αἰάζω σκύλαξ

ξ. 2.

ὧν τὴν μὲν αὐτόπρεμνον ἡ τοκὰς κόνις
χανοῦσα κευθμῷ χείσεται δία φάος
λεύσσουσαν ἄτην ἀχί που ξενώσματων
ἄγαλμα πάππου καὶ χαμευνάδος μόροι
τῆς λαθρονύμφου πόρτιος μεμιγμένοι
σκύμνῳ κέχυνται πρὶν λαφύξασθαι γάνος
πρὶν ἐκ λοχείας γῆν χυτλῶσαι δρόσῳ

Οἴμοι δυσαίων ἡ. δυστυχὴς καὶ τοῦ σοῦ θανάτου ὦ τάλαινα σκύλαξ ἀκάρηθρίων καὶ τὰς δύο ἀηδόνας τὰς εὐλάλους καὶ ἐμοῦ ἀδελφὰς Λαοδίκην καὶ Πολυξένην· ἀφ' ὧν τὴν Λαοδίκην ἡ γῆ χανοῦσα ὑποδέξεται περὶ τὸ ἄλσος καὶ τὸν παράδεισον τοῦ πάππου Τρωός, ὅπου ἡ Κίλλα τεθνηκυῖα κεῖται μετὰ τοῦ παιδὸς αὐτῆς Μουνίππου. χανήσεται δὲ ἡ γῆ καὶ ὑποδέξεται τὴν Λαοδίκην ἤτοι ἀφανὴς γενήσεται καὶ ἀποθανεῖται ἡ Λαοδίκη ὅταν πορθηθῇ ἡ Τροία· καὶ νῦν μὲν ὁ βάρβαρος καὶ ἀπρόσεκτος Λυκόφρων πορθουμένης τῆς Τροίας αὐτὴν φησὶν ἀναιρεθῆναι, μετὰ μικρὸν δὲ προϊὼν ἐρεῖ ὅτι μετὰ τὴν Τροίας πόρθησιν Μουνίππου τοῦ υἱοῦ αὐτῆς ἐν Θράκῃ κυνηγετοῦντος μεταλλάξαντος τοῦ παιδὸς αὐτοῦ καὶ ὑπὸ ὄφεως ἀνῃρημένου λύπῃ καὶ αὐτὴ τελευτᾷ. τὸ δὲ οἴμοι οὐ δύο μέρη λόγου ὑπάρχει ἀλλ' ἕν, ὃ καὶ Ὅμηρος συγκινῇ λέγων ὤμοι ἐγώ. σκύλακα τὴν Ἑκάβην λέγει ὅτι κύων ἐγένετο ὥς φησι μυθικῶς Εὐριπίδης. κύων γενήσῃ πύρσ' ἔχουσα δέργματα· καὶ Ἀσκληπιάδης περὶ τοῦ τόπου οὗ ἀνῃρέθη ὃ καὶ κυνὸς σῆμα καλοῦσι. ἀλλὰ ταῦτα μὲν τὰ μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἔχει. μετὰ τὴν τελευτὴν τῆς Πολυξένης ὕβριζε καὶ κατηρᾶτο τοὺς Ἕλληνας, οἱ δὲ ὀργισθέντες ὡς κύνα αὐτὴν λίθοις

ὁ βάρβαρος καὶ ἀπρόσεκτος Λυκόφρων

οἴμοι

~~et μετὰ [illegible] tou ut paulo post. autem vero [illegible] et enim appellanit tamen erat inconstantia vel potius depravationis unde hic exscriptus est~~

De Hecuba in canem versa

ἀνεῖλε. περὶ δὲ τῆς κίλλης ὕστερον ἐς τὸ μὴ δ᾽ αἰσακοῦ-
μός, καὶ πάλιν ἐρῶ. Κίλλα, ἑκάβης ἦν ἀδελφὴ θυμοίτου
δὲ γυνή αὕτη ὥς φησι θυμοίτῳ συγγενομένη γεννᾷ μού-
νιππον, πριάμου δὲ χρωμένου ἕνεκα περὶ τῆς βασιλείας
χρήσαντος ἀνελεῖν τὴν τεκοῦσαν ~~αὐτὸ~~ καὶ τὸ γεννηθέν, ἔτυχε
δὲ τότε ἡ μὲν ἑκάβη τεκοῦσα τὸν ἀλέξανδρον ἡ δὲ κίλλα
τὸν μούνιππον, φεισάμενος οὖν τῆς ἑκάβης ἀνεῖλε τὴν
κίλλαν καὶ τὸν παῖδα αὐτῆς. χυτλῶσαι λοῦ-
σαι πλῦναι. χύτλος γὰρ λέγεται ἐλαιοδόχον ἀγγεῖον ἐν
ᾧ εἶχον οἱ παλαιοὶ τὸ ἔλαιον ᾧπερ μετὰ τὸ λούεσθαι
ἐχρίοντο

∴ γρ. αἰσακ(οῦ)

i. in expositione uerbus q(uod) sic incipit

∗ Κίλλης ἱστορία

χυτλόω-ῶ.
χύτλος

Σὲ δ᾽ ὠμὰ πρὸς νυμφεῖα καὶ γαμηλίους
ἄξει θυηλὰς ξυνὸς ἴφιδος λέων
μητρὸς κελαινῆς χέρνιβας μιμούμενος
ἣν ἐσφάγαζε λαιμίσας ποιμανδρίαν
στεφηφόρου βοὸς δίκην ἄρης δράκων
ῥαιστὴρ βιπάλζων φασγάνῳ κανδάονος
λύκοις τὸ πρωτόσφακτον ὄρκιον χέσας

σὲ δ᾽ ὠμά. σὲ δὲ ὦ πολυξένη πρὸς ἀπηνεῖς ἢ ἀώ-
ρους παστάδας καὶ γαμηλίους θυσίας, πάρεστιν ἀπὸ κοινοῦ
τὸ ἀπανθρώπους καὶ ἀπηνεῖς ἢ ἀώρους ἄξει ὁ ξυνὸς
καὶ κατηφὴς ἤτοι ὁ ἄξιος λύπης λέων τῆς ἴφιδος ἤγουν τῆς
ἰφιγενείας λέγει δὲ τὸν νεοπτόλεμον τῆς μητρὸς αὐτοῦ ἡ ἰφι-
γένεια κατὰ λυκόφρονα, μιμούμενος τὰς ἐν ταύροις θυσί-
ας λέγει δὲ τὴν ξενοκτονίαν. ἥντινα ἴφιδα ἡ ἰφιγένειαν τὴν
στεφηφόρον βοῶν ῥαιστὴρ ἤγουν φθορεὺς ἐν τῷ βιπάλζω φασγά-
νῳ τοῦ κανδάονος ἤγουν τοῦ ἄρεος. ὁ δεινὸς δράκων ἤ-
τοι ὁ διομήδης ἤ τις ἱερεὺς τοῖς λύκοις ἤγουν τοῖς ἔθνεσι
χέσας ἤγουν καταβαλὼν τὸ πρωτόσφακτον ὄρκιον, ἅπαντα

∴ γρ. ἢ

πρὸς τὸ δὲ συντακτέον. ἥντινα ἐς βαθεῖαν λάπτε τάφρον
ὡς ποιμανδρίαν. ἤγουν βοιωτίαν στεφηφόρον βοῶν ῥάστη
ἤγουν φθερᾶ καὶ ἐν τῷ γιγάρῳ ἤγουν ξιφεισοδότῳ φασγάνῳ καν-
δάονος. ἤγουν τοῦ ἄρεος ἣν ἔσπασεν ὁ ἴφιδος λέων ὁ δὲ
κὸς ἀρτάμος δράκων. νῦν δὲ τὸ πρωτόσφακτον οὐ τὸ πρώ-
τως σφαγὲν ἀλλὰ τὸ εὐγενές, καὶ τὰ μὲν τῆς ἐννοίας ταυτί.
τὰ δὲ τῆς ἱστορίας ἔχουσιν οὕτως. ἀχιλλεὺς ἐρασθεὶς
πολυξένης καὶ δι᾽ αὐτῆς ἐν τῷ τοῦ θυμβραίου ἀπόλλωνος
ἀναιρεθεὶς ναῷ μετὰ τὴν ἰλίου πόρθησιν ᾐτήσατο κα-
θ᾽ ὕπνους σφαγιασθῆναι αὐτῷ πολυξένην ἣν οἱ ἥρωες
τῷ τάφῳ αὐτοῦ διὰ νεοπτολέμου τοῦ παιδὸς ἐκείνου
σφαγιάζουσιν ὡς ἐν ἑκάβῃ εὐριπίδης φησί. ὁ δὲ φιλό-
.: γρ. φιλά γριος — ρατος φάγιος μόνην τὴν πολυξένην φησὶ ἐξελθεῖν τοῖς βοι-
ἔτι μὴ πορθηθείσης καὶ ἀποσφάξαι ἑαυτὴν ἐπὶ τῷ τάφῳ
αὐτοῦ πόθῳ κατεχομένην τοῦ ἥρωος καὶ δικαίως λογισα-
μένη ὡς οὐχ ἑτέρου τοιούτου εὐμοιρήσει ἀνδρὸς καὶ νυ-
μφίου. ἶφιν τὴν ἰφιγένειαν λέγων τὶς καὶ τρεῖς συλλα-
βὰς ἐκκόπτων ὀνόματος πῶς ἂν συναφθῇ τοῖς τεχνουρ-
γήμασι. ποιμανδρία πόλις βοιωτίας ἡ τάναγρα λε-
γομένη ἔνθα ἄριστοι βόες γίνονται. στεφηφόρον ἐπεὶ ὅτι
στεφάνοις ἄνθεσι καὶ ἔθαπτον τοὺς θυομένους. γιγά-
ρῳ ἀθίμω ὠρίωνος ὃν κανδάονα βοιωτοὶ καλοῦσιν
οὕτω. ὠριεὺς κλονίαν ἔχων γυναῖκα ἄπαις ἐτύγχα-
νεν. ποτὲ γοῦν ζεὺς καὶ ποσειδῶν καὶ ἀπόλλων τῷ ὠριεῖ
τούτῳ ἐπεξενώθησαν καὶ ὃς βουθυτήσας αὐτοὺς ὑπε-
δέξατο. οἱ δὲ ἔφασαν αἰτεῖν ὃ βούλοιτο, ὡς δὲ παῖδας
αὐτῷ γενέσθαι ᾐτήσατο οἱ θεοὶ τὴν τοῦ σφαγέντος βοὸς
βύρσαν ἐνούρησαν καὶ ἐξ αὐτῶν ὁ ὠρίων ἐγένετο οὐρίων
κληθεὶς ὡς ἐκ τῶν οὔρων τεχθείς, ὅθεν καὶ γίγαρον τοῦτον
καλεῖ. τὸ δὲ ὠρίωνος ξίφος ὁ διομήδης ἔσχεν, ἐπεὶ δὲ
νεοπτόλεμον γιγάρῳ φασγάνῳ τῷ ξιφεισοδότῳ λέγει

ἶφις ἡ ἰφιγένεια

ποιμανδρία πό(λις)

ὠρίων κανδάων ὑπὸ τῶν βοιωτῶν καλούμενος

Orionis historia

ἥφαιστος γὰρ πρῶτον πηλεῖ τοῦτο ἐχαρίσατο· πηλεὺς δὲ ἀχιλλεῖ, ἐξ ἀχιλλέως τοῦτον νεοπτόλεμος ἐδέξατο. κανδάονος δὲ νῦν τοῦ ἄρεος, πρωτόσφακτον ἀντὶ ἰφιγενείας ὅτι ἐν αὐλίδι περὶ τὸν εὔριπον τοὺς πρώτους ὅρκους ποιοῦντες οἱ ἕλληνες ἀνεῖλον αὐτήν· καὶ τοῦτο ψευδές ἐστι· πρῶτοι γὰρ οἱ ὅρκοι δι' ἑλένην ἐν σπάρτῃ γεγόνασιν ὡς καὶ ὁ λυκόφρων οὗτος φησί· δεύτερον δὲ οὗτοι ἐν τῇ αὐλίδι ὁπότε καὶ τὰ περὶ τὸν δράκοντα, ὅρκων τὸ δεύτερον οὐχ ὁν ἁρπάσαντες ξυνὸν στερρὸν ἐνοπλίσουσιν ὠλέναις πλάτην. ἐπεὶ δὲ πολυξένης πρωτόσφακτον λέγεται καὶ τὰ μὲν τοὺς λοιποὺς παρόσον προεσφάγη πρὸ αὐτῆς ἀχιλλεὺς εἰς ὅρκον ἐν τοῖς ζωσὶ καὶ ταῦτα μὲν οἱ λοιποί· ἐγὼ δὲ ἐπ' ἀμφοτέρων πρωτόσφακτον ὅρκιον τὸ ἐκ πρώτης καὶ εὐξένου ἑλένης σφαγιασθὲν θῦμα χάριν τῶν ὅρκων φημί.

σὲ δ' ἀμφὶ κοίλην αἰχμάλωτ' ἠόνα
πρέσβιν δολοίκων δημόλευστ' ὠλένῃ
ἐς πετροβόλοις ἀραῖσιν ἠρεθισμένην
κρύψει κύπασσις χερμάδων ἐπομβρία
μαίρας ὅταν βαλοῦρον ἀμάξης δομεῖν
ὁ δ' ἀμφὶ τύμβῳ τ' ἀγαμέμνονος δαμεὶς
κρηπῖδα πηλοῦ νέρθεν καλυμένῳ σπόκῳ
ὁ πρὸς καλύπτρης τῆς ὁμαίμονος τάγας
ὠνητὸς αἰθαλωτὸν ἀντιπαρεμπολῶν
τὸ πρὶν δ' ἄμυδρον ὀνομάτων σώσει σκότῳ

σὲ δ' ἀμφὶ κοίλην· σὲ δὲ τὴν πρέσβιν ἑκάβην λοιδοροῦσαν καὶ καταρωμένην τοὺς ἕλληνας καὶ αἰχμάλωτον ἤγουν αἰχμαλωτισθεῖσαν κρύψει κύπασσις. ἤγουν σκεπάσει κύπασ

ἐν ἐσπομβρίᾳ τῶν χρημάτων. ἤγουν λιθωθεῖσα. ὅταν φαιοῦρ(γ)
ὅταν ἀμάξῃς δομὴν φαιόν. μαίρας ἤγουν κυνὸς περὶ τὴν
κοίλην ηιόνα. τῶν δολόγκων. ἤγουν τῶν θρακῶν. τὰ δὲ
περὶ τῆς καταλιθοβολήσεως τῆς ἑκάβης ἐπὶ ἠιόνα, ἢ
ἠόνα ὡς ἂν ἐθέλῃς γράφε ἀπ' αἰγὸς ῥήξειν ὁ στίχος. μαί
μαῖρα ρα καὶ ὁ κύων ἀπὸ μιᾶς τῶν κυνῶν τοῦ ὠρίωνος μαί
ρας καλουμένης κυρίως δὲ μαῖρα λέγεται ἡ λευκομέλαι
να αἴξ. ὁ δ' ἀμφὶ τύμβῳ ὁ δὲ τάλας. ἤγουν ὁ πρίαμος
μολὼν ὠνητὸς ἐς τὴν αἰθαλωτήν. ἤγουν κεκαυμένην πάτραν
ὑφ' ἡρακλέους. ὠνητὸς δὲ περὶ τῆς καλύπτρας τῆς αὐ
τοῦ ἀδελφῆς ποιοῦντος. αἴζωσας δὲ ἤγουν ἀφανίσας σκό
τῳ τὸ πρὶν ἀμυδρὸν ὄνομα, ποδάρκης γὰρ τὸ πρὶν
ἐκαλεῖτο, τῇ δὲ καλύπτρᾳ ἐξωνηθεὶς πρίαμος μετεκλήθη,
οὗτος ἀμφὶ τῷ τύμβῳ ἢ τῷ ναῷ τοῦ ἀπόλλωνος ἑρκί
ου δαμεὶς ἤτοι δαμασθεὶς τὴν κρηπῖδα. ἤγουν τὴν βάσιν τοῦ
νεὼ ἐν σπιλῷ ἢ λευκῷ πλόκῳ κάλλων. ἤγουν κοσμηθεὶς
ἑ τῷ ἀμφὶ τύμβῳ ὁ πρίαμος ἐν τοῦ ἑρκίου διὸς ναῷ κατα
φυγὼν ἀναιρεῖται ὑπὸ νεοπτολέμου, ὅτι ἢ ἀχιλλεὺς
ὑπὸ ἀλεξάνδρου ἐν τῷ θυμβραίου ἀπόλλωνος ναῷ
* ἀνῃρέθη. ζεὺς δὲ ἐν λακεδαιμονίᾳ ἀγαμέμνων ἐν τροίᾳ
σπιλός ἐτιμᾶτο. σπιλῷ τῷ μέλανι ἢ γράφε ἀμαλοῦ ναῷ
δὲ τῷ λευκῷ. ὁ πρὸς καλύπτρης ποιοῦν ὡς ἔ
φαν ἢ σπορέων ὑφ' ἡρακλέους πορθηθείσης τῆς τροίας ὥσ
τε αἰχμάλωτος σὺν τῷ ἀδελφῷ αὐτῆς πριάμῳ πο
δάρκῃ τότε καλουμένῳ δοῦσα δὲ τὴν χρυσῆν ἑαυτῆς
καλύπτραν ἐπρίατο τοῦτον ὅθεν ἢ πρίαμος ἐκλήθη
γρ. ἐξωνηθῆ σεσθαι ἢ κατέλειψεν αὐτὸν ἐν τῇ τροίᾳ νομίσασα ἐξωνῆσθαι
ὑπ' αὐτοῦ ὅσπερ ἡγεῖτο. αὕτη δὲ τότε ἐδόθη τῷ τελα
μῶνι ἐξ ἧς ὁ τεῦκρος ἐγεννήθη. αἰθαλωτὸν ἀντὶ τοῦ
αἰθαλωτὴν πάτραν. γινώσκεις ἀκριβῶς πῶς ἡ τροί
α πορθηθεῖσα ὑφ' ἡρακλέους ἐκαύθη. τὸ πρὶν ἀμυδρ(όν)

ὁ στίχος οὗτος ἰαμβικὸς βασιλικός ἐστιν ἐν τῇ τετάρτῃ χώρᾳ ἀνάπαιστον ἔχων

Ὅταν χέλυδρος πυρσὸν ἀμφιδρὶξ βαρὺν
ἀπημπολητὴς τῆς φυταλμίου χθονὸς
φλέξας τὸν ὠδίνοντα μορμωτὸν λόχον
ἀναψαλάξῃ γαστρὸς ἑλκύσας ζυγά
τῆς σισύφας δ' ἀγκύλης λαμπουρίδος
λάμψῃ κακὸν φρυκτωρὸν ἀντηνέμιος
τοῖς ἐς γενὴν λεύκοφρυν ἐκπεπλευκόσι
ἢ παιδοβρῶτος πόρκεως νήσους διπλάς

Ὅταν χέλυδρος φασὶ τὸν ἀντήνορα προδοῦναι τὴν τροίαν τοῖς ἕλλησιν ἐπὶ μισθῷ τῆς μετὰ ταῦτα βασιλείας. ὁ δὲ νοῦς τοιοῦτος, ὅταν ὁ ἀντήνωρ ὁ προδότης τῆς πατρίδος βαρὺν πυρσὸν ἀνάψας εἰς σημεῖον τοῖς ἕλλησι τὸν δούρειον ἵππον ἀνοίξῃ τὸν ὠδίνοντα καὶ κύοντα τὸν φοβερὸν λόχον. ἤγουν τοὺς ἕλληνας τῆς γαστρὸς αὐτοῦ τὴν θύραν ἀνοίξας. τὸ δὲ ἑξῆς οὕτως. ὁ δὲ πρίαμος ἀναιρεθήσεται ὅταν ὁ χέλυδρος ἤτοι ὁ γηραιὸς ἀντήνωρ τὸ καὶ τὸ ποιήσῃ. χέλυδρος δέ ἐστιν ἡ θαλασσία χελώνη ὡς βραχύδερμον διὰ τὸ γῆρας χέλυδρον τὸν ἀντήνορα λέγει. σύντροφος δὲ ἦν πριάμου ἔχων γυναῖκα τὴν ἑκάβης ἀδελφὴν θεανώ. Τῆς σισύφας ὁ ὀδυσσεὺς λέγεται εἶναι σισύφου. αὐτόλυκος γὰρ αἰσιμονῆς ἀντίκλειαν ἐγέννα. ἥτις ἡ ἀντίκλεια ὑπὸ σισύφου διεπαρθενεύθη. οὗτος ὁ αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε· κλέπτων γὰρ πάντων ἵππους καὶ βόας καὶ ποίμνια τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν ὥς φησι καὶ ἡσίοδος πάντα γὰρ ὅσσα λάβεσκεν ἀΐδηλα τίθεσκε. σίσυφος δὲ μονογράμμῳ τυπώματι τὸ τούτου ὄνομα ἐγχαράττων τὴν ταῖς τῶν ἑαυτοῦ ζώων

Ἀντήνωρ προδότης

Δούρειος ἵππος

χέλυδρος

γενεαλογία ὀδυσσέως

ὁπλαῖς ἢ χηλαῖς ἐπεγίνωσκε. αὐτόλυκος δὲ ἀφαιρούμενος
καὶ τῶν τοιούτων ζώων τινὰ τὰς σφραγῖδας μετεποίησεν
ὡς δὲ καὶ οὕτω λαθεῖν οὐκ ἴσχυσε τὸν σίσυφον φίλον αὐτῷ
ἐποίησε. ὁ δὲ λάθρα τῇ αὐτοῦ μιχθεὶς θυγατρὶ ἀντικλείᾳ
ἐγκυμονῆσαι τὸν ὀδυσσέα. ὕστερον δὲ ἔγημε λαέρτην.

σίνων

αἴσιμος ἀντικλείας ἀδελφὸς σίνωνα γεννᾷ, ὃς αἰκισά-
μενος ἑαυτὸν πλησίον τοῦ δουρείου ἵππου ἐκάθητο· οἱ
" δὲ ἕλληνες ὡς φησι τρυφιόδωρος πῦρ ἴδιον πηκταῖσιν
" ἐνὶ κλισίῃσι βαλόντες πρὸς τένεδον καὶ τὰς καλ-
υδνὰς νήσους περὶ τὴν τροίαν. ἀφ' ὧν νήσων δύο δρά-
κοντες πόρκις τε καὶ χαρίβοια διανηξάμενοι τὸν παῖ-

Laocoontis historia fabulosa

δα τοῦ λακόοντος ἄνθλον μέσον παντὸς τοῦ λαοῦ
ὅτι τῷ δόρατι βαλὼν τὸν δούρειον ἵππον ἐτόλμησε καὶ ταῦ-
τα μὲν μικρὸν ὕστερον, τότε δὲ τῶν τρώων κατελθόντων
καὶ ἀπατηθέντων δόλοις τοῦ σίνωνος καὶ εὐωχησάντων ἀν-
τῶν περὶ τὴν πόλιν καὶ μέθῃ καὶ χαρᾷ καὶ ὕπνῳ συσχε-
θέντων αὐτὸς ὁ σίνων ὡς ἦν αὐτῷ συντεθειμένον φρυ-
κτὸν ὑποδείξας τοῖς ἕλλησιν ὡς ὁ λέσχης φησὶν ἡνίκα
νὺξ μὲν ἔην μέσση λαμπρὴ δ' ἐπέτελλε σελήνη προ-
σκαλεῖται αὐτοὺς διὰ τοῦ φρυκτοῦ ἐς τροίαν καὶ ἄλλον ~

λαμπουρεὶς

λαμπουρεὶς εἶδος ἀλώπεκος ἐχούσης λευκὴν τὴν οὐ-
ρὰν· νῦν δὲ τὸν ὀδυσσέα λέγει διὰ τὸ πανοῦργον. ὁ
γὰρ σίνων ἀνεψιὸς ἤτοι ἐξάδελφος ἦν ὀδυσσέως ὡς ἐκ
τῆς ἱστορίας. λευκόφρυν τὴν τένεδον καὶ ἐρρέθη. /
παιδοβρῶτος πόρκεως νήσους· τὰς καλύδνας λέγει
ἐξ ὧν πλεύσας ὁ πόρκις καὶ χαρίβοια τὸν λακόοντος
παῖδα ἄνθλον. ὁ δὲ λακόων ποσειδῶνος ἦν
ἱερεύς.

ἐγὼ δ' ἡ τλήμων ἢ γάμους ἀρνουμένη
ἐν παρθενῶνος λαΐνου τυκίσμασι

ἄνις τεράμνων ἐς ἀνώροφον στέγην
εἱρκτῆς ἀλιβδύσασα λυγαίας δέμας
ἡ τὸν θωραῖον πτῶον ὡρίτην θεόν
λίπτοντα λέκτρων ἐκβαλοῦσα δεμνίων
ὡς δή κορεῖαν ἄφθιτον πεπαμένη
πρὸς γῆρας ἄκρον παλλάδος ζηλώμασι
τῆς μισονύμφου λαφρίας πυλαίτιδος,
τῆμος βιαίως φάσσα, πρὸς τόργου λέχος
γαμψαῖσιν ἅρπαις οἰνὰς ἑλκυσθήσομαι
ἡ πολλὰ δὴ βούδειαν αἴθυιαν κόρην
ἀρωγὸν αὐδάξασα ταρροθον γάμων
ἡ δ' ἐς τέραμνα δουρατογλύφου στέγης
γλήνας ἄνω στρέψασα, χώσεται στρατῷ
ἐξ οὐρανοῦ πεσοῦσα καὶ θρόνων διός
ἄνακτι πάππῳ κτῆμα τιμαλφέστατον

ἐγὼ δ' ἡ τλήμων ἡ ἀρνησαμένη τὴν ἀπόλλωνος συνουσίαν ὡς ἀπολοῦσα ἔχειν τὴν παρθενίαν ἄφθαρτον κατὰ ζῆλον τῆς ἀθηνᾶς τῆς τοιᾶσδε καὶ τοιᾶσδε ἐπὶ τῆς φυλακῆς τῆς σκοτεινῆς συγκλεισθεῖσα, τὸ δέμας τότε βιαίως ἡ φάσσα, ἐγὼ ἡ οἰνὰς καὶ ἄμπελος ἑλκυσθήσομαι ὡς μὲν φάσσα, πρὸς τόργου ἤτοι γυπὸς συνουσίαν· ὡς δὲ οἰνὰς ἡ ἄμπελος ἐν γαμψαῖσι ἡ σιδηραῖς ἅρπαις ἤτοι δρεπάναις ἢ ἅρπας ἡ δρεπάνης. παρθενῶνος λαΐνου τυκίσμασι. ἢ κατασκευάσμασι, τύκος γὰρ σιδηροῦν ἐργαλεῖον τεκτονικὸν ἐν τοὺς λίθους ξέουσι καὶ ὑποξέουσι. ἄνις τεράμνων, ἐστερημένη ξυλίνων στεγῶν, τέραμνα γὰρ τὰ ξύλινα στέγη λέγονται, ὁ γὰρ πρίαμος λίθινον οἶκον πυραμοειδῆ ἐποίησε καὶ ἐνέκλεισε αὐτήν, ὅθεν ἐστερημένην εἶπεν καὶ ἀνώροφι στέγην ὡς μὴ οὖσαν ξυλόστεγον ἐναντία φάσκων ὁμήρῳ, ἐκεῖνος

τύκες

ἄνις
τέραμνα

ἀμφιβδήσασα

λυσαί(ας)

λύγη

θωραῖον

πτῶον

ὡρίτην

λίπτοντα

πεπαμένη *

παλλὰς πόθ

γὰρ μαγγονευτικοὺς καὶ εὐπαγεῖς καὶ εὐωρόφους θαλάμους τοὺς λιθοτεύκτους λέγει ταυτὶ γράφων, δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο καὶ πᾶς δὲ ὁ φρονῶν ὁμοίως ὁμήρῳ τοῦτο φησί. ἀμφιβδήσασα κυρίως τὸ ἐν θαλάττῃ βυθισθῆναι λυσαίας σκοτεινῆς. λύγη γὰρ ἡ νύξ. θωραῖον τὸ σπερμογόνον καὶ γεννητικόν· ὁ αὐτὸς γὰρ ἐστὶ τῷ ἡλίῳ. ὁ ~~πα~~ ἥλιος πάντα γεννᾷ καὶ τρέφει καὶ αὔξει ὡς καὶ σοφοκλῆς φησί. τὰ πάντα γοῦν βόσκουσαν ἡλίου φλόγα. πτῶον ἐρρέθη ἀπὸ τῆς ἐκφοβήσεως τοῦ χοίρου. ὡρίτην τὸν αὐτὸν ὅτι ἔαρ καὶ θέρος καὶ αἱ λοιπαὶ τῶν ὡρῶν δι' αὐτοῦ ἀποτελοῦνται. οὗτος καὶ πάντα μυθικῶς λέγει. λίπτοντα ἐπιθυμοῦντα. τινὲς ἀλέκτρων δεμνίων λέγουσιν. ἡ δὲ ἱστορία ὅτι ἀπώσατο τὸν ἀπόλλωνα θέλοντα αὐτῇ συμμιγῆναι τῷ δήλῳ. πεπαμένη πῶ· τὸ κτῶμαι· πάσω, πέπακα, πέπαμαι, πεπαμένη. ὅθεν καὶ δι' ἑνὸς μ γραπτέον κἂν καὶ οἱ μεταγραφεῖς οὐκ οἶδ' ὅτι πάντες διὰ δύο μμ γράφουσιν. παλλάδος ξυλώμασιν ἐν τοῖς ξυλοῖς τῆς ἀθηνᾶς. παλλὰς δὲ ἡ ἀθηνᾶ ἢ παρὰ τὸ πάλλειν τὰ ὅπλα πολεμικὴ γὰρ ἢ ἐκ τοῦ γεννᾶσθαι ἀπὸ τῆς τοῦ διὸς κεφαλῆς ἐξαλλομένη τὰ ὅπλα κινοῦσα ἢ παρὰ τὸ παλλομένην τὴν τοῦ διονύσου καρδίαν ἀνενεγκεῖν τῷ διΐ. διόνυσον γὰρ τὸν ζαγρέα καλούμενον υἱὸν διὸς καὶ περσεφόνης ὑπάρχοντα, μεληδὸν οἱ τιτᾶνες ἐσπάραξαν οὗ τὴν καρδίαν ἔτι παλλομένην ἀνήνεγκεν ἡ ὅτι ἐν ταῖς συμβολαῖς τῆς μάχης τῶν γιγάντων καὶ τῶν θεῶν πάλλαντα ἕνα τῶν γιγάντων ἀνεῖλεν, ἢ πάλλαντα τὸν ἴδιον πατέρα πτερωτὸν ὑπάρχοντα καὶ βιάζοντα ταύτην ὡς θέλοντα συγγενέσθαι ἢ τὴν παρθενίαν τιμῶσα τοῦτον ἀνεῖλε καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλετο καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν ὅθεν αὐτὴν ἐθεοποίησαν οἱ ἕλληνες καθαρὰν καὶ τὴν πο-

λεμικωτάτην ἀθηνᾶν ἰτωνίδος μὲν ὑπάρχουσαν θυγατέ
ρα, ἰοδάμου δὲ ἀδελφήν, ἣν ἰοδάμας ἀντιπολεμοῦσα
ἀνεῖλεν ὥς φησι σιμωνίδης ὁ γενεαλόγος πηλιάδα ἐπ
ἄμβρεον ἀσορῶντες ἔργον ἀθηναίης ἰτωνίδος ἤδε καὶ αὐτοὺς
ἥρωας χέρεσιν ἐπικραδέοντας ἐρετάω. φερεκύδης δὲ πα
λλάδια λέγει τὰ χειροποίητα μορφώματα, καὶ παρὰ τὸ — παλλάδια
ἐξ οὐρανοῦ εἰς γῆν βαλλόμενον, καὶ τὸ παλλάδιον δὲ τῆς ἀ
θηνᾶς τοιοῦτο ἦν τρίπηχυ ξύλινον ἐξ οὐρανοῦ καταπεσὸν
ἐν πεσσινοῦντι τῆς φρυγίας, ὅθεν ὁ διόδωρος καὶ δίων τὸν — πεσσινοῦς πόλ
τόπον ἀπὸ τοῦ πάλλους ἀπέπεσεν ἐν τῇ συμβολῇ
τοῦ πολέμου ὁπότε διὰ τὴν ἁρπαγὴν γανυμήδους
ἐμάχοντο τάνταλος ὁ ἁρπάξας γανυμήδους καὶ ἶλος ὁ ἀ
δελφὸς αὐτοῦ. ἰωάννης δὲ ὁ ἀντιοχεὺς ἐξ οὐρανοῦ λέ
γει πεσεῖν τὸ παλλάδιον, ἄσιον δέ τινα φιλόσοφον μα
θηματικὸν ποιῆσαι ὡροσκόπον καὶ λέγει ἀπόρθητον — .:. γρ. καὶ λέξαι
εἶναι τὴν πόλιν ἐκείνην ἔνθα ἂν τοῦτο μένῃ πεφυλαγ
μένον καὶ ἄσυλον, χαρίσασθαι δὲ τὸ τοιοῦτο παλλάδιον
τῷ τρωΐ. ἀπολλόδωρος δὲ λέγει μετὰ τὸ κτίσαι
ἶλον τὴν ἴλιον τῇ βοῒ ἀκολουθήσαντα εὔξασθαι ἰδεῖν
σημεῖον καὶ τότε ἰδεῖν τὸ παλλάδιον ὃ τρίπηχυ ἦν τῷ
μεγέθει τοῖς δὲ ποσὶ συμβεβηκός, τῇ δεξιᾷ δόρυ ἔ
χον, τῇ λαιᾷ ἠλακάτην καὶ ἄτρακτον. φησὶ γὰρ ἀθη
νᾶν παρὰ τῷ τρίτωνι τρέφεσθαι ᾧ θυγάτηρ ἦν παλλὰς
ἀμφοτέρους διδασκάλους τὰ κατὰ πόλεμον εἰς φιλίαν
ἐλθεῖν μελλούσης δὲ πλήσσειν τῆς παλλάδος φοβηθεὶς ὁ
ζεὺς ἀνέτεινε δὲ τὴν αἰγίδα, πληγεῖσα ὑπὸ τῆς ἀθηνᾶς
πίπτει. ἀθηνᾶ δὲ περίλυπος γενομένη ξόανον ἐκείνης
ὅμοιον κατασκευάσασα περιέθετο τοῖς στέρνοις ὃ λέγου
σιν αἰγίδα, καὶ ἐτίμα ἱδρυσαμένη παρὰ τῷ διΐ. ὕστε
ρον δὲ ἠλέκτρα τοῦτο προσεγγίσασα ἔρριψεν εἰς τὴν
ἴλιον τῆς μισονύμφου τοῦτο δῆλον ὅτι ἡ τιμῶσα παρ

θεῖαν

τὰς νυμφευθείσας μισεῖ. διαφέρει δὲ παρθένος καὶ κόρη καὶ
νεᾶνις πρὸς νύμφην, γυναῖκα, καὶ γραῦν. παρθένος μὲν
παρθένος — λέγεται ἡ μὴ γευσαμένη συνουσίας ἀνδρῶν. νύμφη
νύμφη — δὲ ἡ νεωστὶ ζευχθεῖσα, μήπω δὲ τετοκυῖα. γυνὴ δὲ
γυνή — γρ. ἡ ἤδη ἀφθοροῦσα τὸ τίκτειν — ἡ γονῆς δεκτικὴ καὶ τίκτουσα. γραῦς δὲ ἡ διαφθείρασα τὸ
γραῦς — τίκτειν. Λαφρία ἐπίθετον τῆς Ἀθηνᾶς ἤτοι λαφυρεί-
α ἡ ἄγουσα τὰ ἐν πολέμῳ λάφυρα καὶ ἐν συγκοπῇ
Λαφρία — λαφρία. ὅμοιον δ' ἐστὶ τῷ ἀγελεία ἡ ἄγουσα λάαν
ἀγελεία — πυλάτιδος καὶ τοῦτο συμβολικὸν ἐπίθετον τῆς Ἀθηνᾶς
ἐν ταῖς πύλαις γὰρ αὐτὴν ἔγραφον τῆς πόλεως καὶ τῶν οἰ-
γρ. ἄρεα — κιῶν, ὡς ἐν προαστείοις τὸν Ἄρεα συμβολικώτερον
Patrona virgo apud catullū — ὑποτιθέμενοι ὡς ἐν ταῖς πόλεσι καὶ ταῖς οἰκίαις χρὴ
συμβουλῆς καὶ φρονήσεως αὐτοῖς, ἐκτὸς δὲ τοῦ ὑπὲρ τοῦ
τῶν ἀμύνασθαι τοὺς πολεμίους. τὸ φάσσα καὶ τόρ-
γος. οἰνὰς καὶ ἄρπη. ἐρρέθησαν. / ἡ πολλὰ αὐδάξασα
ἡ ἐπικαλεσαμένη ἀρωγὸν ταρρωθὸν ἢ βοηθὸν τῶν
γάμων. τουτέστιν ἀποδιώκτριαν τῶν ἐμῶν βιαίων γάμων
τῶν ἐκ τοῦ Λοκροῦ Αἴαντος. τὴν κόρην ἤτοι παρθένον
γρ. αἴθυιαν ut paulo post — Ἀθηνᾶν καὶ βούδειαν καὶ αἴθυιαν. μυθικῶς δέ τινα δοκοῦν-
τες τὴν Ἀθηνᾶν ἐκείνης ἐπίθετα ταῦτα λέγουσιν. ἡ δὲ
φρόνησις Ἀθηνᾶ ἐπίθετα ταῦτα κέκτηται. βούδεια
βούδεια — γὰρ ἡ φρόνησις ὅτι τοὺς βόας ἀρότρῳ καὶ ζυγοῖς ὑπο-
δέεται καὶ τέμνει τὰς αὔλακας. ὅτι καὶ πλοῖα ἡ φρόνησις
αἴθυια — κατεσκεύασε καὶ δίκην αἰθυίας ἐδίδαξε τοὺς ἐπ' αὐτῶν
διαπεραιουμένους τὴν θάλασσαν. αἴθυια δέ ἐστιν
λάφρον — ὄρνεον θαλάσσιον, ἀνοῦς ναυτίλλεσθαι ἀφρῷ ἀγλοκό-
αἴθυια ὄρνεον — μενον, οἱ γὰρ παῖδες τῶν ἁλιέων ἀφρὸν τῇ χειρὶ λαμ-
βάνοντες πόρρω πρὸς τὴν θάλασσαν ῥιπτοῦσιν, εἶτα
ἐγγὺς καὶ ἐγγυτέρω ἕως ἐπ' αὐτὰς αὐτῶν τὰς χεῖρας ἐλ-
θούσας ἀγρεύουσιν. ἡ δ' ἐς τέρεμνα ἐκείνη δὲ ἡ
Ἀθηνᾶ εἰς τὰ στέγη ἀναβλέψασα τοὺς ὀφθαλμοὺς ταύ-
τα

λέγει καὶ ὀρσιαθῶναι τῶν στρατῶν, ὅμηρος δὲ ἀθηνᾶν ὀρσιαθῆσο
τότε τὸν ἀέρα, καλεῖ. ἐναντίον γὰρ πνευσάντων ἀνέ
μων ὁ τῶν ἑλλήνων στόλος ἐφθάρη ἐξ οὐρανοῦ πεσοῦσαν
οἱ μὲν οὕτω μυθικῶς φασὶν ἀντὶ ζωὸς ἐξ οὐρανοῦ πεσόν
τοῦτο. ἐγὼ δὲ τοῦτο πεσὸν ἀλληγορικώτερον φημί· ὡς γὰρ
πρόσωπον ἄστος τις μαθηματικὸς φιλόσοφος ὡροσκο
πήσας καὶ ἀστρολογήσας καλῶς, τοῦτο παρεσκεύασεν εἰς
ἀπόρθητον εἶναι τὴν πόλιν τὴν ἄσυλ τοῦτο φυλάττουσαν
ὅθεν διὰ τὴν ὡροσκοπίαν καὶ τὸ ἀστρολόγημα, ἐμυθεύσαντο
ὡς ἐξ οὐρανοῦ καταπεσόντος.

ἐξ — περὶ τοῦ παλλα
δίου. ὡραῖον

ἑνὸς δὲ λώβης ἀντὶ μυρίων τέκνων
ἑλλὰς στενάξει πᾶσα, τοὺς κενοὺς τάφους
οὐκ ὀστοθήκας χοιράδων δ᾽ ἐφημένους
οὐδ᾽ αἰθάλην κεύθοντας ἐκ πυρὸς τέφρης,
κρωσσοῖσι ταρχυθεῖσαν ὡς φθιτῶν θέμις
ἀλλ᾽ οὔνομ᾽ οἰκτρὸν καὶ κενηρίων γραφὰς
παίδων τε καὶ θρήνοισι τοῖς ὁμευνίδων

ἑνὸς δὲ λώβης. ἀντὶ τῆς ἁμαρτίας τοῦ αἴαντος τοῦ λο
κροῦ ἡ ἑλλὰς πᾶσα στενάξει θρηνοῦσα τὰ ψευδοτάφια
τῶν ναυαγησάντων ἑλλήνων. ἤγουν τοὺς ναυαγήσαντας ἕλληνας,
οὐκ ἐνταφίοις κειμένους ἀλλ᾽ ἐπὶ θαλασσίων πετρῶν, οὐδὲ
φυλάσσοντες τέφραν τῶν ἑαυτῶν λειψάνων ἐκ πυρός,
ἐν λάρναξι τεθαμμένους ὡς νόμος τὸν ἀεὶ ξένοις θνησκόν
των νεκρῶν ἀλλὰ φυλάσσοντες ὄνομα ἐλεεινὸν καὶ ψευδοτα
φίων ἐπιγραφὰς δεχομένας τὰς ἐπιγραφὰς τῶν τάφων
ἤγουν τοῖς τῶν πατέρων αὐτῶν θερμοῖς δάκρυσι καὶ παίδων
καὶ ἐν τοῖς τῶν γυναικῶν τῶν τεθνηκότων δηλονότι θρήνοις. λώ
βη τῆς φασὶν ὅτι ὁ λοκρὸς αἴας ἐν τῇ ἁλώσει τῆς τροίας κα
ταφυγοῦσαν τὴν κασάνδραν ἐν τῷ ναῷ καὶ τοῦ παλλαδίου

1.

τῆς Ἀθηνᾶς ἐχομένην ἀποσπάσας καὶ αὐτόθι ταύτῃ συνεγένετο. ὀργισθεῖσα δὲ ἡ Ἀθηνᾶ τοῦτον ἐν τῇ θαλάσσῃ σὺν πολλοῖς ἑτέροις ἀπώλεσεν. οὕτω μὲν οἱ πολλοί φασιν. τὸ δ᾽ ἀληθὲς οὕτως ἔχει, καταφυγοῦσαν αὐτὴν ἀποσπάσας τοῦ ναοῦ καὶ ἔσχεν αὐτὴν λάφυρον καθάπερ ἑταίρας οἱ πολλοὶ στρατιῶται ἃς ἔφθασεν ἕκαστος ἁρπάσαι. ἐρασθεὶς δὲ ταύτης ὁ Ἀγαμέμνων τῷ Ὀδυσσεῖ τοῦτο κοινοῦται· ὁ δὲ κηρύσσει ὡς ὁ Αἴας ἐν τῷ ναῷ ταύτῃ ἐμίγη. συνέβη γοῦν ἀφαιρεθῆναι αὐτὴν οὕτως ὑπὸ Ἀγαμέμνονος, μισηθῆναι δὲ καὶ τῷ στρατῷ ὑπὸ τοῦ δολίστου σύρφακος, ὃς νοσῶν δὲ θέλων τὰ αὐτὰ τὴν πρότερον ὡς Ἀχιλλέα ὕβριν ὡς ἀφῃρέθη τὴν Ἱπποδάμειαν Βρισηΐδα, ἔτι δὲ λοιδορηθείς, καὶ τοῦ Παλαμήδους τὸν ἄδικον θάνατον καὶ φοβηθεὶς μήπως καὶ αὐτὸν δόλῳ ἀνέλωσιν, ἐπιβὰς τῆς νεὼς ἐν ἀπορροφόρῳ καὶ χειμερίῳ καιρῷ ἐναντίων ἀνέμων πνευσάντων περὶ τὴν Τῆνον καὶ Μύκονον ναυαγεῖ· ἢ περὶ Ἄνδρον καὶ Τῆνον, καὶ τῆς νεὼς πρὸς τὰς πέτρας λυθείσης μέχρι τινὸς ὁ ἀνὴρ γενναίως νηξάμενος περὶ τὰς Γυραίας πέτρας ἐσώσε, μεγάλων δὲ τῶν κυμάτων ἐπερχομένων συνεχέστερον σὺν αὐτῇ τῇ πέτρᾳ ἀποκοπείσῃ πρὸς τὴν θάλασσαν αὖθις κατενεχθεὶς ἀπεπνίγη. μαθοῦσα δὲ ἡ Λοκρὶς ἅπασα τὸ συμβὰν ἀεὶ χρόνον ὅλον μελανοφοροῦσα τὸν ἄνδρα ἐπένθησε καὶ ἐτησίως ὁλκάδα πληροῦσα θυσιῶν μεγαλοπρεπῶν καὶ πῦρ ἐμβάλλουσα τῇ ὁλκάδι ἐξαρτῶσα ἀρτεμώνιον ἱστίον ἀνθρώπων χωρὶς ἔπεμπε πρὸς τὸ πέλαγος κατακαίεσθαι θυσίαν τῷ ἥρωϊ. /. /.

Ὀφέλτα καὶ Μύρουρε χοιράδων λέπας
σπίλοι τε καὶ ζυχάτα καὶ βραχὺς νέδων
καὶ πάντα Δυρφωσοῖο καὶ διακρίων

De Scelere & naufragio Aiacis oilei

:: rf. Τῆνον ex philostrati heroi[cis]

:: rf. Τῆνον

:: rf. γυραίας ἢ γυράς utroque n. modo appellat homerus ἐν τῷ. Δ. ὀδυσσεί[ας]



ἀρτεμώνιον ἱστίον uelum artemonii. nota pro actibus apostolorum.

:: rf. ἐ... ρας

Γωλοιὰ καὶ Φόρκυνος οἰκητήρια
ὅσων στεναγμῶν ἐκβεβρασμένων νεκρῶν
σὺν ἡμιθραύστοις ἰκρίοις ἀκούσεται
ὅσων δὲ φλοίσβων ῥαχία ἀνεκβάτου
δίναις παλιρρόοισιν ἠχοῦντος σάλου
ὅσων δὲ θύννων ἠλοκισμένων ῥαφὰς
πρὸς τυράννοισι κρατοσιν καταιβάτης
σκηπτὸς κατ᾽ ὀρφνὴν γεύσεται δαινυμένων
ὅταν καρηβαρεῦντας ἐκ μέθης ἄγων
λαμπτῆρα, φαίνη τοῦ ποδηγέτην σκότου
σίντης ἀλουργῶ προσκαθήμενος τέχνη

χοιράδων χοιράδες. σπίλοι. μύρμηκες. τρυχάτα. ῥαχίαι. αἱ ὕφαλοι λεγόμεναι πέτραι. ὀφέλτα καὶ μύχουρε ἀπέστρεψε τὸν λόγον πρὸς τοὺς τόπους, καὶ τὰ ἀκρωτήρια ἔνθα ἔμελλε τὰ τῶν ἑλλήνων ἀπόλλυσθαι ναυάγια. ὦ ὀφέλτα καὶ ζάραξ μύχουρε τῶν χοιράδων καὶ κοίλων πετρῶν. ἤγουν φύλαξ τῶν κοιλοτάτων πετρῶν, ἀντὶ τοῦ ἐστὶν ὦ ζάραξ ὁ ἔχων κοίλας πέτρας. ὁ ὀφέλτης καὶ ζάραξ ὄρη εὐβοίας. ὁ μὲν ὀφέλτης ἀπὸ ὀφέλτου τοῦ καὶ ἀρχεμόρου κληθέντος ὃς ἦν υἱὸς λυκούργου ἱερέως τοῦ νεμέου διός. ζάραξ δὲ ἀπὸ ζάρακος τοῦ υἱοῦ καρύστου. ὁ δὲ αὐτὸς ζάραξ κατὰ φιλώνειν καὶ ἑτέρους καφηρεὺς λέγεται. νῦν δὲ ὁ καφηρεὺς ἰδιωτικώτερον ξυλοφάγος καλεῖται. τρυχάτα καὶ νέδων διρφωσσὸς ὄρη εὐβοίας, ὅτι ὁ ... διεκρίθησαν ὁ ἥφαιστος καὶ ἡ ἀθηνᾶ καὶ ὁ προμηθεύς. ἥφαιστος λέγων μὲν ὅτι καλὸν ὁ ἀνός, ἑρμῆς δὲ ὅτι καλὸν ἡ οἰκία, ἀθηνᾶ δὲ ὅτι καλὸν ὁ βοῦς. τοῦτό φασιν οἱ μῦθοι. Γωλοιαὶ καὶ φόρκυνος αἱ πρὸς τὴν θάλασσαν καταδύσεις

σπίλοι
μύρμηκες
τρυχάτα
ῥαχίαι

ὀφέλτης
ζάραξ

καφηρεύς
ξυλοφάγος

Trychata
Nedō
Dirphossus — Boetie mōtes

Certamē inter uulcanū mercuriū & mineruā.

Φόρκυνος οἰκητήριον ἡ θάλασσα. ὅσων δὲ φώνων πλόκις
μῶν. ἤγουν. καταικοπτόντων τὰς ῥαφὰς τῆς κρατὸς ἐν τοῖς
τηγάνοις. ἤγουν. στέρνοις. ἀπὸ κοινοῦ δὲ ἀκούσατε. τὸν
Καταιβάτην. οἱ ἕλληνες μετὰ τὴν τροίας ἅλωσιν ἀπο
πλέοντες ζοφώδους αὐτοῖς τοῦ ἀέρος καὶ πνευμάτων
καὶ κεραυνῶν γεγενημένων ἀπώλοντο ὡς καὶ Ἀριστεί
δης ἐν τοῖς φησιν ὡς ἀπὸ ἀθηνᾶς λέγει καὶ ζεὺς μὲν
» ὄμβρον καὶ χάλαζαν ἄσπετον πέμψεν ζοφώδη τ' αἰ
» θέρος φυσήματα, ἐμοὶ δὲ δῶσεν πῦρ κεραύνιον λέ
» γει βάλλειν ἀχαίους, ναῦς τε πιμπράναι πυρί, καὶ
» πάλιν ὡς ἀπὸ ποσειδῶνος λέγει. ταράξω πέλαγος
» αἰγαῖον ἁλός. ἀκταὶ δὲ δήλου μυκόνου τε χοι
» ράδες σκύρος λῆμνός τε καφήρειοι τ' ἄκραι πο
» λλῶν θανόντων σώματα ἕξουσι νεκρῶν. Καταιβά
της καὶ σκηπτὸς ὁ κάτω φερόμενος καὶ πληκτικὸς καὶ
ἀφνίδιος κεραυνός. εἴδη δὲ κεραυνῶν πρηστὴρ
πρηστήρ. πῦρος — ὁ καὶ πυρὸς καλούμενος ὃς καταφερομένου τοῦ πνεύ
σκηπτὸς καταιβάτης — ματος καὶ ἐκπυρωθέντος γίνεται, σκηπτὸς δὲ ὁ
καὶ καταιβάτης γίνεται παχυνθέντος τοῦ πυρώδους
ἀέρος πνεύματος. ἀργὸς ὃς διὰ τὴν πάνυ λεπ
ψολόεις κεραυνός — τότητα, οὐ φλέγει μελαίνει δέ. ψολόεις ὁ ἐν τῇ
καύσει ὀλλύων. ἑλικίας δὲ ὁ συστροφὰς καὶ ἕλικας
ποιῶν διὰ μέσον παχύτητος καὶ ὑγρότητος, τῇ πυκ
νότητι τοῦ ἀέρος ἐναλλόμενος. ὅταν καρηβαρεῦ
σιν. ὅταν ὁ σίνης ἤτοι ὁ ναύπλιος ὁ παλαμή
δους πατὴρ φαίνῃ περὶ τὸν καφηρέα, τὸ ἀκρωτήριον
τῆς εὐβοίας λαμπτῆρα. ἤγουν. φανὸν πρὸς τὴν σκότον
ἀγρυπνῶν καὶ καρηβαροῦντας ἐκ μέθης ἄγων τοὺς ἕλλη
νας. λείπει δὲ τὸ. ὡς. ἵνα ᾖ ὡς καρηβαροῦντας, ἀλλὰ
καὶ καλῶς οὕτως ἔχει καὶ γὰρ ὅμηρος οὕτως ἐν ἀδυσσεία
φησί. οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες ἀχαιῶν

ἡ δὲ ἱστορία τοιάδε. Παλαμήδης ὁ ναυπλίου καὶ κλυμένης σοφώτατος ὢν τῶν κατ' αὐτὸν ἀνθρώπων συνέπλευσεν ἐπὶ τροίαν τοῖς ἕλλησι, φθόνῳ δὲ ὀδυσσέως καὶ πεπλασμέναις τούτου γραφαῖς κατηγορηθεὶς ὡς προδώσων τῷ πριάμῳ τοὺς ἕλληνας λιθοβοληθεὶς ἀναιρεῖται, γέγονε δὲ ἐν λεπετύμνῳ ὄρει μεθύμνης ἱερὸν τοῦ ἀνδρός. τότε μαθὼν τὴν τούτου ἀναίρεσιν ὁ τούτου πατὴρ ναύπλιος ἔπλευσε πρὸς τοὺς ἕλληνας καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν, ἄπρακτος δὲ ὑποστρέψας πάντων χαριζομένων τῷ βασιλεῖ ἀγαμέμνονι μεθ' οὗ τὸν παλαμήδην ἀνεῖλεν ὀδυσσεύς παραπλέων λοιπὸν τὰς ἑλληνικὰς χώρας παρεσκεύασε τὰς τῶν ἑλλήνων γυναῖκας μοιχευθῆναι, κλυταιμνήστραν αἰγίσθῳ. αἰγιάλειαν τῷ κομήτῃ σθενελάου. μήδαν δὲ τοῦ ἰδομενέως ὑπὸ λεύκου ἣν καὶ ἀνεῖλε λεῦκος καὶ κλεισιθύραν τὴν θυγατέρα αὐτῆς ἐν τῷ ναῷ καταφυγούσας καὶ δέκα πόλεις τῆς κρήτης ἀποσπάσας ἐτυράννησε, καὶ μετὰ τὸν τρωικὸν πόλεμον καὶ τὸν ἰδομενέα τῇ κρήτῃ καταίροντα ἐξήλασε. ταῦτα πάντα ταῖς τοῦ ναυπλίου γέγονε συσκευαῖς. ὕστερον δὲ ἀκούσας τὴν τῶν ἑλλήνων ἐπάνοδον εἰς τὴν πατρίδα, ἧψε φρυκτὸν ἐπὶ τὰ κοῖλα τῆς εὐβοίας καὶ ὃν φαμὲν καφηρέα, νῦν δὲ ξυλοφάγον καλούμενον ὅπου πλεύσαντες οἱ ἕλληνες ὡς ἂν τοῦ δοκεῖν λιμένα εἶναι διεφθάρησαν. τὰ δὲ ἐπεὶ τὸν παλαμήδην καὶ εὐριπίδης ἐν τῷ δράματι παλαμήδους φησί. ἐκτάνετε ἐκτάνετε τὸν πάνσοφον ὦ δαναοί τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα μουσῶν. χαμπύρα ποδύσειλην σκότου τὸν φρυκτὸν λέγει ὃς κατήγαγεν αὐτοὺς εἰς τὸν ᾅδην, ἔστι δὲ τὸ σχῆμα παραδοξολόγημα. ././.

ἡ παλαμήδους ἱστορία

μοιχεῖαι ἑλληνίδων γυναικῶν

ἐκτάνετε ἐκτάνετε τὸν πάνσοφον ὦ δαναοί

Τὸν δ' οἷα δύστην κηρύλον διὰ στενοῦ
αὐλῶνος οἶστρος κῦμα, γυμνίτην φάγρον
δίπλωκ' μεταξὺ χοιράδων σαρούμενον
Γυραῖσι δ' ἐν πέτραισι τερσαίνων πτερὰ
στάζοντα, πόντου δευτέραν ἅλμην σπάσει
βληθεὶς ἀπ' ὄχθων τῷ ζιονύχῳ δορί
ὧν νιν κολαστὴς δεῖος οὐτάσας λαξεύς
ἀναγκάσει φάλαισι κοινωνεῖν δρόμου
κόκκυγα, κομπάζοντα, μαψαύρας γόμους
ψυχρὸν δ' ἐπ' ἀκταῖς ἐκβεβρασμένον νέκυν
δηλφῖνος ἀκτὶς σηρίου καταυανεῖ
τάριχον ὑμενίοις δὲ ἢ ~~κρ~~ βρύοις σαθρὸν
κρύψει κατοικτίσασα, νησαι κάσις
Δίσκου μεγίστου τάρροθος κυμαιθέως

Τὸν δ' οἷα δύστην· τὸν δὲ ~~σφαλίτην~~ γυμνίτην· ἢ ὅπλιτην φάγρον τὸν λοκρὸν αἴαντα λέγει. ἢ τὸν φάγρον γυμνίτην. ἢ γυμνὸν ποιήσει τὸ κῦμα, διὰ τοῦ στενοῦ αὐλῶνος. ἢ ἐπιμήκους ἁπλέους ὥσπερ εὔκολον μφον ἄρσενα ἀλκυόνα, μεταξὺ τῶν δύο χοιράδων κλυδονιζόμενον ἐν ταῖς γυραίαις πέτραις σωθεὶς ἢ στενὰ ποιῶν τὰ πτερὰ διαβραχθέντα ἐκ τῆς θαλάσσης ἐπιγινώσεται εἰς τὴν θάλασσαν ἀπὸ τῶν ὄχθων ἢ πετρῶν τῇ τριαίνῃ ἢ τῇ βικυμία βληθεὶς τοῦ ποσειδῶνος. ἢ τῆς θαλάσσης συμπεσεῖται ταῖς φαλαίναις ἢ τοῖς λοιποῖς ἰχθύσιν. ὃν ὑπὲρ ἐκριφέντα ὑπὸ τῶν κυμάτων ἡ θέτις θάψει περὶ τὸν βόμον τῷ χαλεπῷ τῆς δήλου. Κηρύλος ὁ ἄρρην ἀλκυών παροξυτόνως διὰ τοῦ η. ἢ ἐστὶ δωρικόν· κήρυλος δὲ διὰ διφθόγγου ἀττικῶς ὥς φησιν εὐφρόνιος. οὐδὲ τὸ κηρύλος ἐπίσης γινώσκει γράφειν

Sepulchrum aiacis oilei

emendo tu τρέμοντα ut infer

Κηρύλος
Κάρυλος

ἡμᾶς τε καὶ ἀττικοὺς καὶ δωριέας, τοὺς δὲ αἰολεῖς δίφθογγον
ἐκφωνοῦντας τὸ πηλεὺς καὶ νηλεὺς καὶ τὰ ὅμοια. πήλευς καὶ
νήλευς λέγουσι καὶ οὐ δίφθογγα γράφουσιν. ἀλλὰ καὶ περὶ
τῶν κηρύλων ἃ φησιν ἀντίγονος λεκτέον. γηράσαντας — περὶ κηρύλων
τοὺς ἄρσενας ἀλκυόνας αἱ θήλειαι βαστάζουσι τοῖς πτε
ροῖς, ὧν δὲ τῇ συνουσίᾳ γηράσαντες οἱ ἄρσενες τε
λευτῶσι. τὸν δὲ ἀνὴρ καὶ τὴν μυθικὴν ἱστορίαν τοῦ κήυ
κος καὶ τῶν ἀλκυόνων [illegible]. Δισσῶν μεταξὺ
χοιράδων μυκόνου καὶ τήνου ἢ ἄνδρου καὶ τήνου. ἢ με
ταξὺ δύο τινῶν χοιράδων περὶ τὰς γυραίας καλουμ
ένας πέτρας καὶ ὅμηρος γυρῇσι μὲν πρῶτα ποσειδά
ων ἐπέλασε. ἡ δὲ τῆνος καὶ μύκονος νῆσοι εἰσὶ τῶν κα — τῆνος μύκονος
λυδνῶν ~~[illegible]~~ διονύχω [illegible] τῇ [illegible] κολαστής ὁ
ποσειδῶν ἤτοι ἡ θάλασσα, ὅτι αὐτός ἐστιν ὁ κολάζων
καὶ τιμωρῶν καὶ σείων τὴν γῆν. λαξεὺς ὅτι τῷ λαομέδον
τι [illegible] ἦμαρ τ[illegible] τεῖχος εὐδμήτοιο πόληος
[illegible] ποσειδῶν καὶ ἀπόλλων μυθικῶς. κό
κκυγα. κόκκυξ ὄρνεον [illegible] ὅμοιον ἱέρακι ὃ καὶ διὰ — κόκκυξ
δειλίαν οὐ συναυλίζεται τοῖς λοιποῖς ὀρνέοις ὁ παρὰ
ῥωμαίοις κούκκος καλεῖται, ἔστι δὲ δύσφωνος. ἢ οὖν
διὰ τὸ μόνιμον παρῄκασε κόκκυγι, ἢ διὰ τὸ φλυα
ρεῖ φησὶν ὅμηρος, φῆ ῥ' ἀέκητι θεῶν φυγέειν λαῖτ
μα θαλάσσης. στόμους λοιδορεῖ, ἐγὼ δὲ στόμους — στόμους
φημὶ τὰς διὰ τοῦ στόματος ὕβρεις καὶ φωνάς. νέκυν
δελφῖνος τὸν νεκρὸν τοῦ αἴαντος διὰ τὸ ἐκβρασθῆναι εἰς
γῆν. ὁ γὰρ δελφὶς γνοὺς ἑαυτὸν τελευτῶντα εἰς γῆν ἐξ — De delphine nota pulchra
έρχεται ὡς ὀππιανός λέγει. αἰθὶς στερίου ἢ στέρους ἢ ἡ
λιακὴ ἡλίου καταχρηστικῶς. στέρος δὲ κυρίως ἀστὴρ
ἐστὶν εἰς ὑπὸ τὸ γένυον κείμενος τοῦ ἀστρῴου κυνὸς
ὃν ἰδιωτικοὶ τὸ τοῦ ὅλου κυνὸς ὄνομα [illegible] κυνάστρον — ∴ γρ. τῷ ὀνόματι — στέρος
∴ γρ. σειρ[illegible] — προσαγορεύουσιν. πῶς δὲ τοῦ στερίου τούτου ἀστέρος

ἐν τοῖς φαινομένοις ἄρατος λέγει· ὀξέα σειριάει καὶ μὲν κα-
λέουσιν οἱ ἄνθρωποι σείριον. Καταυανεῖ· ἢ καυθανεῖ·
καταυανεῖ ξηρανεῖ· αὔω γὰρ τὸ ξηραίνω ψιλοῦται. Κα-
ταυανεῖ δὲ ἀντὶ τοῦ λαμπρυνεῖ τὸ σχῆμα χριστιανικοῦ
καὶ ἀστεϊσμὸς λέγεται τὸ γάρ ἐστι λαμπρυνεῖ τὸν
νεκρὸν χριστιανόν ἐστι. Μυιὸν τὸ κεκολλημένον ἢ ἄλλα
στιαῖς πέτραις ἢ ἐριώδες ἢ βοτανῶδες. βρύον δὲ
τὸ χνοῶδες καὶ πλέον ἐν ὕδασι. Σαθρὸν νῦν τὸ σεσηπό-
μενον. κυρίως δὲ σαθρὸς ὁ ἀσθενὴς ὁ σεσηπότα
τὰ ἄρθρα ἔχων. Νησαίη κάσις· ἡ νησαία, μία τῶν
νηρηίδων Θέτις ἢ νηρέως καὶ δωρίδος τῆς Ὠκεανοῦ θυ-
γατρός. κάσις δὲ νησαία ἡ Θέτις ἐκ τοῦ ἐπιφερομένου
δὲ νοεῖται· φησὶ γὰρ Διὸς κούρη μελισσῶν τάρροθος. οὐκ
ἄλλη δὲ τῶν νηρηίδων τοῦ Διός ἤτοι τοῦ λίθου ση-
λονότι τοῦ Διὸς γέγονε βοηθὸς ἀλλὰ μόνη ἡ Θέτις. δίσ-
κον δὲ ὥς φησιν Ἡσίοδος ἐν τῇ θεογονίᾳ, τοῦ Ὀρφέ-
ως ὑποκλέψας καὶ παραφθείρας θεογονίαν. ταῦτα δέ,
ὅτι ὁ λίθος καὶ ἡ καταπόσις ἀμυθοεργῆ γυναικείας ἔ-
χοντα καὶ τοῦ Διὸς βοήθεια ἡ παρὰ τῆς Θέτιδος ὁππό-
τε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι Ἥρη τ' ἠδὲ
Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων, ὁ δὲ Λυκόφρων μυ-
θικῶς ταῦτα γράφει. Κυναιθεύς· ὁ Ζεὺς ἐν
Ἀρκαδίᾳ τιμᾶται· ἀγρῖται γὰρ καὶ κυνηγετικοὶ οἱ
Ἀρκάδιοι καὶ ἐν ταῖς κυνηλασίαις δὲ καὶ θηρεύουσι
τιμῶσιν αὐτόν

Τύμβος δὲ γ' ἔστω ὄρτυγος πτερουμένης
βέμβων φυλάξει ῥόχθον Αἰσαίας ἁλός
τὴν Κασνίαν δὲ καὶ Μηκιναίαν θεόν.
λυπρὸς παράκτην δεινάεσσι κακορροθῶν
ἡ μὲν παλεύουσα δυσλύτοις εἱργμοῦ βρόχοις

καταυανεῖ

μυιόν

βρύον

∴ π° ✱ ἐκκοπέν

σαθρός

Nesea nereis

Thetis iouis auxiliatrix .

καὶ Φοῖβος Ἀπόλλ nota. nam in homeri exemplaribus nō Φοῖβος Ἀπόλλων sed Παλλὰς Ἀθήνη legitur quā uarietatē notat etiā didymus.

ἔρωτας οὐκ ἔρωτας ἀλλ' ἐρινύων
πικρὰν ἀποσφήλασα κηρουλκὸν πάλην

Τύμβος δὲ Ῥέμων ἡ Λητοῦς ἀδελφὴ ἀστερία φεύγουσα τὴν μίξιν τοῦ Διὸς μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα, καὶ ἔβαλλε τὸ εἰς τὴν θάλασσαν καὶ ἐγένετο νῆσος ἥτις ἀστερία καὶ ὀρτυγία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ καὶ ποιήσαντος αὐτὴν ἔγκυον ἄρτεμιν καὶ ἀπόλλωνα, ζήλῳ τῆς ἥρας μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ ὑποδεχομένης τῆς Λητοῦς πρὸς ἀπότεξιν, κελεύει τῷ Ποσειδῶνι Ζεὺς καὶ ἀνέδωκε ταύτην τὴν νῆσον τὴν ὀρτυγίαν καὶ ἀστερίαν λεγομένην πρότερον κρυπτομένην τοῖς κύμασιν ἔτι δὲ καὶ ὑποφερομένην καὶ ἐκ τοῦ φανῆναι αὐτὴν Δῆλον ὠνόμασε. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ καὶ δάφνης καὶ φοίνικος πρῶτον ἐκφανέντων ἀποτίκτει τὴν ἄρτεμιν πρώτην, ἡ δὲ ταύτην μαιεύεται καὶ τίκτει τὸν ἀπόλλωνα, καὶ ἄρτεμις δὲ τὴν Δῆλον κατέλαβεν ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν. ὄρτυγος πτερουμένης. ὄρτυγα πτερουμένην τὴν Δῆλον εἶπεν διὸ ἐπόνθει περὶ τὴν ἀστερίαν. ἡ δὲ ἔννοια τοιαύτη, ὁ δὲ Ῥέμων ὄνομα χώρας ὁ τύμβος δὲ τοῦ Αἴαντος ὁ Ῥέμων τῆς ὄρτυγος τῆς πτερουμένης ἤτοι τῆς Δήλου φυλάξει τὸν ῥόχθον ἤγουν τὸ Αἰγαῖον ἁλός, τουτέστιν ἀποθανὼν ὁ Αἴας οὐκ ἔτι καὶ δωνισθήσεται καὶ τοῦτο τὸ σχῆμα ἀθριευτισμός ἐστί. ἐν τῷ Ῥέμωνι χώρᾳ Δήλου ὁ Αἴας ὁ Λοκρὸς κεῖται πλησίον Τήνου καὶ Μυκόνου αἵτινες νῆσοι περὶ τὸ Αἰγαῖον πέλαγος κεῖνται. Αἰγαῖον δὲ πέλαγος καλεῖται ὅτι δίκην αἰγὸς κυματοῦται. Καστνίαν τὴν Ἀφροδίτην καστνίαν δὲ τὴν ἀδελφοποιόν. τοὺς γὰρ ξένους ἀδελφοὺς καὶ φίλους τὰ ἐρωτικὰ ποιοῦνται. οἱ γὰρ ἐρῶντες

De insula delo & partu apollinis & dianae

Ῥέμων

Aiacis oilei sepulcrum

Αἰγαῖον πέλαγος τοῦ ...

φωραθέντες λέγουσιν ἀδελφός μου ἢ συγγενής μου ἐστι. με-
λιναίαν δὲ τὴν αὐτὴν διὰ τὸ ἡδὺ τῆς οἰνώσεως. λυπρὸς
παρὰ δὲ ἦν. ἤγουν λυπηρὸς παρὰ τὸν ἄδην. δεννάζει. ἤγουν
ὑβρίζει καὶ τοῦτο χαριεντισμός ἐστι τὸ σχῆμα. ἤγουν μιν
πελεύει ἥτις ἀφροδίτη. ἢ αὐτὸς ὁ ἔρως. μιν. ἤγουν
αὐτὸν ἀγρεύει ἐν βρόχοις. ἤγουν δικτύοις τοῦ οἴστρου
ἤτοι τῆς ἀκολασίας, ὑφ' ἧς ὡς ληροῦσιν ἐν τῷ να-
ῷ τῆς ἀθηνᾶς τὴν κασάνδραν ἔφθειρεν. οἶστρος δὲ ζῶ-
ϋφιόν ἐστι μικρότατον ὃ ἐγγινόμενον ταῖς μασχάλαις
τῶν βοῶν ἢ τοῖς ὠσὶν ἐκμαίνει αὐτοὺς καὶ ἄλλα κατὰ κρη-
μνῶν καὶ θαλάσσης καὶ πυρός. εἰ τύχοι δὲ τοῖς ἰχθύσιν
ὁ οἶστρος γινόμενος ἐξωθεῖ τούτους ἐκ τῶν ὑδάτων
εἰς γῆν. ~~ἀρ~~ ἐριννύων. αἱ ἐριννύες μὲν θηλυκῶς τρεῖς,
δαίμονες τιμωρητικαὶ ὧν τὰ ὀνόματα τισιφό-
νη. μέγαιρα, καὶ ἀληκτώ. καὶ κατὰ μὲν ἡσίοδον καὶ τοὺς
λοιποὺς ἐκ τῶν σταγόνων τοῦ αἵματος τῶν αἰδοίων τοῦ
κρόνου ἐγένοντο, κατὰ δὲ αἰσχύλον ~~νυκτὸς~~ ἐριννύες
νυκτὸς αἱ ἄνευ τέκνα. ταῦτα φησὶ γενέσθαι λέγων ἐκ
τοῦ καλλικόμος γένετο χρυσῆ ἀφροδίτη, μοῖραι τὰ
θάνατοι καὶ ἐριννύες αἰολοδώροι. ἀλληγορικῶς δὲ
ἐριννύες αἱ τιμωρητικαὶ δυνάμεις παρὰ τὸ ἐν τῇ
ἔρᾳ. ἤγουν τῇ γῇ ναίειν ἢ παρὰ τὰς ἀρὰς ἀνύειν. τισι-
φόνη παρὰ τὸ τίνειν τοὺς φόνους. μέγαιρα παρὰ τὸ
μεγαίρειν ἤγουν φθονεῖν τοῖς κακοῖς. ἀληκτὼ παρὰ τὸ
μὴ λήγειν τιμωροῦν τοὺς τοιούτους. κρόνου δὲ καὶ νυκτὸς
παῖδας διὰ τὸ ἀοράτως καὶ ἀφανῶς τὰς ἐκπληκτικὰς ταύ-
τας δυνάμεις ἐπέρχεσθαι

ἅπασα δ' ἄλλη δέξεται κωκυμάτων
ὅσων ἄραιγος αὐτὸς ἢ δὲ σύστρατοι
λῃστήριοι φθίσουσι δωτίου πύλαι

[Margin:] μελιναίαν — οἶστρος — ἐριννύες

[Margin note:] ∴ ἢ καὶ γῆς vel καὶ γαίης. vel potius κρόνου & versus Hesiodi citatus indicat cum dicat illas sorores esse veneris

Ὅτι ὁ μὸς ἔσται κἀχερουσίαν πέρα
ῥηγμῖνα Λαρδοῦ ἐξεναςμένος γάμος
πολλῶν γὰρ ἐν σπλάγχνοισι τυμβευθήσεται
βρωθεὶς πολυστοίχοισι καμπέων γνάθοις
νήριθμος ἐμός, οἱ δ' ἐπὶ ξένοις ξένοι
σποδῶν ῥηγμοὶ δεξιώσονται τάφους

ἅπασα δ' αἶα· συνοπτικῶς φησὶν ὅτι πᾶσα ἡ
Ἑλλὰς στενάξει διὰ τὴν ἐμὴν βίαν ἐν τοῖς γάμοις, πολὺ
γὰρ πλῆθος Ἑλλήνων, τὸ μὲν ναυαγῆσαν βρωθήσεται καὶ
τοῖς θαλασσίοις, οἱ δὲ τοῖς ἀνέμοις εἰς ξένην γῆν ἐ
ξωσθέντες ἐκεῖ θανοῦνται. Ἄραιθος ποταμὸς Ἠπεί — Ἄραιθος πο(ταμός).
ρου ὡς καὶ Καλλίμαχος, αἱ δὲ ῥόχθοισι κρημνοῖς παρ' „
Ἀντύλλ(?) ἴχνος Ἀραίθου. Λείβηθρα πόλις Μακεδονίας „ — Λείβηθρα πό(λις).
ὅθεν ἦν Ὀρφεύς ὥς φησι νῦν ἄγε μοι κούρη Λειβη „
θριὰς ἔννεπε μοῦσα. Δώτιον ἀκρωτήριον ὁμώνυμ „ — Δώτιον
συνάπτον τοῖς Λειβηθρίοις. Πύλας δὲ φασὶν ὅτι εἰς
τὸ στενὸν λέγει τὸ Δώτιον καὶ συγκλείει δίκην πυλῶν
λέγει δὲ ὅτι ὅσην γῆν ἔχουσιν ἐν τῷ μέσῳ Ἄραιθος καὶ
Δώτιον ἔχουσι τὴν πᾶσαν Ἑλλάδα, καθὸ τὸ μὲν Δώτιον
ἐν Μακεδονίᾳ, τὸ δὲ Ἄραιθος ἐν Ἠπείρῳ σχεδὸν τὰ
ἄκρα τῆς Ἑλλάδος οὗτοι οἱ τόποι εἰσὶν ὥσπερ ἡ τῆς ἄρα
ἄποι(?) τῆς Θρᾴκης τὸ Βυζάντιον καὶ τὴν Αἶνον. οὗτοι οἱ — ∴ Αἶνος πόλις Θρᾴκης. Στέφανος.
τόποι θρηνήσουσι διὰ τοὺς ἐμοὺς γάμους. Ἀχερου — Ἀχερουσία
∴ ἐλί(?) σία δὲ λίμνη ἐστὶν Ἡρακλείας(?) τοῦ Πόντου ὡς καὶ ποτα — λίμνη
μνη μὸς Ἀχέρων ὃς νῦν καλεῖται σὺν αὐτῆς(?) ποιητικῶς
δὲ Ἀχερουσία καὶ Ἀχέρων λίμνη καὶ ποταμὸς τοῦ ᾅ
δου παρὰ τὸ ἄχη καὶ θλίψεις ῥέειν τῶν τεθνηκότων
συγγενεῖς. πολλῶν γὰρ ἐν σπλάγχνοισι καμπέων — Κάμπη
ἢ κητῶν τυμβευθήσεται νήριθμος· ἢ ἀναρίθμητος ἐμ(?) — νήριθμος
μος βρωθεὶς ἐν πολυπτύχοις γνάθοις, ἀντὶ τοῦ

Κάμπη καταβρωθῆναι ὑπὸ θαλασσίων θηρίων. κάμπη δὲ
τὰ κήτη

Τὸν μὲν γὰρ ἀμφὶ Στρυμόνος Βισαλτίαν
ἀψινθίων ἄγχουρος ἠδὲ Βισόνων
κουροτρόφον πάγουρον ἠδωνῶν πέλας
κρύψει πρὶν ἢ Σύμφριστον αὐγάσαι λέπας
τὸν πατρὶ πλεῖστον ἐστυγημένον βροτῶν
ὅμαυρον ὅς μιν θῆκε τητήνας λύχνους
ὅτ᾽ εἰς νόθον ζυγῶνος ηὐνάσθη λέχος

Τὸν μὲν γὰρ ἀμφὶ] τὸν μὲν γὰρ κουροτρόφον πάγουρον
λέγει δὲ τὸν Φοίνικα, καὶ τὸν πατρὶ πλεῖστον στυγημέ-
ἢ ὑπὸ νον καὶ μισηθέντα ἀπὸ τῶν βροτῶν. ὅστις ὁ πατὴρ
μιν ἤγουν αὐτὸν ἔθηκεν ὅμαυρον ἤγουν τυφλὸν ὁπότε ηὐνά-
σθη εἰς τὸ νόθον λέχος τῆς ζυγῶνος. ἤγουν ὅτε ἐμίγη τῇ
τοῦ πατρὸς παλλακίδι, τοῦτον ἡ Ἠϊὼν πόλις τοῦ Στρυ-
μόνος. ἡ Βισαλτία ἡ Θρακικὴ ἡ ἄγχουρος ἤγουν
γείτων τῶν ἀψινθίων καὶ Βισόνων οἵτινες εἰσὶν ἔθνη
Θρακικά, πέλας ἠδωνῶν, κρύψει πρὶν ἢ Σύμφρι-
στον αὐγάσαι λέπας ἤγουν ἀκρωτήριον. Ἠϊὼν πόλις
Θράκης ἐπὶ Στρυμόνι ἔνθα τὸν Φοίνικα ἔθαψε Νε-
Φοίνικος τάφος ὀπτόλεμος ἡνίκα ἔπλει ἐπὶ τὴν πατρίδα. ἐπεὶ
δὲ τὴν Ἠϊόνα ταύτην καὶ Ἀθηναῖοι τοὺς Μήδους ἐνίκη-
σαν καὶ ἔστησαν τοῖς νικήσασιν οἱ λοιποὶ Ἀθηναίων
ἑρμᾶς τρεῖς λιθίνους καὶ ἐπέγραψαν. ἦν ἄρα κἀκεῖ-
νοι ταλακάρδιοι οἵ ποτε Μήδων παισὶν ἐπ᾽ ἠόνι Στ-
ρυμόνος ἀμφὶ ῥοάς, λιμόν τ᾽ αἴθωνα κρατερόν τ᾽ ἐπά-
γοντες ἄρηα, πρῶτοι δυσμενέων εὗρον ἀμηχανί-
ην. τούτων δὲ τῶν ἐπιγραμμάτων Αἰσχίνης ὁ
ῥήτωρ μέμνηται. ἀψίνθιοι καὶ Βίσονες ἔθνη Θρα-
κικά

ὅθεν Ἀπολλώνιος περὶ Ὀρφέως λέγει· βιστονίῃ Θρηικίῃς
ἦδεν κάλλης ἀοιδάς. Βίστονος δὲ τοῦ ἀπὸ υἱοῦ Ἄρεως
Βίστονος ἢ καὶ υἱοῦ Τερψιχόρης. πάλουρον δὲ διὰ τὸ
ξηραῖον καὶ σκληρόδερμον τὸν φοίνικα καλεῖ. κουρο
τρόφον δὲ ὅτι παῖδα ὄντα τὸν Ἀχιλλέα ἔτρεφε. κου
ροτρόφον δὲ ἐπὶ παλούρῳ πρὸς ἀντιδιαστολὴν τοῦ πι
ννοτρόφου παλούρου· ἔστι γὰρ πάλουρος μικρὸς ὁ τὴν
θαλασσίαν πίνναν τρέφων καθά φησιν ὁ Ὀππιανός.
Ἠδωνοὶ καὶ Ἠδῶνες Θρακῶν ἔθνη· ἀλλ' ὅμως ἠδῶνες
παρὰ θάλασσαν οἰκοῦσιν, Ἠδωνοὶ δὲ τὴν μεσόγαι
αν. Τυμφρηστὸς πόλις καὶ ὄρος Τραχῖνος ἀπὸ Τυμφρης
οὗ τινὸς βασιλέως. ἢ Τέφραντος υἱοῦ Ἡρακλέους. λέ
γεται δὲ τὸ ὄρος ἀρσενικῶς, ἡ δὲ πόλις θηλυκῶς. ὡς
ὠφωειῶν βουκολίων Τραχινίδου Τυμφρηστὸς αἰπὺς
τῷ πατρὶ κλάζοντες συνηκολούθουν. Φοῖνιξ Ἀμύντορος
παῖς τῆς μητρὸς αὐτοῦ ἱκεσίαις μιγεὶς τῇ τοῦ πα
τρὸς παλλακῇ Κλυτίᾳ ἢ Φθίᾳ, κατά τινας ἐτυφλώθη
παρ' αὐτοῦ, φυγὼν δὲ ὁ Φοῖνιξ ἦλθε πρὸς Πηλέα,
καὶ ὃς ἀγαγὼν αὐτὸν πρὸς Χείρωνα ἐποίησεν ὑγιῆ γενέ
σθαι ὑπ' αὐτοῦ. ταῦτα μυθολογικά, τὸ δ' ἀληθὲς
οὕτως ἔχει, μιχθέντος τῇ παλλακῇ γνοὺς αὐτὸ ὁ πα
τὴρ κατηράσατο μὴ τεκεῖν παῖδας, οὓς καὶ ὀφθαλμοὺς λέ
γει. ὁ δὲ φυγὼν ἦλθε πρὸς Πηλέα, καὶ ὃς ἀγαγὼν αὐ
τὸν εἰς τὰ ἄντρα τοῦ Χείρωνος ἔδειξεν αὐτῷ τὸν Ἀχιλλέα
ἐκεῖ παιδευόμενον, καὶ παρέδωκεν αὐτῷ αὐτὸν εἰπών
ὁ δὲ υἱός σου ἀνατεθείσθω αὐτοῦ τοῦ λοιποῦ καὶ παι
δευέσθω ὡς χρὴ πατέρα φίλον ἀγαπᾶν υἱόν. καὶ τούτου
χάριν ἐμυθεύσαντο ὅτι ἀπεκόμισεν ὁ Πηλεὺς αὐ
τὸν πρὸς τὸν Χείρωνα, καὶ ὃς ἐποίησεν αὐτὸν βλέπειν
πάλιν. ὁ Ὀππιανὸς δὲ τὰ τέκνα φάεος φίλτερα
καὶ βιότοιο λέγει. ὅτι δὲ συμβολικῶς χρὴ νοεῖν τὴν

πάλουρος

πάλουρος πιννοτρόφος

ἠδῶνες
ἠδωνοί

Τυμφρηστός

Φοίνικος ἱστορία, quam late prosequitur homerus in nona iliadis rhapsodia

τύφλωσιν τοῦ Φοίνικος τὸ ἄπαιδα γενέσθαι καὶ οὐχ ὡς οἱ
πολλοί φασι πραγματικῶς· καὶ Ὅμηρος φησὶν ἐμοὶ συνᾴ-
» δων· φησὶ γὰρ λέγων ὡς ἀπὸ τοῦ Φοίνικος πρὸς τὸν ἀχι-
» λλέα· οἷον ὅτε πρῶτον λίπον ἑλλάδα καλλιγύναικα, φεύ-
» γων νείκεα πατρὸς ἀμύντορος ὀρμενίδαο, ὅς μοι παλλ-
» ακίδος περιχώσατο καλλικόμοιο, τὴν αὐτὸς φιλέεσκεν
» ἀτιμάζεσκε δ' ἄκοιτιν, μητέρ' ἐμήν· ἡ δ' αἰὲν ἐμὲ ~~λι~~
» λισσέσκετο γούνων, παλλακίδι προμιγῆναι ἵν' ἐχθή-
» ρειε γέροντα, τῇ πιθόμην καὶ ἔρεξα· πατὴρ δ' ἐμὸς αὐ-
» τίκ' ὀϊσθεὶς πολλὰ κατηράσατο, στυγερὰς δ' ἐπεκέκλετ' ἐ-
» ρινῦς, μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον ~~τὸν~~
» υἱὸν ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ' ἐτέλειον ἐπαράς, ζεύς τε
» καταχθόνιος καὶ ἐπαινὴ περσεφόνεια· καίτοι τοιοῦτον
» φᾶσιν, ἀλλά σε παῖδα θεοῖς ἐπιείκελ' ἀχιλλεῦ
» ποιεύμην ἵνα μή ποτέ μοι ἀεικέα λοιγὸν ἀμύνῃς

Τριττοὺς δὲ ταρχύσουσι κεκάρφου νάπαι
Καύηκας, οὐκ ἄποθεν ἄλεντα ποτῶν
τὸν μὲν μολοσσοῦ κυπέως ~~ἀ του~~ κοίτου κύκν[ου]
σὺν ὃς παραπλαχθέντα θηλας τόκου
ὅτ' ἐς ὀλιώθω δῆριν ἐγκύσας σοφήν
τὸν ἀνθάμιλλον αὐτὸς ἐκ μαντευμάτων
σφαλεὶς ἰαύσει τὸν μεμορμένον πότμον

Καύηκες
ταρχύσουσι
νάπαι
Κέκαφος
ἄποθεν
ἄλης πότ.
Καύηκες

<u>Τριττοὺς δὲ τοὺς καύηκας</u> ἤγουν λάρους, ταρχύσου-
σιν ἤγουν θάψουσιν αἱ νάπαι ἤγουν οἱ σύνδενδροι τό-
ποι τοῦ κεκάρφου. ὁ δὲ κέκαρφος ὄρος κολοφῶ-
νός ἐστι· καὶ οὐκ <u>ἄποθεν</u> ἤγουν μακρόθεν ἀλλὰ δηλονότι
πλησίον τῶν ποτῶν ἤγουν ὑδάτων τοῦ ἄλεντος ποτα-
μοῦ κολοφῶνος. ἄλεντα, καὶ οὐκ ἄλεντος ἐστὶ δωρικῶς.
Καύηκας δὲ αὐτοὺς ὠνόμασε διὰ τὸ ἐκ γήρως λευκοὺς

ἦσαν ὡς οἱ λάροι, κάνης δὲ ὁ λάρος κατὰ Αἰλιανόν, ὡς
φησὶ καὶ Ἱππῶναξ. κνήμων ὁ παντοδάπητος ἄμμονας
κάνης. ἄποθεν τὸ πο μικρὸν γράφεται, οὗτοι δὲ
ἀγνοήσαντες τὸ μεῖζον μετὰ τοῦτο γράφουσι. τὸ δασὺ
δὲ τοῦτο γίνωσκε ὅτι ἐκτείνειν δύναται ὅτε βούλεται ὁ
στιχήτης ἴσως τοῦ διπλοῦ, ὡς καὶ πρώην ἔφην σοι καὶ
παραδείγματα παρ' ἀρχαίων· τρῶες δ' ἐρρίγησαν ὅπως ἴδον ,,
αἰόλον ὄφιν, ἃ δὲ μέτρου τοῦτο νομίζεις, ἄκουσον καὶ
τῶν κατὰ τοῦ Μιμνῆ τοῦ ζωγράφου χωλῶν ἰάμβων
Ἱππωνακτείων στίχων. Μιμνῆ κακομήχανε μηκέτι, ,,
γράφης ὄφιν, τριήρεος ἐν πολυστίχῳ ἀπ' ἐμβόλου φεύ- ,,
γοντα πρὸς κυβερνήτην. αὕτη δὲ αὐτὴ συμφορή τε ,,
καὶ λυδῶν νικαύτη καὶ σίνωνι τῷ κυβερνήτῃ ἢν αὐτὸν ,,
ὄφις τὸ ἀνακνήμιον δάκῃ. ἰδοὺ τὸ ο μακρόν ἐστιν
ἐκτανθὲν ὑπὸ τοῦ φ δασέος, ὡς καὶ ἕτερα μυρία εὑ-
ρήσεις σκοπῶν, οὕτω καὶ τὸ ἄποθεν μικρὸν ὂν μα-
κρὸν λογίζεται τῇ τοῦ θ ἐκτάσει, οἱ δὲ τῶν μέτρων ἀ-
μαθεῖς μετὰ τοῦτο γράφουσι καὶ οὐδὲ ἴσασιν ὅθεν
μέγα ἐστί, σὺ δὲ ἢ μετὰ τοῦτο γράφε κἂν λέγε
ὅτι ἐκτάσει ἀττικῇ μέγα γράφω ὡς τὸ δώτης,
δώτης. / Τοῦ μὲν μολοσσοῦ ἐπῶν ζῆτε νῦν λέγε
ἕνα ἕκαστον καὶ πρῶτον τὸν Κάλχαντα. μολοσσοῦ κυ-
πέως καὶ κοίτου ἐπίθετα Ἀπόλλωνος. μολοσσοῦ
μὲν ὅτι ἐν Μολοσσίᾳ τιμᾶται, κυπέως τοῦ δίκην ἱ-
ματίου ζωννύοντος ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ, κυπὰς
δὲ τὸ ἱμάτιον λέγεται, κοίτου σπερμογόνος ὁ ἥλιος
καὶ συνουσίας αἴτιος ὡς καὶ ζωογόνος. κύκνον τὸν Κάλ-
χαντα, διὰ τὸ γηραιὸν καὶ μαντικόν, καὶ γὰρ οἱ κύκνοι προ-
γινώσκουσι τὴν ἑαυτῶν τελευτὴν καὶ λιγυρώτερον τότε
ᾄδουσι μέλος, ὡς που μέμνηται Αἰσχύλος λέγων· /
κύκνου δίκην τὸν ὕστατον μέλψασα θανάσιμον

ἄποθεν

τὸ δασὺ ἐκ-
τείνειν δύναται

τοῦ ὄφις. τὸ
ο μακρ(όν)

ἐκτάσεις ἀττική
Δώτης
δώτης

μολοσσός
Κυπεύς
Κοῖτος
Κυπάς

περὶ τῆς τῶν κύκ-
νων προγνώσεως

Aglaie & apollinis f.
thestor pater calchantis

συὸς παραπλαγχθέντα. Ἀγλαΐας καὶ Ἀπόλλωνος θέ-
στωρ, οὗ Κάλχας· ᾧ χρησμὸς ἐδόθη ἀποθανεῖν ἐπὰν
κρείττονι αὐτοῦ ἐντύχοι μάντει, μετὰ δὲ τὴν πόρθη-
σιν τῆς Ἰλίου αὐτὸς ὁ Κάλχας καὶ ἕτεροι Ἀμφίλοχος λε-
οντεὺς πολυπάρκης πολυποίτης ἐν Ἰλίῳ λιπόντες τὰς
ναῦς αὐτῶν εἰς Κολοφῶνα πεζοὶ πορεύονται κἀκεῖ θά-
πτουσι Κάλχαντα. ὑποδεχθέντα γὰρ παρὰ Μόψῳ
μάντει υἱῷ Ἀπόλλωνος καὶ Μαντοῦς, συκῆς ἑστώσης
ἤρετο Κάλχας τὸν Μόψον πόσους ὀλύνθους ἡ συκῆ
φέρει· ὁ δὲ Μόψος ἔφη μυρίους καὶ μέδιμνον καὶ ἕνα
περισσὸν καὶ μετρήσαντες εὗρον οὕτως. Μόψος δὲ ἠρώ-
τησε Κάλχαντα περὶ ὑὸς ἐπὶ τόκου ἑστώσης πόσα
κατὰ γαστρὸς ἔχει καὶ πότε τέξει. τοῦ δὲ μηδὲν φθεγξαμέ-
νου αὐτὸς εἶπε δέκα χοίρους ἔχειν ὧν ὁ εἷς ἄρρην,
τέξεται δ' εἰς αὔριον, τῶν γενομένων Κάλχας ἀθυμήσας τε-
λευτᾷ. φῆλιξ, ὄλυνθος, σῦκον, καὶ ἰσχὰς
διαφέρει· φῆλιξ τὸ ἄγριον σῦκον λέγεται. ὄλυνθος
τὸ ἥμερον μὲν ἄωρον δέ. σῦκον τὸ ὥριμον. ἰσχὰς
τὸ ξηρανθέν.

Calchantis histo
ria & eius mors

φῆλιξ
ὄλυνθος
σῦκον
ἰσχάς

τὸν δ' αὖ τέταρτον ἐγγόνων Ἐρεχθέως
Αἴθωνος αὐτάδελφον ἐν πλαγίαις γραφαῖς
γρῖνον δὲ τοῦ μόσσυνας ἐκτίσαντος ποτὲ
γέρρων δικλῆ βουσκαφήσαντος γόνον,
ὃν Γογγυλάτης ἠδὲ Βουλαῖος Μυλεὺς
ἐσφηλάτωσε μάστιγι συνθραύσας κάρα
ἥλοις ξυναίμους πρὸς δὲ νυκτὸς κόρας
πρὸς αὐτοφόντην ἀρχὴν ἔπλησαν μόρον

τὸν δ' αὖ τέταρτον. δεύτερον φησὶν πῶς φησὶ
τέταρτον; καλῶς ἔχει τὸ τῆς γραφῆς, σκόπει ἀνω-
τέρω.

ἅπτει καὶ τοὺς ἐφεξῆς φάσκουσι τοῦ κινύρου· τὸν ἐλέγχοντα π- :τ. ἄν
ρῶτον ἄνω ἀπομνημ νῦν δὲ τὸν δεύτερον τὸν τέταρτον κέν-
ναν ἥκοντα, ἀπὸ τοῦ διὸς λυκτίδε τὸν ἰδομενέα. Διὸς
καὶ εὐρώπης μίνως ῥαδάμανθυς καὶ φοῖνιξ. μίνωος καὶ πα-
σιφάης τοῦ ἡλίου δευκαλίων. Δευκαλίωνος δὲ καὶ κλ-
εοπάτρας ἰδομενεύς. ψεύδεται δὲ περὶ ἰδομενέως Error lycophro-
λέγων αὐτὸν σὺν τοῖς λοιποῖς πλανᾶσθαι. ὅμηρος γὰρ,
ἐν ὀδυσσείᾳ λέγει, πάντας δ' ἰδομενεὺς κρήτην εἰσή- ”
γαγ' ἑταίρους οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ- ”
τιν' ἀπηύρα. ἐν τῇ κρήτῃ ἀπάρας ἀπὸ λεύκου ἢ
ἀμεύκου τοῦ τάλω στασιασάντων καὶ δέκα πόλεις πορ-
θησάντων τῆς κρήτης ἐκβάλλεται. Ἐρεχθεὺς ὁ ζεὺς ἐρεχθεύς ὁ ζεύς
ἐν ἀθήναις καὶ ἀρκαδίᾳ, ἢ διὰ τὸ ὀρέξαι καὶ δοῦναι τὴν
ῥέαν τῷ κρόνῳ λίθον ἀντιδοῦσα, ἢ παρὰ τὸ ἐρέχθω
τὸ κινῶ· δι' αὐτοῦ γὰρ οἱ σεισμοί. Αἴθωνος αὐταδέλ-
φου τοῦ ἰδομενέως. αἴθωνα δὲ τὸν ὀδυσσέα λέγουσι
τινές. οὐκ ἔστι τοῦτο, ἀλλὰ λέγει τοῦ ἐκ πλάσματος αἴ-
θωνος, φλυαρεῖ δὲ καὶ τὸ γράφειν, οὐ γὰρ ἔγραψεν ὁ
ὀδυσσεύς, ἀλλὰ ἀπελθὼν εἰς ἰθάκην ἔλεγεν ἄγνωστος
πλάττων ὅτι αἴθων καλοῦμαι, εἰμὶ δὲ ἐκ κρήτης ἀ-
δελφὸς ἰδομενέως. ζῖλον δὲ τοῦ μόσσωνας ἀπὸ τῶν ἀ-
νωτέρω τοῦ πρώτου καὶ τοῦ δευτέρου οὓς ἀπεμνήσθη μάντεων,
ἐν κολοφῶνι λέγει δὲ νῦν καὶ ζῖλον ὅς ἐστιν ὁ ἀθέντζος ἡνί- ἀθέντζος
οχος γὰρ ἦν καὶ αὐτός, περὶ δὲ τῆς εἰς ἄργος αὐτοῦ ξεν-
σεως ἐν ὀδυσσείᾳ ὅμηρος λέγει. περὶ δὲ διομή-
δους μέλλων ἀναιρεθῆναι ὑπὸ αἰγιαλείας τῆς γυναι-
κὸς φεύγει εἰς δαυνίαν καὶ [illegible] ἀπὸ καλαβ-
ρίαν. μόσσωνες κυρίως τὰ ξύλινα τείχη, νῦν μόσσωνες
δὲ καταχρηστικῶς τὰ τείχη τῶν ἐκτιώνων καὶ τῆς θηβῶν ~~ἐκτ~~
λέγει. οὐκ οἶδα δὲ ὅθεν καλεῖ τοὺς θηβαίους ἐκ- ἐκτίωνες
τίωνας ἀλλ' ἐπεὶ σωφροί τοὺς ἐκτίωνων ποτὲ διεβάλλο-
ντο

Fatetur se ignorare isaacius .1.5.

θηβαῖοι ἀμαθεῖς quod & pindarus in olympijs tangit & themistius in oratione quadã

ὕας, βοιωτί.

γογγυλάτης

βουλαῖος

μυλεύς

γὰρ οἱ θηβαῖοι ὡς κλινώδεις καὶ ἀμαθεῖς ὡς καὶ πίνδαρος
πρὸς τὸν χοιροδιδάσκαλον αἰνέαν φησίν. ἄξε δὴ τοί
νυν τὸ δεύτερον φυλάσσων ἀρχαῖον ὄνειδος βοιωτίαν ὗν
ἄλλος δέ τις ἱστορικός φησιν, ὕαντες ἔθνος βάρβαρον
τὰς θήβας παρῴκησαν, οἱ δὲ ἰδιῶται κατὰ ἰδιωτι
σμὸν παραφθορὰν τοῦ ὀνόματος ἐποίησαν ἀντὶ
δὲ τοῦ εἰπεῖν ὕας βοιωτίους λέγοντες. μέμνηται δὲ τοῦ
ἔθνους τούτου καὶ φρυνίχων ὁ τραγικὸς ἐν δράματι πλευ
» ρωνίαις λέγων· στρατὸς πολὺς μὲν τὴν δ' ἐπεστράφη πο
» δήναντος ὃς γαῖαν ἀρχαῖος λεὼς πεδία πάντα
» καὶ παράκτιον πλάκα ὤκει, μυρίαις φλὸξ ἐλαί
» νυντο θεοῖς. φόνον δὲ τοῦ σκάψαντος ἢ τοῦ σκάψαν
τος ἢ μέλλοντος κατασκάψαι τὰ τείχη τῶν θηβῶν, ὁ
θεὸς ὑπῆρχεν. ὃν γογγυλάτης οὗτινα καπανέα
ἦν καὶ ἐφόνευσεν ὁ ζεὺς ὁ γογγυλάτης διὰ τὸ αἱ γο
γγύλαι ἢ αἱ συνεστραμμέναι χεῖρες κινοῦνται. ὁ
βουλαῖος διὰ τὸ καὶ τὸ βουλεύειν τοῖς ἀνθρώποις ἐξεῖ
ὁ μυλεὺς διὰ τὸ τὰς μύλας ἢ τοὺς ὀδόντας κινοῦ
σιν, ἢ ὁ ἀρτοδότης, ἀπὸ τοῦ μύλης. αἰθαλώτῳ
μάστιγι κεραυνῷ ἢ τῷ αἰθάλην ἐργαζομένῳ ὅθεν φιλω
τέον, ὅτι δὲ αἰθὴ ἡ μυσαρὰ ἐξουλέτης καὶ αἴτιος ὁ
» μυσαρὸς τῶν πάντων φησίν ὡς οἱ μὲν ἄλλοι βουπά
» λαι καθηρῶντο, ἔτι δὲ δῆς τόλμης καπανεὺς καὶ τῆς
αὐτοῦ κεραυνώσεως εὐριπίδης φησὶν ἐν φοινίσσαις
» Καπανεὺς πῶς ἐποίησεν αὐτὸ ἐμαίνετο μακρᾶν
» χέων γὰρ κλίμακος προσαμβάσεις ἔχων ἀχώρει καὶ
» τὸ σὸν δὲ ἐκόμπασε μὴ ἂν τὸ σεμνὸν πῦρ
» εἰργάθη διὸς τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν
» πόλιν καὶ ταῦθ' ἅμα λέγοντες, ἀνεφύσατο ἀντὶ δα
» λίξας δέμας κλίμακος ἀμείβων ξεστῶν κλιμάκων βάθρα
» ἤδη δ' ὑπερβαίνοντα, τειχέων βάλλει κεραυνῷ

η ζεύς νιν ἐκτύπησε δὲ χθών. ἢ μὸς ξυναίμους τοῦ βουσκαφήσαντος τὰς θήβας καὶ τοῦ κεραυνωθέντος κατ᾽ αὐτὴν ποτέ. ἡνίκα καὶ τῆς νυκτὸς θυγατέρες ἐριννύες ὥπλισαν τοὺς ἑαυτῶν ἀδελφοὺς πρὸς. λέγει δὲ τὸν ἐτεοκλέα καὶ πολυνείκην, πρὸς τί ὥπλισαν; πρὸς φόνον καὶ ἐπιθυμίαν αὐτοφόνου μόρου δηλονότι, ἑρμηνευτικὸν τὸ σχῆμα αὐτοφόντην τὰν ὑπ᾽ ἀλλήλων μέλλοντα αὐτοὺς ἀνελεῖν. ἡ δὲ ἱστορία τοιαύτη. Οἰδίπους ὁ λαΐου παῖς ἀνεῖλε τὸν πατέρα ἀγνοίᾳ, ὁμοίως δὲ καὶ τὴν μητέρα ἰοκάστην γήμας ἔσχεν ἐξ αὐτῆς ἐτεοκλέα καὶ πολυνείκην καὶ ἰσμήνην καὶ ἀντιγόνην. ὅθεν ἐτεοκλῆς καὶ πολυνείκης καὶ ἀδελφοὶ καὶ υἱοὶ ἦσαν οἰδίποδος, ἀναγνωρίσας δὲ τὴν μητέρα ἑαυτοῦ ἐτυφλώθη, αὐτὴ δὲ ἡ μήτηρ ἀγχόνῃ διώλετο, ἐτεοκλῆς δὲ καὶ πολυνείκης περὶ τῆς βασιλείας μαχόμενοι ἑαυτοὺς ἀνεῖλον, ὁ μὲν ἐτεοκλῆς θηβαίων σὺν συμμάχων ὁ δὲ πολυνείκης μετὰ τῶν ἀργείων πορθῶν αὐτούς, μεθ᾽ ὧν καὶ ὁ κεραυνωθεὶς καπανεύς.

ἑρμηνευτικὸν σχῆμα

Οἰδίποδος ἱστορία

Λοιοὶ δὲ ῥέθρων πυράμου πρὸς ἐκβολαῖς
αὐτοκτόνοις σφαγαῖσι δηραίνου κόνις
δηωθέντες αἰχμάσουσι λοισθίαν βοήν
πύργων ὑπὸ πτέρνησι παμφίλου κόρης
αἰπὺς δ᾽ ἀμφοῖν ὄχμος ἐν μεταιχμίῳ
μέγαρσος ἀγνὸν ἡλίου σταθήσεται
ὡς μὴ βλέπωσι μηδὲ νερτέρων ἕδρας
δισσοὶ φόνῳ λουσθέντες ἀλλήλων τάφους.

Λοιοὶ δὲ ῥέθρων πυράμου πρὸς ἐκβολαῖς αὐτοκτόνοις σφαγαῖσι. λοιγοὶ δὲ οἱ δύο μάντεις μόψος ὁ υἱὸς ἀπόλλωνος καὶ μαντοῦς τῆς τειρεσίου, καὶ ἀλκμαίωνος

ἀμφίλοχος

σήραιον

αἰχμάζω

πλαίναις

Pandionia avis hirundo dicta ab hesiodo politianus in mãto.

μόψου καὶ ἀμφιλόχου ἱστορία

ἀμφίλοχος τοῦ τῆς ἐριφύλης τῆς ἀδελφῆς ἀδράστου τοῦ βασιλέως καὶ ἀμφιαρέως τοῦ μάντεως παιδὸς ~~χρὴ~~ παῖς. οἱ κύνες οἱ μάντεις οἱ γνήσιοι οἱ ἐθάδες τοῦ ἐν σηραίου τόπου ἀνθρώπων τιμωμένου ἀπόλλωνος. αὐτοκτόνοις ἤτοι ταῖς ὑπ' ἀλλήλων σφαγαῖς. δμηθέντες. ἤτοι τεθνηκότες. αἰχμάσουσι ἤτοι πολεμήσουσι τὴν λοισθίαν βοήν. τὸ δὲ [illegible] χρευτισμός, οὐδεὶς γὰρ ἀποθανὼν πολεμεῖ. ἔστι δὲ κακόπλαστον. κακόροπον. κακόζηλον πόλεμον γὰρ ὤφειλεν εἰπεῖν οὐ βοήν, πολεμήσουσι δέ που ὑπὸ ταῖς πλαίναις ἤτοι τοῖς κατωθόποις τῶν πύργων τοῦ μεγάρσου. ἡ μέγαρσος κατὰ [illegible] τὸν τὰ παμφίλου συγγράψαντα θυγάτηρ ἦν τοῦ ἀμφίλου ἀφ' ἧς ἡ πόλις μέγαρσος ἐκλήθη, οὗτος δὲ μετωνυμικῶς εἶπε καὶ ἐπιτύχως τὴν πόλιν ἀντὶ τῆς ἡρωΐδος θυγατρὸς τοῦ ἀμφίλου καλέσας ὡς καὶ ἡσίοδος τὸ ὄρνεον τὴν χελιδόνα πανδιονίαν εἶπεν. ἡ δὲ μέγαρσος πόλις κεῖται πρὸς ταῖς ἐκχύσεσι τοῦ πυράμου ποταμοῦ. Κύνας ἀπόλλωνος τοὺς μάντεις εἶπεν ἀπὸ μεταφορᾶς τοῦ φιλοδεσπότου κυνός ἢ ὅτι τῶν ἀλόγων ἁπάντων μόνος ὁ κύων ἐντεβλέπει πρὸς τὰ ἄρματα. ἡ δὲ ἱστορία τοῦ μόψου καὶ τοῦ ἀμφιλόχου αὕτη, μετὰ [illegible] ἀμφότεροι ἦλθον εἰς κιλικίαν. ἀμφίλοχος δὲ βουλόμενος χωρισθῆναι εἰς τὸ ἄργος παρέθετο τῷ μόψῳ τὴν βασιλείαν ἤτοι τὴν ἱερωσύνην αὐτοῦ κελεύσας φυλάξαι μέχρι ἑνὸς ἐνιαυτοῦ πληρουμένου. τελεσθέντος δὲ αὐτοῦ ἐπῆλθεν ἀμφίλοχος καὶ οὐ παρεχώρει ὁ μόψος διόπερ τούτου πρὸς ἀλλήλους διαφερόμενοι ὑπ' ἀλλήλων ἀνῃρέθησαν, οὓς θάψαντες οἱ ἐνοικοῦντες πύργον μεταξὺ τῶν τάφων κατεσκεύασαν ὅπως μηδὲ μετὰ θάνατον ἀλλήλων κοινωνήσωσιν ὡς

εὐφορείων, πύραμον ἢ μάλλον πόλιν δ᾽ ἐκτίσαντο μάλ
λον· ἧς πέρι διερισθέντε κακοφραδέες ἀλλήλοισι μό
ψος ἀμφίλοχός τε καὶ ἀρκίας διερισθέντες μονομάξ
ἀλλήλοιν πόλιν ἔβαν αἰδωνῆος. οὕτω μὲν οἱ πολλοί
φασὶν ὅτι μετὰ μόψου ἀπῆλθεν εἰς κιλικίαν ἀμφίλο
χος, ἄλλοι δέ φασιν ὡς καὶ ἀπολλόδωρος, ἀλκμαίω
ἀμφίλοχος ὁ ἀλκμαίωνος ὕστερον στρατεύσας εἰς
τροίαν κατὰ χειμῶνα ἀπερρίφη πρὸς μόψον καὶ
περὶ τῆς βασιλείας μονομαχοῦντες ἀλλήλους ἀπέκτει
ναν, ὥς τινες φασὶν ἀμφίλοχος τὸ κληθὲν ἄργος ἄργος ἀμφιλοχικόν
ἀμφιλοχικὸν πλησίον ἀκαρνάνων κατῴκησε.
μέγαρσος πόλις κιλικίας μέσον τοῦ τάφου μόψου καὶ μέγαρσος. σου.
ἀμφιλόχου ἢ μέγαρσος ἀθηνᾶς ἱερόν. ἁλιβρός ἁλιβρός
ὑπὸ θαλάσσης βιβρωσκόμενος ὅθεν ἐμοὶ μᾶλλον τοῦτο δοκεῖ ὄχμος
γράφεσθαι. ὄχμος ὑψηλὸς πύργος αἰνῶν· πῶς αἰνῶν;
ἐπεὶ τῶν ἀλλήλους φονευσάντων τὰ ἠρία. οὐ πρὸς
φονικὸν ἀποβλέψας τοῦτο εἶπεν ἀλλ᾽ ὅτι ἀμφότεροι
μάντεις.

Οἱ πέντε δ᾽ εἰσῴκησαν εἰς κεραστίαν
καὶ σφήκειαν πλεύσαντες ὑλάτου τε τὴν
μορφὼ παροικήσουσι τὴν ζηρυνθίαν
ὁ μὲν πατρὸς μορφαῖσιν ἠλαστρημένος
κυχρέος ἄντρων βωράκου τε ναμάτων
ὄγμος ξύναιμος ὡς ὁ πατρίου φονεύς
πώλου νόθον φύτημα, συγγόνων βλάβη.

Οἱ πέντε δέ· ὁ τεῦκρος τε καὶ ὁ ἀγαπήνωρ καὶ ὁ ἀκά
μας καὶ σὺν αὐτοῖς ὁ κηφεὺς καὶ ὁ πράξανδρος εἰς τὴν
κύπρον ἀποπλανηθέντες οἰκήσουσιν. ὁ μὲν τεῦκρος
ὁ ἐμὸς συγγενὴς διωχθεὶς ὑπὸ τοῦ πατρὸς αὐτοῦ τελα
μῶνος

ὡς μὴ βοηθήσας καὶ ἀμύνας τῷ ἄκαντος θανάτῳ, ὁ
ἀγαπήνωρ δὲ ὁ τοιόσδε καὶ τοιόσδε ἐλθὼν εἰς τὴν κύ
προν χαλκορυχηθεῖσαν, οὗ τὸν πατέρα ὁ καλυδώνιος κά
προς ἀνεῖλε, δεῖτος δὲ ὁ ἀκάμας υἱὸς τοῦ θησέως
τοῦ λαβόντος τὰ ὅπλα τοῦ αἰγέως ἐκ τῆς πέτρας,
οὗ τινος ἀκάμαντος πρέσβεως ἐλθόντος ποτὲ εἰς τροί 16

Λαοδίκη ἐξ ἀκά
μαντος μούνιτον
γεννᾷ

αν διωμένου ἐρασθεῖσα λαοδίκη ἡ τοῦ πριάμου θυγά
τηρ ἐμίγη αὐτῷ καὶ ἐγέννησε τὸν μούνιτον· ὃν μούνιτον
αἴθρα ἡ προμήτωρ ἀκάμαντος θήσασα ἐν ταῖς χερσὶ τούτου
τῆς τροίας πορθηθείσης ἔφησεν αὐτῷ ἰδοὺ ὁ παῖς σου
ὃν μούνιτον συγκυνηγοῦντα ἐν θράκῃ τῷ πατρὶ ἀκά
μαντι ὄφις πλήξας ἀνεῖλε καὶ θρηνοῦσα αὐτὸν λαοδί

φλύαρος λυκό
φρων

κη ἡ μήτηρ ἀποθανεῖται, ἣν ὁ φλύαρος οὗτος λυκό
φρων πρόσω εἶπε πορθουμένης τῆς τροίας χάσματι γῆς
ὑποδεχθῆναι, μέσον δὲ τούτων εἶπε ποιεῖται ἐκ
περιβολῆς περιβολὴν λέγων ὅταν δῶσι αὐτὸν τῷ πατρὶ
ἀκάμαντι αἴθρα, ἣν μέσην ἀπὸ πάντων τῶν ἀττικῶν
ἐδούλωσαν κάστωρ καὶ πολυδεύκης οἱ τοιοῦτοι, οὕς τινας
κάστορα καὶ πολυδεύκην ὁ πατὴρ ζεὺς μὴ ἐθέλῃς βο
ηθοὺς τῇ δευτέρᾳ ἁρπαγέντι ἐγέννησεν. τὸν πρωτεσίλα
ον ἐθέλης μὴ δὲ ἐξελθεῖν οὗτοι ὑπὸ πάντων πλοίων
εἰς τὴν γῆν τῶν τρώων, μὴ δὲ ἐλθεῖν καὶ ὁ λυγκεὺς οὐ γὰρ
μίαν ἡμέραν δαπανήσουσι τὰ τείχη τὰ τρωϊκὰ τὸν πόλε
μον τοῦτον ὑπενεγκεῖν καὶ ἔχουσι προπύργιον τὸν
ἕκτορα. εἶτα ἑαυτὴν ἡ κασσάνδρα παρηγορεῖ καὶ φησὶν
ὅτι καὶ ἐστὶν ἡμῖν βοηθὸς ὁ ζεὺς ὃς φιλονεικίαν ἑαυτοῖς
ἐμβάλῃ ὅταν ὑποδέξωνται τὸν ἀλέξανδρον, οἳ καὶ ἀναιρε

Phoebe
Hilaira

θήσονται ὑπ' ἀλλήλων διὰ τοὺς γάμους τῶν αὐτῶν ἀ
νεψιῶν μαχομένων ἤτοι τῶν ἐξαδέλφων φοίβης καὶ ἰλαείρας
πλὴν μόνος πολυδεύκης, εἶτα ὁ ἴκαρος καὶ ἄλλος γρά
ταῖς βουλαῖς. καὶ τοῦτο μὲν ὁ θεὸς κινάσοι τὸ δόρυ, ἄλλως.

πολὺ πλῆθος τῶν Ἑλλήνων κινίσῃ καὶ ἀσάγῃ, οὓς ὁ σοάνιος
κορέσαι σίτου οἴνου καὶ ἐλαίου. ἅπερ φησὶ καὶ περὶ τῶν
ἑτέρων δύο. Κηφεὺς δὲ ὁ Πράξανδρος οἱ πέμπτοι
ἢ οἱ πρὸς ἀναπλήρωσιν τῶν ξ΄ ὧν ἔπεμψε στρατηγῶν
τέταρτοι δὲ εἰς Κύπρον ἀφίξονται. πρῶτος γὰρ Τεῦκρος,
δεύτερος Ἀγαπήνωρ, τρίτος Ἀκάμας. οὗτοι δὲ οἱ δύο
ὁμοῦ τέταρτοι. Σφήκεια ἡ Κύπρος, πρότερον
γὰρ Σφήκεια ἐκαλεῖτο ὥς φησι Στέφανος ἐν τῷ περὶ
Κύπρου ἀπὸ τῶν ἐνοικησάντων ἐκεῖσε ἀνθρώπων οἳ
ἐκαλοῦντο Σφῆκες. ἐκαλεῖτο δὲ καὶ Κεραστία, ὡς Ξέ-
νανδρος ἐν τῷ περὶ Κύπρου λέγει διὰ τὸ ἐνοικῆσαι
αὐτῇ ἄνδρας οἳ εἶχον κέρατα. ὡς δὲ Ξεναγόρας ἐν
τῷ περὶ νήσων διὰ τὸ ἔχειν πολλὰς ἐξοχὰς ἃς κέρα-
τα καλοῦσι Κεραστία ὠνομάσθη. Σάτραχος ἢ Σέ-
τραχος τῆς Κύπρου πόλις καὶ ποταμός. Ὑλάτου
τε σηκὸν τοῦ Ἀπόλλωνος. Ὑλάτης ἐστὶ περὶ τὸν Κούρ-
ιον τόπος ~~Αἰγύπτου~~ τῆς Κύπρου ἱερὸν Ἀπόλλωνος, ἀ-
φ' οὗ Ὑλάτην τὸν θεὸν προσαγορεύουσι. Μόρφω τοῦ-
το γὰρ τὸ ξόανόν φησι πεποιῆσθαι τῇ Ἀφροδίτῃ ὑπὸ
Λακεδαιμονίου τινὸς νομοθέτου αἰνιξαμένου τὸ μὴ
ἀσχημαίνειν τὰς παρθένους ἢ ὑπάρχεσθαι ταύτῃ τῇ θε-
ῷ. οἱ δὲ Τυνδάρεω φασὶ διὰ τὸ ἀμόρφημα τῆς γε-
νῆς. Ζηρυνθίαν ἐν Θρᾴκῃ ἄντρον ἐστὶν ἐν ᾧ ἡ Ἀφρο-
δίτη τιμᾶται, ἢ ὅτι ἐν Ζηρύνθῳ ἱερὸν Ἀφροδίτης
ὑπὸ Φαίδρας ἱδρυμένον ὅτε ἤρα Ἱππολύτου τοῦ
Θησέως καὶ Ἱππολύτης τῆς Ἀμαζόνος παιδός. Ὁμοῦ
πατρὸς μομφαῖσι. Τεῦκρος πλέων Σαλαμῖνα διωχ-
θεὶς παρὰ Τελαμῶνος τοῦ πατρὸς ὡς μὴ ἀμύνας Αἴ-
αντι, ἐλθὼν ἐν Κύπρῳ Σαλαμῖνα κτίσας ᾤκησε καὶ
γήμας Εὔνην τὴν Κύπρου Ἀστερίαν ἐγέννησε. Κυγχ-
ρέος ἄντρων κυγχρεὺς ἢ κιγχρεὺς Σαλαμῖνος

Margin notes (left): π΄ πότ(α)μου

Margin notes (right): σφήκεια / cyprus — κεραστία / cyprus — σάτραχος — μορφώ — ζηρυνθία ἄντρον — Κυγχρεύς

ἢ Ποσειδῶνος υἱός. ἐβασίλευσε δὲ Σαλαμινίων, ὥς
φησιν Εὐφορίων ἐν Ἱππομέδοντι, τοιόσδε Κυχρεῖος
ἐνὶ ἀμφιρύτῃ Σαλαμῖνι, ἐγὼ δὲ καὶ π. γράφει τὸ Κυχρῆ
ος κἂν πάντες οὐκ οἶδ' ὅπως δίφθογγον τοῦτο γράφω
σι. ἐγὼ γὰρ οὕτω λέγω, ὡς πυλωρὸς πύλαιος οὕτω Κυ
χρῆος. τοῦτον δέ τινες τὸν διφυῆ Κέκροπα φασίν, ἄλ
λοι δὲ ὅτι ὄφις ἐλυμαίνετο τὴν Σαλαμῖνα, καὶ ἀοί
∴ γ ἀνά ξοφις κητον ἐποίει, ὃν ὁ Κυχρεὺς ἀνεῖλεν, ὅθεν καὶ ἀνάξι
φος ἐκλήθη. οὑμὸς ξύναιμος· ὁ ἐμὸς συγγενὴς
Τεῦκρος διὰ τὸ εἶναι αὐτὸν ἐξ Ἡσιόνης τῆς Πριά
μου ἀδελφῆς παρ' Ἡρακλέους δοθείσης τῷ Τελαμῶνι
ὡς συναὐτῷ πορθήσαντι τὴν Τροίαν. ὁπατρίου· τοῦ
ὁμοπατρίου ἀδελφοῦ γράφουσι καὶ λέγουσι, κακῶς φά
ναι τὸν ποιοῦντα· ὁ Αἴας γὰρ καὶ Τεῦκρος ὁμοπάτριοι
οὐκ ἦσαν. ἀλλ' ὁ μὲν Αἴας Ἐριβοίας ἦν παῖς τῆς Πορθά
νος θυγατρός, Τεῦκρος δὲ Ἡσιόνης. ἐγὼ δὲ οὕτω τοί
νυν προσάπτω νῦν τὴν αἰτίαν ἀλλὰ τοῖς μεταγράφ
ουσιν. ὁπατρίου γὰρ εὑρόντες ἀμυδρῶς γεγενημένον
ἀντὶ τούτου ὁμοπατρίου ἔγραψαν. τοῦτο δὲ μᾶλλον αἰ
τιῶμαι τῷ ποιητῇ τὸ εἰπεῖν ὡς φονεὺς, ἀλλ' ὡς μὴ
ἀμύνας ἐδιώχθη ὁ Τεῦκρος. πώλου· τινὲς οὕτω
συντάσσουσιν ὡς φονεὺς τοῦ ὁμοπατρίου πώλου
ἤγουν τοῦ Αἴαντος, ὃ ἐγὼ ὁπατρίου γράφω. ἄλλοι δὲ
μέχρι τοῦ φονεὺς στίζουσι, ἄρχονται δὲ ἀπ' ἄλλης ἀρ
χῆς οὕτω τὸν νόθον γεννηθέντα τοῦ πώλου ἤτοι τοῦ
Τελαμῶνος. / συγγενῶν βλάβη· τῶν ζώων διὰ τὸ
ὁμηρικὸν ὀκτὼ δὴ προέηκα ταναγλώχινας ὀϊστούς
πάντες δ' ἐνὶ χροῒ πῆχθεν ἀρηϊθόων αἰζηῶν τοῦ
τον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα .//

τοῦ λύσαι ἐν ποιμναῖσιν ἀμαρτίαν.

λέοντος ὃν χάρωνος ὠμηστοῦ φορά,
χαλκῷ τορητοὶ οὐκ ἔτευξεν ἐν μάχῃ.
μίαν πρὸς ἅδην καὶ φθιτοὺς πεπαμένον
κέλευθ(ον), ἣν γωρυτὸς ἔκρυψε σκύθης
ἦμος καταίθων θύσθλα κωμύρῳ λέων
σφῷ πατρὶ λάσκε τὰς ἐπηκόους λιτάς
σκύμνον παραιτήσηπων ἄλλα βράσας

Τοῦ λύσσαν ἐν ποίμναισιν ὡς φονέως τοῦ σπαρτίου
αἴαντος τοῦ μανέντος ἕνεκ(α) τῶν ἀχιλλέως ὅπλων καὶ ἀνε-
λόντα τὰ ἑλληνικὰ ποιμνία. ἡ δὲ ἱστορία δήλη. ἐν
νεμέᾳ χώρᾳ τοῦ ἄργους λέων ἦν ἄτρωτος σιδήρῳ καὶ βολαῖς
παντοίαις ὃν ἡρακλῆς συμπλακεὶς ταῖς οἰκείαις χερσί,
σκεπαστηρίῳ τῷ τούτου δέρματι ἐκέχρητο. φίλος δὲ
ὢν τῷ τελαμῶνι ἄπαιδι ὄντι καὶ θύοντι ποτὲ τῷ διΐ
διαπορευόμενος ἐκλήθη ὑπὸ τούτου εἰσελθεῖν εἰς τὴν
αὐτοῦ οἰκίαν καὶ θῦσαι τῷ ἰδίῳ πατρὶ διΐ. οὕτως εἰσελθὼν
μετὰ τῆς λεοντῆς καὶ εὔξασθαι γενέσθαι παῖδα ἄρρενα
αὐτῷ, ἡρακλῆς δὲ λαβὼν χρυσέαν οἰνοδόχον φιάλ(ην)
ἔθυσε καὶ ηὔξατο οὕτως, καὶ μετὰ τὴν εὐχὴν διέπτη ἀ-
ετὸς καὶ φησὶ τελαμῶνι ἔσται σοι παῖς ὃν κάλεσον
ἀετὸν καὶ ἐκλήθη ἀετὸς κατὰ τὸ σύμφωνον καὶ γεννηθέντα
τὸν αἴαντα, ἀετὸν ἐκάλεσε, εἶτα αἴαντα. αὐξηθέν-
τα δὲ τῇ λεοντῇ τοῦτον ἡρακλῆς διεσκέπασε καὶ ~~αὐ~~
ταύτην αὐτῷ ἐχαρίσατο, ὥς φησι σκεπόμενος ὡς λήρου-
σιν ἄτρωτος ἦν πλὴν μόνου τοῦ τόπου κατά τινας τοῦ
σκεπομένου πρώην ὑπὸ τοῦ γωρυτοῦ ὅτε ταύτην ἐφό-
ρει ὁ ἡρακλῆς ὅτε δὲ ὁ αἴας ὑπὸ τοῦ σάκους. ἄλλοι δὲ
φασὶν περὶ ἡρακλείδην εἶναι τὸν αἴαντα. ταῦτα δὲ
λῆρος, οὕτω δὲ ἔχει τὸ ἀληθές. περιδέξιος ὢν στρατι-
ώτης ὁ αἴας καὶ πολλοὺς πολέμους πολεμήσας οὐδέ-
ποτε

Historia de a-
iacis telamo-
nij natiuita-
te & nomi-
ne & quod
erat insauci-
abilis

ἐζώθη τῷ ἀριστατηρῷ ἑαυτὸν καὶ σκέπεσθαι τῷ σάκει·
ἔπειτα δὲ αὐτὸς ἑαυτὸν ἀνεῖλεν τὸ ξίφος κατὰ πλευρῶν
ὤσας ἢ τοῦ βαχήλου ἀσθενῶν(?) ἐτέθη ὅτι τούτους τοὺς
τόπους εἶχε μόνους ζωτούς. Γώρυτος σκύθης τοῦ

Γώρυτος σκύθης

Τευτάρου οὗ πρὶν οὗτος εἶπεν Ἡρακλέα διδάξαι τὰ
τοξικῶν. ἄλλοι δέ φασιν ὅτι Ῥαδάμανθυν αὐτὸν δι-
δάξαι πατρῷον αὐτοῦ γενόμενον. Κώμυρος ὁ Ζεὺς

Κώμυρος ζεύς

ἐν Ἁλικαρνασσῷ τιμᾶται. ἄστα ἤτοι τοῦ φίλου
δωρικῶς, οἱ δὲ σχολαστικοὶ ι γράφουσιν

ἄστας

Οὐ γάρ τοι τί πως φίλην ὡς ὁ Λήμνιος
πρηστὴρ Ἐννυοῦς οὔποτ' ἐς φύξαν βατὴς
ταῦρος βαρύφρων δυσμενεστάτου ξένων
ἔψαυσε δώρῳ σπλάγχνον ἀρνεύσας λυγρὸν
πήδημα πρὸς κνώδοντος αὐτουργοὺς σφαγάς

Οὐ γάρ τι πως ὁ Τεῦκρος τὸν Τελαμῶνα, ὅτι ὁ Λήμνι-
ος. ὁ πολεμικὸς Αἴας, Λήμνιοι γὰρ ὥς φησιν Ἑλλά-
νικος εὗρον ὁπλοποιΐαν, ὁ πρηστήρ. ὁ σφοδρὸς ἄ-
νεμος τῆς Ἐννυοῦς. ἤτοι τοῦ πολέμου, Ἐννυὼ γάρ ἐστι
θετὸν ἥρας. Οὔποτ' ἐς φύξαν βατὴς οὔποτε ἐς
φυγὴν βατὴς ταῦρος βαρύφρων ὡς καὶ Ὅμηρος ἀν
οὐκ ἔθελε μέγας Τελαμώνιος Αἴας. δυσ-
μενεστάτου ξένων δῶρα. μονομαχήσας γὰρ τῷ Ἕκ-
τορι καὶ ἰσορρόπου τῆς μάχης γενομένης φιλιοῦνται,
καὶ ἀλλήλοις διδοῦσι δῶρα, Αἴας μὲν ζωστῆρα διδω-
σι φοινικὶ φαεινὸν μεθ' οὗ Ἕκτωρ ἀναιρεθεὶς ὑπὸ Ἀ-
χιλλέως καὶ δεθεὶς ἐκ τοῦ ἅρματος ἐσύρετο, ὁ Αἴας
δὲ τότε σπάθην ἀφ' Ἕκτορος λαβὼν μετ' αὐτῆς αὐ-
τὸς ἑαυτὸν ἀνεῖλεν ὥς φησι Σοφοκλῆς. Ἀντικλείδης
δὲ ὑπὸ Πάριδος φησὶ τοξευθῆναι καὶ ἀποθανεῖν.

Λήμνιοι εὗρ. ὁπλοποιΐαν

ἐννυώ

Dona mutua aiacis & hectoris

Lemnij arma primi fabricauere

ἕξει δὲ παύρας τῆς Ζαμβήλου κάσιν
ὃν ἡ ζωάγριος πατρὸς ἐκλοχεύεται
δοθεῖσα πρωταίχμια τῷ πυργοσκάφῳ
ἣν δή ποτ' ἐν ῥήξησι δημοτῶν σαφής
γλαυκῷ ~~κελαινῷ~~ κελαινὸν δόρπ' ὤτρυνε κυνί
ἐξέλαι ζιπλὰς θύγατρας ὁ ἀστέρας βαβάξ

μετὰ τὴν ὑφ' Ἡρακλέους ἅλωσιν Τελαμὼν Θεάνειραν τὴν καὶ Ἡσιόνην γέρας ἔλαβεν ὡς ἴστρος ἐν τοῖς συμμίκτοις φησίν. αὕτη δὲ ἐκ τοῦ Τελαμῶνος ἔγκυος γενομένη ἀπέδρα τῆς νηὸς καὶ νηξαμένη ἦλθεν εἰς Μίλητον. ἔτω δὲ ὀνηθεῖσα φημὶ παρὰ Πριάμου βασιλεύοντος τῆς Μιλήτου Ἀρίωνος, ὃς αὐτὴν ἐν ὕλῃ κεκρυμμένην εὑρὼν καὶ τὸν ἐξ αὐτῆς τεχθέντα υἱὸν Ζάμβηλον κληθέντα ἀνέθρεψεν ὡς ἴδιον παῖδα. τῆς δὲ ἐπ' Ἴλιον στρατιᾶς γενομένης Ἀχιλλεὺς εἰς Μίλητον παρεισδύετο καὶ τὸν Ζάμβηλον ἀντιστάντα ἀνεῖλε, θαυμάσας δὲ τὴν ἀνδρείαν καὶ μαθὼν Τελαμῶνος εἶναι ἔθαψεν αὐτὸν δακρύσας ὡς συγγενῆ. / τῷ πυργοσκάφῳ τῷ Τελαμῶνι· ἱστορεῖ γὰρ Ἑλλάνικος ὅτι πρῶτος εἰσῆλθεν, ἀνωμένου δὲ Ἡρακλέους ἐπ' αὐτὸν τὸ ξίφος ὁ Τελαμὼν λίθους ἐπ' αὐτὸν ἐσώρευσε, τοῦ δὲ φαμένου τί τοῦτο Τελαμὼν ἔφη ἐστερφὶν μέλλω βωμὸν Ἡρακλέους Ἀλεξικάκου καὶ οὕτω τῆς ὀργῆς Ἡρακλῆς παύεται καὶ γέρας αὐτῷ τὴν Ἡσιόνην τὴν καὶ Θεάνειραν δωρεῖται. ῥήξησι δημηγορίαις. ἐξέλαι ζιπλὰς θυγατέρας ὁ ἀστέρας. Φοινοδάμας τρεῖς ἔχων θυγατέρας ὑπὸ Λαομέδοντος ἀναγκαζόμενος ἐκθεῖναι αὐτῶν μίαν τῷ κήτει ἐκκλησίαν συναγαγὼν ἐδημηγόρησε δεῖν εἶναι Λαομέδοντα τὸν αἴτιον τοῦ κακοῦ ἐκθεῖναι τὴν θυγατέρα Ἡσιόνην καὶ ἔπεισε τοὺς Τρῶας, διὸ καὶ ἐξετέθη μὲν πρὸς βορὰν τῷ

Ἡσιόνη ἢ Θεάνειρα

Ζάμβηλος υἱὸς Ἡσιόνης

κήτει, ἡρακλῆς δὲ αὐτὴν ἔσωσε ἀνελὼν τὸ κῆτος, τούτου δὲ ἕνεκα μηνίων ὁ λαομέδων τῷ φοινοδάμαντι τὰς ἐκείνου τρεῖς θυγατέρας τισὶν ἐξέδοτο ἐλθόντες εἰς τὴν ἔρημον τῆς λιβύης ἐάσαι αὐτὰς θηροβρώτους γενέσθαι ὧν μιᾷ μιγεὶς ὁ κριμισὸς ποταμὸς εἰκασθεὶς κυνὸς γεννᾷ τὸν αἴγεστην ὃς ἔκτισε τρεῖς πόλεις ἔγεσταν ἔρυκα καὶ ἔντελλαν καὶ αἴγεσταν ἀπὸ τῆς γυναικὸς ἧς ἔτυχεν. γλαυκὰς τῷ κήτει. βάβαξ ὁ ῥήτωρ παρὰ τὸ βάζω τὸ λέγω.

ἔγεστα
ἔντελλα
ἔρυξ

τὸν πᾶσαν ἅλμην πηλοποιοῦντα χθόνα
ὅταν κλύδωνας ἐξερεύγηται γνάθων
λάβρῳ σαλεύων πᾶν τρικυμίᾳ πέδον,
ὃ δ' ἀντίπους σκορπίον λαιμῷ ἀσπάσας
φόρκῳ κακῆς ὠδῖνος ἔκλασε βάρος
χρῄζων πυθέσθαι θεσπάτων ξυμβουλίαν
ὁ δεύτερος δὲ νῆσον ἀτρόλης μολὼν
χθόνιος αὐτόδαιτος ἀκτόρων δρυὸς
λυκαινομόρφων νυκτίμου κρεανόμων
τῶν πρόσθεν μιώνης φηγίνων πύργων ὄχλων
ἀνεσδῶ καὶ τάκρι χεῦμα θαλψάντων πυρὸς
θηκορυχήσει καὶ τὸν ἐκ βόθρου ἀνάσσει
βῶλον δικτύει πᾶν μεταλλεύων γνάθος

πισῶ

ἀντίπους πισῶ ὄρνει θαλάσσης εὐπρεπὴς νῶν δὲ ποιοῦνται οὕτω καλεῖ. σκορπίου δὲ τὸν ἡρακλῆ, κακῆς δὲ ὠδῖνα τὸν ἡρακλέα λέγει ὃν τρεῖς ἦν καθαπιοῦ τὸ κῆτος. ὁ δεύτερος δὲ ἀγαπήνωρ ὁ ἀτρόλης παρόσον ἀρκὰς τὸ γένος ἦν, οἱ δὲ ἠπειρῶται καὶ ἀγρευταί. ἢ ὁ ἄγριος παρόσον ἀγεία τροφῇ ἐχρῶντο οἱ ἀρκάδες ἤτοι βαλάνοις ὡς καὶ παροιμιῶδης

*

χρησμός· πολλοὶ ἐν Ἀρκαδίᾳ βαλανοφάγοι ἄνδρες
ἔασι. Χθονίοις· ὁ τὴν μεσογαίαν τῆς Πελοποννήσου
καὶ Ἀρκαδίαν οἰκῶν· ὡς καὶ Ὅμηρος δείκνυσι λέγων αὐ
τὸς γὰρ σφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων νῆας ,,
ἐϋσσέλμους περάαν ἐπὶ οἴνοπα πόντον Ἀτρείδης ἐπεὶ ,,
οὔ σφι θαλάσσια ἔργα μεμήλει. Ἐκγόνων δρυός· ,,
Ἀρκὰς ὁ Διὸς ἢ Ἀπόλλωνος παῖς καὶ Καλλιστοῦς : Arcas
τῆς Λυκάονος θυγατρός, ὥς φησι Χάρων ὁ Λαμψακη
νός, κυνηγῶν ἐνέτυχέ τινι τῶν Ἁμαδρυάδων νυμ
φῶν κινδυνευούσῃ καὶ μελλούσῃ φθαρῆναι ὑπὸ χει
μάρρου ποταμοῦ ἐν τῇ δρυῒ ἐν ᾗ γεγόνει, ἣν ἡ νύ
μφη καὶ ἀνέτρεψε τὸν ποταμὸν καὶ τὴν γῆν χώματι ὠ
χύρωσεν. ἡ δὲ νύμφη (Χρυσόπολις τὴν κλῆσιν Χρυσόπολις νύμφη
κα τεύμηλον) συνελθοῦσα αὐτῷ γεννᾷ Ἔλατον καὶ Elatus
Ἀμφιδάμαντα, ἐξ ὧν εἰσὶ καὶ οἱ Ἀρκάδες, ὥς φησιν
Ἀπολλώνιος· ὁ γὰρ Δῖος ἐν οὔρεσι δένδρεα τέμν ,,
ων ἄγχι πατρὸς ἑοῖο· τίνεσκεν ἀμοιβὴν ἀμπλακίης ,,
ἣν τότε Ἁμαδρυάδος νύμφης ἀθέριζε λιτάων ,,
ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ, ἢ ,,
ὅτι Ἐλατήνωρ ἀπὸ Δρύοπος ἔσχε τὸ γένος, ὁ δὲ
Δρύοψ υἱὸς Ἀπόλλωνος καὶ Δίας τῆς Λυκάονος, ταύ Δρύοψ
τῃ συνελθὼν ὁ Ἀπόλλων ἔγκυον ἐποίησεν, ἡ δὲ τε
κοῦσα τὸ βρέφος ἔκρυπτε δρυὸς στελέχει, ὅθεν καὶ Δρύ
οψ ἐκλήθη καὶ ἐξ αὐτοῦ Δρύοπες οἱ περὶ Παρνασσοῦ Δρύοπες
ὥς φησιν ἤλιος, δίου Θειοδάμαντος ὃν ἐκ Δρυόπε
σιν ἔπεφνεν. Λυκαινομόρφων· ὁ ζάλος κακ
ῶς ἔφη Λυκόφρων· λυκομόρφων ὤφειλεν εἰπεῖν·
οὐ γὰρ λύκαιναι, ἀλλὰ λύκοι γεγόνασιν οἱ Λυκάονος
παῖδες κατὰ τοῦτον. ἡ δὲ ἱστορία τοιαύτη —
Πελασγὸς ἦν παῖς τοῦ Διὸς καὶ Νιόβης, οὗ Λυκά
ων ἦν παῖς ἐκ Μελιβοίας κόρης, ἐκ τούτου ἦν Λαπήνιος

ὡς φασιν ἄλλοι. πάλιν οὗτος καταστὰς βασιλεὺς τῶν ἀρκάδων πολλαῖς γάμοις ἐδέξατο πεντήκοντα παῖδας ὧν ἦν μαίναλος πρῶτος σὺν τῷ νυκτίμῳ. καύκων λύκος. φθίος τε καὶ τηλεβόας. αἵμων. μαντίνους στύμφηλός τε καὶ λέτωρ ὀρχόμενός τε καὶ ἕτεροι, οἱ πάντες ὡς ἔφην ἐνίκων ἀσεβείᾳ καὶ ὑπερηφανείᾳ. ζεὺς δὲ ἀπεικασθεὶς ἀνδρὶ χερνήτῃ παραγίνεται αὐτοῖς, οἱ δὲ καλέσαντες αὐτὸν ἐπὶ ξενίᾳ σφάττουσιν ἕνα παῖδα τῶν ἐπιχωρίων, οὗ τὰ σπλάγχνα συμμίξαντες παρέθεντο ἐπὶ τραπέζῃ. ζεὺς δὲ μυσαχθεὶς ~~ἀνέτρεψεν~~ τὴν τράπεζαν ἀνέτρεψεν ὅθεν νῦν ὁ τόπος τραπεζοῦς ἐν ἀρκαδίᾳ καλεῖται. λυκάονα δὲ καὶ τοὺς υἱοὺς κεραυνοῖ πλὴν νυκτίμου τοῦ νεωτέρου, νυκτίμου δὲ τὴν βασιλείαν λαβόντος ὁ ἐπὶ δευκαλίωνος γίνεται κατακλυσμός. λυκαινομόρφους γενέσθαι φησὶ τὸ τέλος ἀντὶ τοῦ ἀρκτομόρφους ἔφη ἀντὶ ἀρκτομόρφων, καλλιστὼ γὰρ ἡ λυκάονος θυγάτηρ σύνθηρος ἦν ἀρτέμιδι. ὁ ζεὺς ἀπεικασθεὶς ἀρτέμιδι συνευνάζεται. ἄρκτον δὲ ταύτην ποιεῖ διὰ τὸ λαθεῖν τὴν πρᾶξιν καὶ ὁ ἀρκὰς ἐγεννήθη, ἐκ ταύτης δὲ μετάγεται εἰς ἄστρα καὶ ἀρκτοφύλαξ. νυκτίμου κρεανόμων καὶ τοῦτο λῆρος τοῦ λυκόφρονος. οὐ γὰρ τὸν νύκτιμον ἐκρεανόμησαν ἀλλ᾽ ἕτερον ἐπιχώριον παῖδα, ὡς φησιν ἀπολλόδωρος καὶ ἕτεροι. τῶν προσελήνης. πρῶτον τοῦτο σκόπει ὅτι τὰ ἐπιρρήματα τὰ τὸ ν ἐφελκυστικὸν ἔχουσι φωνήεντος ἐπιφερομένου συμφώνου δὲ οὐκέτι, ὥσπερ κἀγὼ γράφω· καὶ τούτου ἕνεκεν πολλοῖς τῶν ἀμαθῶν διασυρόμενοι τὸ αὐτῶν ἀφρόνημα προσάπτουσιν ἐμοί. προσελήνης φησὶ νῶν πύργων ἐπεὶ προσέληνοι οἱ ἀρκάδες, ἔφερον τὸ ἔθος πρὸ συνόδου τῆς σελήνης ... ὄντες τάς

τραπεζοῦς πόλις

καλλιστοῦς μῦθος

περὶ τοῦ ν ἐφελκυστικοῦ

βαλάνους, ἢ ὅτι προσέληνοι οἱ ὑβρισταὶ λέγονται προ σελεῖν γὰρ τὸ ὑβρίζειν. ἄλλοι δὲ ὡς μωροὺς αὐτοὺς δια βάλλουσιν ὡς λέγοντας ἀρχαίους εἶναι καὶ τῆς σελήνης πα λαιοτέρους. τὸ δὲ ἀληθινώτερον ἐστι ἀστρολογίαν καὶ ἐ νιαυτοὺ μῆνας, ἰσημερίας καὶ τὰ τοιαῦτα, παρ' ἀρκάδων βασιλεὺς ἢ ἄτλας λίβυς κατὰ ἀπὸ σελήνης τοὺς μῆ νας συλλογισάμενος εὗρε δι' αὐτῆς. ἄλλοι δέ φασιν ὅτι ἀρκάδες θυσίας θεοῖς κατέδειξαν πρῶτον μέν. δεύ τερον ἱππ λευκόν, εἶτα δρυὸς φύλλα, ὅθεν καὶ δυ διὰ πολλοὶ ἐν ἀρκαδίᾳ βαλανοφάγοι ἄνδρες εἰσί.

χαλκωρύχοι: ἐπειδὴ χαλκοῦ μέταλλά ἐστιν ἐν κύπρω λέγει οὖν ὅτι παραγενόμενος ἐξ ἀρκαδίας ὁ ἀγαπή νωρ εἰς κύπρον ὅπου οἱ χαλκωρύχοι εἰσίν, ἀπρεπὲς γὰρ τὸν τοιοῦτον στρατηγὸν γίνεσθαι χαλκωρύχον. τὸ δὲ σχῆμα φασὶ κατὰ σύλληψιν ἢ χαριεντισμόν.

οὗ φῖτυν ἠνάριξεν οἰταῖος γόνυξ
βουβῶνος ἐν τόρμαισι θρυλίξας δέμας,
ἔγω δ' ὁ ~~θ~~ τλήμων οὐ κακῶς μαθὼν ἔπος
ὡς πολλὰ χάλλευς καὶ δεπαστραίων ποτῶν
μέσσω κυλίνδει μοῖρα παλμήτωρ βροτῶν

οὗ φῖτυν τὸν πατέρα. ἦν δὲ ἀγαπήνορος παῖς ὁ ἀγκαῖος. οὗτος ἐπὶ τὸν καλυδώνιον κάπρον ἐξελθὼν ἀνῃρέθη ὑπ' αὐτοῦ. τὸ δὲ πλάτος τῆς ἱστορίας ὅμηρος φησὶ καὶ σωτήριχος ἐν τοῖς καλυδωνιακοῖς λέγων. ὁ δὲ καλυδώνιος σῦς πρότερον πεῖ τὸν ἴτην διαβιβῶν ἦλθεν εἰς αἰτωλίαν ἀρτέμιδος μήνιδι ὅτι οὐκ ἔθυσεν αὐτῇ ὁ οἰνεύς. ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας. βουβῶ νος τόρμαισι ταῖς περιφερείαις τοῦ βουβῶνος στρ ψίψας τὸ σῶμα. βουβῶνα οὐκ ἴσασι ἢ βαρβα ρίζοντος

προσέληνοι
προσελεῖν

χαλκωρυχή
σι.
~~χ...~~

φῖτυς. ὁ πατήρ

ἀγκαῖος

βαρβαρίζων
λυκόφρων

Ignorat isacius quid sit βουβών

θ.2.

Λυκόφρων ψευδής

καὶ φλυαροῦντος τοῦ ἀνδρὸς ἢ ἐμοῦ ἀμαθαίνοντος. νῦν μὲν
οὖν ἐν τῷ βουβῶνί φησι τὸν ἀγκαῖον πληγῆναι, εἶτα κα-
τὰ μικρὸν φησὶ πλήξας ἀφύκτως σφυρόν. ἐγὼ δὲ τὸ ἄκρον σφυ-
ρὸν γινώσκω τὰ περὶ τὸν ἀστράγαλον, ἀλλ' οὐ βουβῶνα σφυρὸν
οὖν οὐ γινώσκω κατὰ τὸν σοφώτατον τοῦτον καὶ ψευδέσ-
τατον ἱστορίας μυθείας λέγοντα καὶ ἑαυτῷ καὶ οὐ μόνον τοῖς ἄλλοις
πολλάκις ἐναντιούμενον ὡς ἔοικεν ἀμαθαίνων. ἐγὼ δὲ
σπήμων λῆρος ἐστὶ τόδε τῷ γεροσαμίῳ ἀγκαίῳ στε-
φηφόρῳ ἐξῆλθε χρησμὸς μὴ πιεῖν ἐξ ἀμπέλου. ὁ
γὰρ ἀγκαῖος οὗτος ἦν ποσειδῶνος καὶ ἀστυπαλαίας τῆς
φοίνικος. ἐφύτευσεν ἄμπελον κατὰ ἀριστοτέλην τὸν πε-
πλοων συντάξαντα, μάντις δέ τις εἶπεν αὐτῷ ὡς οὐ
πίῃ οἶνον ἐκ ταύτης, ὑπονοχήσας δὲ τῆς ἀμπέλου κα-
ρπὸν ἀπέθλιψεν ὁ ἀγκαῖος τὴν σταφυλὴν εἰς ἀγγεῖ-
ον καὶ κύλικα ~~αὐτὸς ἔφη~~ ὡς πιόμενος, καὶ κατεγέλα
τοῦ μάντεως δεικνύων τὴν κύλικα, ὁ δὲ ἔφη πολλὰ
μεταξὺ κύλικος καὶ χείλεος ἄκρου, βοῆς δὲ γενομένης
ὡς συὸς λυμαινομένου τὴν χώραν θεὶς τὴν κύλικα ὁ
ἀγκαῖος ἐξῆλθεν ἐπὶ τὸν σῦν καὶ ἀνῃρέθη, οὗτος δὲ
ὁ λυκόφρων ἐπὶ τοῦ ἀγαπήνορος πατρὸς ἀγκαίου
υἱοῦ ἄκτορος καὶ εὐρυθεμίστιδος τῆς ἀκάστου καὶ καλυ-
δωνίου συὸς τοῦτο ἐδέξατο. ~~Ὁ δ' αὐτὸς~~

Ancęi historia

Ὁ δ' αὐτὸς ἀργῷ τὰς φαληρίων λύθρῳ
σάρκας δεδουπὼς τὸν κτανόντ' ἠμύνατο
πλήξας ἀφύκτως ἄκρον ὀρχηστοῦ σφυρόν

Δεδουπὼς τὸν κτανόντ' ἠμύνατο ἤγουν κτανοῦντα,
ἐστὶ ὡς ἐγὼ γράφω οὕτως συντακτέον. δεδουπὼς, ἤγουν
ἠχῶ φερόμενος τὸν κτανοῦντα, ἢ μέλλοντα κτανεῖν αὐτὸν
ἀγκαῖον ἠμύνατο, ἢ ἐτιμώρησε πλήξας ἀφύκτως

τὸ κατὰ τοῦτον βουβωνόσφυρ(ον) ἐκείνου, τὸ δὲ γράφειν κτείνοντα μωρόν ἐστιν ἀντὶ τοῦ ἀγκαίου, ἐπ' Ἀγκαῖον γὰρ αὐτὸν ἐτόξευσε. Μελέαγρος δὲ τῷ συανοκτόνῳ δόρατι περὶ τὸ μέτωπον πλήξας ἀνεῖλεν, Ἀγκαῖος γὰρ οὐδὲν γενναῖον ἐποίησεν εἰς αὐτὸν ἢ ὅτι ἀναστάς τὸν πέλεκυν πλῆξαι ἂν τὸν ἀνῃρέθη πληγεὶς ὑπ' αὐτοῦ καὶ οὕτω μὲν ὑπ' Ἀγκαίου συντακτέον. ὁ δ' αὐτὸς ὄρθυξ καὶ ὀδοὺς ἤγουν ὁ χοῖρος δεδορκυπὼς(?) καὶ κτανθεὶς τὸν κτανόντα ἤγουν τὸν Μελέαγρον ἡμῶν ἀποπλήξας ἀφύκτως σφυρ(ὸν) ἤγουν τὸν ἀσραγ(?) πόδα τοῦ ὀρχηστοῦ ἢ ταχυτάτου πολεμιστοῦ καὶ οὐχ ὅτι καὶ αὐτὸν ἔπληξεν ὁ χοῖρος περὶ τοὺς πόδας τοῦτο εἶπεν, ἀλλὰ χαριέντως καὶ ἀστείως τοῦτό φησιν ὅτι ἡμῶν καὶ τὸ αὐτὸν δεσμεύσας τοὺς πόδας αὐτοῦ καὶ μὴ δύνασθαι παίζειν διὰ τὸ ~~μὴ δύνασθαι~~ ἀναιρεθῆναι τοιουτοτρόπως. ἄνθρωποι γὰρ σοι(?), τῇ ἀπαγαγόντι τὴν κεφαλὴν τοῦ συός καὶ τὸ δέρας ἀκροθίνιον χαρίζεται. περιλύπους δὲ γενομένους τούτου ἕνεκα τῆς μητρὸς αὐτοῦ ἀδελφούς καὶ ἐχθροὺς αὐτῷ γενομένους ἀνεῖλεν. Ἀλθαία δὲ ἡ τούτου μήτηρ λυπηθεῖσα ἕνεκα τοῦ συμβάντος τοῖς ἀδελφοῖς τὴν πρὶν τῶν μοιρῶν δοθεῖσαν κατέκαυσε ἣν ἐτήρησεν ὡς συστατικὴν οὖσαν τῆς τοῦ Μελεάγρου ζωῆς ἀκεραίαν φυλαττομένην. τινὲς δὲ φύλλα ἴδια ἐλαίας εἶναι καὶ οὐ δᾷδα φασὶν ἣν ἐν τῇ κυήσει φέρουσα τῷ Μελεάγρῳ ἐν τῇ ἐντέχνῳ συνέκτοκε καὶ ἐφύλαττεν ἀκριβῶς ὑπὸ τῶν μάντεων τοῦτο μαθοῦσα ὡς ἐὰν φυλάττοιτο ἡ φυλλὰς ἀβλαβὴς καὶ ὁ Μελέαγρος ἔσται, εἰ δὲ φθαρῇ καὶ ὁ Μελέαγρος συμφθαρήσεται, ταύτην οὖν διὰ τὸ πένθος τῶν ἀδελφῶν κατακαύσασα ἀπῆλθεν ἐν τῷ θαλάμῳ καὶ νεκρὸν εὑροῦσα τὸν παῖδα συναπέκτεινε καὶ αὐτήν. ἐγὼ δὲ οὕτω φημὶ συντάσσειν τὸν κτανόντα κτλ.

∴ γρ. ἢ ὁ σῦς

Fabula apri Calydonii & meleagri mors. ~

∴ τ. τὴν παρὰ τῶν μοιρῶν

∴ γρ. φύλλα / Hesychius φυλλάδες οἱ ξηροὶ κλάδοι καὶ φύλλα ἔχοντες & rursus φυλλὰς ξηρὰ δάφνη καὶ φύλλα ἔχουσα

m. filius τοῦ μάρψαντος & τοῦ ι. thesei. hoc est aramas

ξίφος δὲ τοῦ μάρψαντος ἐκ κοίλης πέτρας
Κήρωρ γίγαντος ὅπλα τοῦ ποτ' εἰς λέχος
λαθραῖον αὐτόκλητος ἰδαία πόρις
ἡ θωσὰς εὐνὴν ἕξεται καταιβάτις
θρήνοισιν ἐκτακεῖσα μουνίτην τόκον

Γεῖτος ὁ Αἰγεὺς ὁ Πανδίονος υἱὸς ἢ Σκυρίου κατά τινας ἢ κατὰ τὸν Λυκόφρονα Φημίου καὶ εἰσποιηθεὶς Πανδίονι, βασιλεύων Ἀθηνῶν γαμεῖ πρῶτον μὲν ταΰδαγαοῦ τὴν ὁπλήτην, δευτέραν Χαλκιόπην τὴν ~~περσέως~~ ῥηξήνορος· ὡς δ' ἀμαχοῦ εὗρον παῖδα ἔσχε γυναῖκα Χαλκιόπην τὴν περσέως, ὡς δ' οὐκ ἐγίνετο τούτῳ παῖς, δεδοικὼς Πάλλαντα, Νίσον, καὶ Λύκον τοὺς ἀδελφοὺς ἔρχεται εἰς Πυθὼ μαντευσόμενος περὶ παίδων καὶ ἐδόθη τούτῳ χρησμός. ἀσκοῦ τὸν προὔχοντα πόδα, ὦ φέρτατε ἀνδρῶν μὴ λύσῃς πρὶν εἰς ἄκρον Ἀθηναίων ἀφικέσθαι. ἀπορῶν δὲ διὰ τοῦ χρησμοῦ παραγίνεται εἰς Τροιζῆνα πρὸς Πιτθέα, τὸν χρησμολύτην, καὶ ὃς μαθὼν αὐτὸν ἐποίησε συγγενέσθαι τῇ θυγατρὶ Αἴθρᾳ, ἐγκύου δὲ τῆς Αἴθρας γινομένης ὁ Αἰγεὺς ὑπὸ κοίλην πέτραν ἔθετο ξίφος καὶ ὑποδήματα, ὥς φησι Πλούταρχος καὶ Καλλίμαχος λέγων. ἔρξα δέ μιν Τροιζῆνι κολουραίη ὑπὸ πέτρῃ θῆκε σὺν ἀρπίδεσσι, καὶ αὐτὸς μὲν ἀποδημεῖ πρὸς Ἀθήνας τῇ δὲ Αἴθρᾳ ἐντέλλεται ἐὰν υἱὸς ἐξ αὐτῆς γεννηθῇ δεῖξαι αὐτῷ τὴν πέτραν καὶ λαβόντα τὸ ξίφος καὶ ἐνδυσάμενον τὰ ὑποδήματα ὅταν αὐτῷ ἐφαρμόσωσι πέμψαι εἰς Ἀθήνας ὃ καὶ ἐποίησεν αὐξηθείς. Κήρωρ υἱὸς γίγαντος φησὶ τοῦ μάρψαντος τὰ ὅπλα δηλ. τοῦ Αἰγέως ἐκ τῆς κοίλης πέτρας. ἡ Κήρωρ. ὁ υἱὸς τοῦ μάρψαντος. ἢ λαβόντος τὰ ὅπλα τοῦ γίγαντος ἤτοι τοῦ Αἰγέως ὁ πρεσβύτιον· ὁ γὰρ Αἰγεὺς Ἀθηναῖος καὶ

[Margin:] ∴ ἴσ. μίαν τοῦ Δαναοῦ ἢ τῶν Δαναΐδων

[Margin:] Αἰγέως ἱστορία

[Margin:] ∴ ἴσ. κολουραίαν ut infra chm. 150·

συγγενὴς ἀπὸ Ἐρεχθέως· τινὲς δὲ τοῦτον καὶ ἕνα τῶν ἀναδο-
θέντων ἐκ τῶν ὀδόντων φασὶ τοῦ δράκοντος τοῦ ἐν Θήβαις.
τὸν ποτ᾽ ἐς λέχος ἀντίπτωσις, ὃν ποτ᾽ εἰς λέχος λα-
θραῖον ἕξεται, τοῦ Ἀκάμαντος δὴ ἡ λάθρα πόρρις
ἡ Λάμπαδις ἤτοι ἡ Λαοδίκη διοχευθεῖσα. καὶ Ἀκάμας
ὁ Θησέως ἐπρέσβευσαν πρὸς τοὺς Τρῶας, ἠράσθη δὲ ἡ
Λαοδίκη ἡ Πριάμου θυγάτηρ Ἀκάμαντος, ἐμίγη αὐτῷ
καὶ ἔτεκεν ~~αὐτῷ~~ υἱὸν Μούνιτον καλυψάντα. φοβουμένη
δὲ δῶκε τὸ βρέφος Αἴθρᾳ τῇ τοῦ Θησέως μητρὶ ἤτοι τῇ
μάμμῃ Ἀκάμαντος ἀναθρέψειν αὐτό· οὔσῃ γὰρ τῇ ξένῃ
ἐν τῇ Τροίᾳ ἡ Αἴθρα ἐξ Ἀθηνῶν ἁρπαγεῖσα παρὰ τῶν
Διοσκούρων δι᾽ Ἑλένην ἔσχεν ~~πάλιν~~ δὲ ἁρπαγείσης τῆς
Ἑλένης ὑπὸ Ἀλεξάνδρου ἑκουσίως συνείπετο καὶ αὐτῇ,
μᾶλλον δὲ ἡ Αἴθρα αὕτη ἔπεισε τὴν Ἑλένην Ἀλεξάνδρῳ
ἀκολουθῆσαι· ταύτῃ οὖν τῇ Αἴθρᾳ τὸν Μούνιτον ἔδω-
κεν ἀναθρέψειν ἡ Λαοδίκη· ἡ δὲ γνοῦσα τὸν υἱὸν αὐτῆς
εἶναι Ἀκάμαντος τὸ παιδίον κρύπτουσα ἀνέθρεψεν,
ἁλούσης δὲ τῆς Τροίας ἀναγνωρισθεῖσα τῷ Ἀκάμαντι
ἀπῆρε μετ᾽ αὐτοῦ κομίζουσα καὶ τὸν Μούνιτον. ἀλλ᾽
ὥς φησιν Εὐφορίων, ἡ δὲ Μούνιτον υἱὸν τίκτει πλανωμένῳ
ἐν ὄρει, ἀλλὰ ἀποθανόντι τε καὶ κυνηγοῦσιν ὀλύνθου ἀ-
γρώσσοντα ... θηριώδης ἔκτανεν ὕδρος καὶ ταῦτα
μὲν οὕτως. ἡ δὲ ἔννοια τοιαύτη· τῶν πάλαι συναπεμέ-
λλον ἀπῆλθεν εἰς Κύπρον ζῆλος ἀπελεύσεται ὁ Ἀκάμας
ὁ τοῦ Θησέως παῖς, τοῦ τὰ ὅπλα λαβόντος Αἰγέως ἐκ
τῆς πέτρας. ὁ γὰρ Ἀκάμας ~~ὁ τοῦ Θησέως παῖς~~ ὀλί-
γοις ναυσὶ προσσχὼν Θρᾳξὶ Βισάλταις καὶ ἐρᾷ τούτου
Φυλλὶς ἡ θυγάτηρ τοῦ ἐκείνων βασιλέως καὶ ὁ πατὴρ αὐ-
τὴν ἐκδίδωσιν ἐπὶ προικὶ τὴν βασιλείαν· Ἀκάμας δὲ
βουλόμενος ἐλθεῖν εἰς τὴν πατρίδα, πολλὰ δὲ δεηθεὶς
παρὰ Φυλλίδος καὶ τῶν ἐκείνης ὀμόσας ἀντιστρέφειν ἐξ-
έρχεται

Ἀκάμαντος ἱστορία

f. ἀφιδνῶν ut paulo post

*

phyllis amavit acamantem. hunc alij demophontē nūcupant

*Nouem uie urbs que postea amphipolis uocata est*

ἡ δὲ φυλλὶς αὐτὸν προπέμπει ἄχρι τῶν καλουμένων ἐννέα ὁδῶν, καὶ δίδωσιν αὐτῷ κυψέλιον, εἰποῦσα ἱερὸν εἶναι μητρὸς ῥέας, καὶ μὴ ἀνοίγειν αὐτὸ εἰ μὴ ὅταν ἀπελπίσῃ τὴν πρὸς αὐτὴν ἄνοδον. ὁ δὲ ἐλθὼν εἰς κύπρον ἐκεῖ κατῴκει· ἡ δὲ φυλλὶς ἀρὰς θεμένη κατὰ ἀκάμαντος ἑαυτὴν ἀναιρεῖ. ὁ δὲ ἀκάμας διὰ χρόνου ἀνοίξας φάσματι κρατηθεὶς αὐτοῦ ἐπὶ τὸν ἵππον καὶ τοῦτον ἐλαύνων ἀτάκτως ἀπόλλυται, τοῦ γὰρ ἵππου σφαλέντος ἐκ τῶν ὀπισθίων ποδῶν καταπεσὼν περιπαρεὶς τῷ ἑαυτοῦ ξίφει. οἱ δὲ ὑπ᾽ αὐτὸν καὶ κατῴκησαν ἐν κύπρῳ.

*Phyllidis Mors*

*Acamantis mors*

*πόρρις*

πόρρις ἢ πόρτις ἢ δάμαλις, ἐκβολὴ τοῦ τ καὶ προσθήκη ἀντ᾽ αὐτοῦ ἑτέρου ρ. πόρρις, ὁ στίχος χωλίαμβος, ὃ πάθος ἐστὶ τοῦ ἰαμβικοῦ μέτρου. οἱ δὲ μεταγράφοντες καὶ αὐτὸς ὁ ποιητὴς λυκόφρων δι᾽ ἑνὸς ρ γράψαντες ἀμαθεῖς γραμματικῆς τέχνης φαίνονται καὶ προσέτι καὶ μετρικῆς ὡς ἁρμόσαντες ὁ χωλίαμβος ἀπὸ τὸ ἰαμβικὸν μέτρον ταπεινοῦ. κρεῖττον δὲ χωλεύειν καὶ σκάζειν τὸν πόδα, ἢ καθολοκλήρως τὸν λόγον εἶναι ἀμαθέστατον. πόρριν ἤτοι δάμαλιν τὴν λαοδίκην λέγει ἡ ζωὸς ἐδύη. φεῦ πῶς λυκόφρων οὐκ ἀκόλουθα γράφεις, ἐναντία συμπλέκων· ἀνωτέρω εἰπὼν ταῖς γραφαῖς μεταχρόνοις, χάνουσα πενθέων ἔσεται διὰ φάρος, λεύσσουσαν τὴν ἀρχίνοιαν συναίμονα τῶν. ἡ χαράδρα συμπεσοῦσα καὶ θανεῖν ὅταν τὸ παγκύπρυρον ἰλίου πέδον ὕπνῳ στρατὸς πέρσειεν ἐν θανοῦσι κράτει, ταῦτα πρὶν εἰπὼν νῦν ἐναντίως λέγεις, τὴν φθάνουσαν πρὶν πεσοῦσαν χαράδρᾳ αὖθις ἀνιστᾷς, καὶ νεκροῖς αὖ τὴν πάλιν θνήσκουσαν ὡς φὴς συμφοραῖς τοῦ μορσίμου θρηνοῦσαν ἀλόγως προσβολαῖς τεθνηκότος.

*Κρεῖττον χωλεύειν καὶ σκάζειν τὸν πόδα, ἢ τὸν λόγον ὁλοκλήρως εἶναι ἀμαθέστατον*

Ὃν δή ποτ' ἀγρώσσοντα, κρηστώνης ἔχις
κτενεῖ πατάξας, πτέρναν ἀργίω βελεῖ
ὅταν τεκόντος αἰχμάλωτος ἐσχάρας
ἡ παμμήτωρ τὸν γνόφῳ τεθραμμένον
βάλῃ νεοσσὸν σκύμνον ἡ μόνη ξυνοῦ
δοῦλον ἀμφήρεσαν ἀκταίων λύκοι
τῆς ἁρπαλδόνης ἀντίποινα, θυάδος
ὧν ὀστράκου στρόβιλος ἐντετμημένος
κόρσην σκεπασταῖ ῥῦμα, φοινίου δορός
τὰ δ' ἄλλα, θριπόβρωτος ἄψαυστα, δόμων
σφραγὶς δοκεύσει θάμβος ἐγχώροις μέγα,
ἃ δὴ πρὸς ἄστρων κλίμακας στόσι δρόμῳ
τοῖς ἡμιθνήτοις διπτύχοις λαμπροῖσιν

ἡ μόνη ξυνοῦ: πυρίθους καὶ θησεύς, ὁ μὲν διὸς υἱὸς ὢν ὁ δὲ ποσειδῶνος φιλίαν ποιησάμενοι ἁρπάσαι συνέθεντο διὸς θυγατέρα. ἁρπάσαντες οὖν τὴν ἑλένην παρέθεντο ἐν ἀφίδναις τῆς ἀττικῆς αἴθρα τῇ πιτθέως μὲν θυγατρὶ μητρὶ δὲ θησέως. Κάστωρ καὶ πολυδεύκης οἱ τῆς ἑλένης ἀδελφοὶ πορθήσαντες τὴν ἀττικὴν αἴθραν λαμβάνουσιν αἰχμάλωτον, ἁρπαλδόνης δὲ πάλιν ὑπ' ἀλεξάνδρου τῆς ἑλένης συναπῆρεν αὐτῇ αἴθρα ἐς τροίαν. ἀκταίων λύκοι οἱ τῶν ἀθηνῶν ἅρπαγες καὶ πορθηταί, λέγει δὲ τοὺς διοσκούρους. ἀκτὴ δὲ ἐκαλεῖτο ἡ ἀττικὴ ἡ ἀπὸ ἀκταίονος βασιλέως ἢ τὸ πλεῖον μέρος τῆς ἀττικῆς ἀκτὴ ἤγουν παραθαλάσσιον ἐστίν. ὧν ὀστράκου ἐρρέθη πάλαι ὅπως ὁ ζεὺς κύκνῳ ὁμοιωθεὶς ἐξ ᾠοῦ τῆς λήδας τούτους γεννᾷ. ὧν ἑκάτερος τὸ ἥμισυ τοῦ ὀστράκου τοῦ ᾠοῦ περὶ κεφαλὴν ἐχρῆτο. στρόβιλος δὲ τὸ περιφερὲς διχότομον τοῦ ᾠοῦ. Κόρσην κόρση κυρίως ἡ μῆνιγξ λέγεται

Helena rapta a theseo

Aethra thesei mater.

ἀκτὴ τὸ πρ. ἡ ἀττική

ἡ μῆνιγξ membranulus cerebri

Κόρση

νῦν δὲ τὴν κεφαλήν φησιν ὡς καὶ ἐμπεδοκλῆς ἐν τῷ
» περὶ νείκους. ὡς πολλῶν μὲν κόρσαι ἀναυχένες ἐβλά
» στησαν. τὰ λέγματα θριπόβρωτος θρὶξ ὁ σκώ
θρὶξ — ληξ ὃς ἐντίκτει τοῖς ξύλοις ὑπὸ θριπῶν βεβρωμέν
οις διὰ τὸ αὐτὰ πολυκέντητα εἶναι. οἱ δὲ νοῦς
μόνον αἴθραν δηλώσαντες καὶ αἰχμαλωτίσαντες ἀν
τίποινα τῆς ἑλένης τὴν αὐτὴν ἀττικὴν ὥσπερ ἐσφ
ραγισμένην θριποβρώτῳ σφραγίδι παραδραμο
ῦνται. οἱ γὰρ διόσκουροι κατὰ θησέως στρατεύσα
ντες ἕνεκα τῆς ἁρπαγῆς τῆς ἑλένης ἐφείσαντο πάν
των ἐν τῇ πόλει πλὴν μόνης τῆς αἴθρας διὸ
διόσκουροι ἄν — θαυμάσαντες αὐτοὺς οἱ ἀθηναῖοι ἄνακτας καὶ θε
ακτες καὶ σωτῆρες — οὺς καὶ σωτῆρας ἐκάλεσαν. ἃ δὴ πρὸς ἄστρων
κλίμακας ἅτινα εὐεργετήματα ἃ δὴ πρὸς
τοὺς ἀθηναίους ἐνεδείξαντο ἀποθεοῦσιν αὐτοὺς καὶ
καταριθμήσουσι τοῖς ἄστροις. οἱ γὰρ δίδυμοι ἐς
τιμὴν τῶν διοσκούρων κατηστερίσθησαν ὡς καὶ
» εὐριπίδης ἐν ὀρέστῃ δι' ἑλένην· ἥδ' ἐστὶν ἣν ὁρᾶτ' ἐν
» αἰθέρος πτυχαῖς, σεσωσμένη τε κοὐ θανοῦσα πρὸς
» σέθεν, ἐγώ νιν ἐξέσωσα κἀπὸ φασγάνου τοῦ σοῦ
» κελευσθεὶς ἥρπασ' ἐκ διὸς πατρός. ζηνὸς γὰρ οὖσαν
» ζῆν νιν ἄφθιτον χρεών, καὶ μετ' ὀλίγον ἑλῶ δ' ἑλένην
:: f. πό — » διὸς μελάθροις πελάσω λαμπρὸν ἄστρων πωλοῦ ::
λον — » ἐξανύσας          τῇ θ' ἡρακλέους ἥβῃ πάρεδρος
» θεὸς ἀνθρώποις ἔσται σπονδαῖς ἔντιμος ἀεὶ σὺν τυν
» δαρίδαις τοῖς διὸς υἱοῖς ναύταις μεδέουσα θαλά
ἡμιθνής — σσης. τοῖς ἡμιθνήτοις ἡμιθνὴς καὶ ἡμίθνητος δια
ἡμίθνητος — φέρει. ἡμιθνὴς μὲν λέγεται ὁ ψυχορραγῶν καὶ ἤδη τὸ
ἥμισυ θανών, ἡμίθνητος δὲ ὁ τὸ ἥμισυ ἔχων θνη
τὸν καὶ τὸ ἥμισυ ἀθάνατον ἤτοι ἡμίθεος, ἢ ὁ ἡμέραν
ὢν ἐν τοῖς ζῶσιν καὶ ἡμέραν ἐν τοῖς νεκροῖς ὡς οἱ δι
όσκουροι

ἡ δὲ ἱστορία τοιάδε· ὑακίνθου ἀδελφὸς κυνόρτης. κυ-
νόρτου δὲ παῖς περιήρης, οὗ καὶ γοργοφόνης τῆς περσέως
κατὰ στησίχορον τυνδάρεως, ἰκάριος, ἀφαρεὺς καὶ λεύ-
κιππος. ἀφαρέως καὶ ἀρήνης τῆς οἰβάλου ἢ ἀρήνης,
τῆς αἰόλου λυγκεὺς καὶ ἴδας. λευκίππου καὶ φιλοδί-
κης τῆς ἰνάχου φοίβη καὶ ἰλάειρα, ἰκαρίου καὶ περιβ-
οίης νηΐδος υἱοὶ πέντε καὶ ἡ ὀδυσσέως πηνελόπη.
τυνδάρεω καὶ λήδας τιμάνδρα, ἣν ἔχεμος ἔγημε καὶ κλυ-
ταιμνήστρα, κατά τινας δὲ ἑλένη σὺν κάστορι καὶ πο-
λυδεύκει. καθ' ἑτέρους οὗτοι διὸς ὑπῆρχον, οἳ φοίβην
καὶ ἰλάειραν ἁρπάσαντες ἔγημαν, καὶ πολυδεύκους καὶ
φοίβης γίνεται παῖς μνηόλεως, κάστορος δὲ καὶ ἰλαείρ-
ας ἀνάγων, ταύτας δὲ οἱ διόσκουροι οὗτοι ἀπὸ μεσσήνης
ἁρπάσαντες ἔγημαν, ἐλάσαντες καὶ μετὰ ἴδα καὶ λυ-
γκέως βοῦς ἀρκαδίας μερίζειν ἐπιτρέπουσι τῷ ἴδᾳ,
ὃς τεμὼν βοῦν εἰς τέσσαρα μέρη τοῦ πρώτως ἀπε-
φαγόντος τὴν ἰδίαν μερίδα κατέφαγεν, ἔπειτα καὶ τὴν τοῦ
ἀδελφοῦ καὶ τὰς βόας ἤλασεν εἰς τὴν μεσσήνην. στρατ-
εύσαντες δὲ οἱ διόσκουροι καὶ τὴν ἀγέλην ἐκείνων τῶν
βοῶν ἤλασαν καὶ ἄλλα πολλά, καὶ ἐκείνους ἐλόχων,
λυγκεὺς δὲ ἰδὼν κάστορα ἐμήνυσεν ἴδᾳ, ὁ δὲ κτεί-
νει αὐτόν, πολυδεύκης δὲ διώκων αὐτούς, τὸν λυγκέ-
α κτείνει δόρατι· ὑπὸ δὲ τοῦ ἴδα στήλῃ λιθίνῃ ἐκ τοῦ
ἀφαρέως τάφου βληθεὶς τὴν κεφαλὴν σκοτισθεὶς πί-
πτει, ζεὺς δὲ ἴδαν κεραυνοῖ, πολυδεύκην δὲ ἀθάνα-
τον ἐθέλει ποιεῖν, ὁ δὲ αἱρεῖται θνήσκειν ἡμέραν καὶ ἡμέ-
ραν ζῆν ὁμοίως τῷ ἀδελφῷ ἢ καθόλου κληρεῖαν εἶναι ἀ-
θάνατος, καὶ ὁ ζεὺς τοῦτο αὐτοῖς χαρίζεται. ὡς καὶ ὅμηρος
ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε τεθνᾶσι· τι- »
μὴν δὲ λελόγχασιν ἶσα θεοῖσι. τὴν ἱστορίαν τῶν δι- »
οσκούρων καὶ στασῖνος ὁ τὰ κύπρια πεποιηκὼς γρά-
φει

Διοσκούρων ἱστορία

Hyacinthus
Cynortes
Perieres
Gorgone
Perseus
Tyndareus
Icarius
Aphareus
Leucippus
Arne
Oebalus
Aeolus
Lynceus
Idas
Philodice
Inachus
Phoebe
Hilaira
Periboea
Nais
Penelope
Timandra
Echebus
Clytemnestra
Helena
Castor
Pollux
Mneoleos
Anago

» αἶψα δὲ λυγκεὺς τηΰγετον προσέβαινε ποσὶ ταχέεσσι
» πεποιθώς, ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπα
» σαν ταντα λίδου πέλοπος τάχα δ' εἴσιδε κύδιμος ἥ
» ρως δεινοῖσιν ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης
» κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον πολυδεύκεα.

∴ ἢ τὰ πάλιν

διπτύχους ἔφη πάλιν τὴν ἱστορίαν ὅτι κατά τινας ἐκ τοῦ ὠοῦ δίδυμοι ἐγεννήθησαν ἡ ἑλένη καὶ κάστωρ μόνος καὶ πολυδεύκης ἐν ἀστέρος μορφῇ ... τοῦ τοῦ διός ὅθεν διπτύχους αὐτοὺς λέγει. ἄλλοι δὲ ὕστερον τὴν ἑλένην μόνην ἔφασαν ἐκ τοῦ ὠοῦ γεννηθῆναι.

λαπερσίοις παρὰ τὸ πέρσαι λᾶν πόλιν λακωνικὴν ἢ παρὰ τὸ πορθεῖν τοὺς λαοὺς ἤτοι πολεμικήν.

οὓς μήποτ' ὦ ζεῦ πάτερ ἀσπάζειν ἐμὴν
στέλλαις ἀρωγοὺς τῇ δυσαρπάγῳ κρεκί
μηδ' ἐπτερωτὰς ὁπλίσαντας ὁλκάδας
πρύμνης ἀπ' ἄκρους γυμνὸν λαιψηρὸν πόδα,
τὰς βεβρύκων ῥίψαντας ἐκβατηρίαν
μηδ' οἱ λεόντων τῶνδε καρτερώτεροι
ἄγλω ἄμικτοι τοὺς ἄρης ἐφίλατο
ἣ δ' ἐνυὼ καὶ ζηλεῦντος θεά
βοαρμία λογγάτις ὁμολωὶς βία

δευτέρου γὰρ ἡρπάγη ὑπὸ θησέως ἑπταετὴς οὖσα ὥς φησιν ἑλλάνικος. δοῦρις δὲ ἀποδοθῆναι αὐτὴν λέγει τεκοῦσαν τὴν ἰφιγένειαν εἰς ὀπισθότερον, καὶ πρότερος μὲν αὐτῆς ἅρπαξ ὁ θησεύς, δεύτερος δὲ ὁ ἀλέξανδρος. κρεκὶ κρὲξ ὄρνεον ἐστὶ θαλάσσιον ἰβιδι ἐοικός. ἔστι ἶβις περὶ αἴγυπτον ῥυπαροφάγον. καλλίμαχος δὲ ἐν τοῖς περὶ ὀρνέων φησὶ τοῖς δὲ γαμοῦσιν δυσοιωνιστόν. καὶ εὐφορίων ἐν

κρὲξ

ἶβις ὄρνεον ῥυπαροφάγον

ἀπολλοδώρῳ ποικίλου οὐδὲ μήτηρ ἀρχίλοχος ἐστι »
τὴν κύζικος, ὃν δ' ἦφος ... γάμον ἐρχομένη κρήξ. Κρε »
κίσσα τὴν ... ὡς καλουμένων τῆς βεβρυκων τὴν — βέβρυκες
χώραν ποτὲ βέβρυκες ᾤκησαν· ὅθεν ἡ βεβρυκία ἂν
τὴν καλοῦσιν ὡς καὶ τὸ σώζων παλαιὰν βεβρύκων πα-
ρέκτασιν, τινὲς δὲ φασὶν ὅτι ἀπὸ τοῦ ὡς. ἵνα ἢ ὡς τῆς
βεβρύκων ῥίζαν ἐκστρατείαν. ὡς πρότερον συνέπλε-
ον τοῖς λοιποῖς ἀργοναύταις ὅτε ἄμυκον τὸν βεβρύκ-
ων βασιλέα κατεπύκτευσεν. Δίων δὲ ὁ κοκκειανὸς τοὺς
ναρβωνησίους βέβρυκας λέγει γράφων οὕτως· τῶν πά-
λαι μὲν βεβρύκων νῦν δὲ ναρβωνησίων ἐστὶ τὸ πυ- — ναρβωνήσιοι
ρηναῖον ὄρος· τὸ δὲ ὄρος τοῦτο χωρίζει ἰβηρίαν καὶ γαλα- — πυρηναῖον ὄρ
τίαν. ἐκστρατείαν ... ἔκφρασιν ... οἱ
λεόντων ἡ ἔννοια ὅπισθεν ἐρρέθη πλατύτερον. ἐνυὼ — ἐνυώ
ἐπίθετον ἥρας παρὰ τὸ ἀνύειν καὶ φονεύειν ὡς πολεμι-
κήν. ἐνυὼ καὶ ἐννυὼ ... μυθικῶς μὲν οὕτως· ἀλληγορικῶς
δὲ ἡ πάντα ἀνύουσα καὶ τρέφουσα καὶ τελειοῦσα ἤγουν ἡ αὐτή
ἐστι τῷ συμμιγεῖ καὶ εὐκράτῳ ἀέρι. τριτογένητος ἡ ἀθηνᾶ
μυθικῶς ὅτι ἐν τρίτωνι ποταμῷ τῆς λιβύης ἐγεννήθη
ὡς καὶ ὅμηρος φησὶ καὶ ἄλλοι μυθικῶς· διὸς θυγάτηρ κυ-
δίστη τριτογένεια· καὶ αἰσχύλος μυθικῶς· ἔπτ' ἀμφὶ χεῦ-
μα γενεθλίου πόρου τρίτωνος ἐν τόποις λιβυστικοῖς, — τριτογένητος ἡ ἀθηνᾶ πόθεν
κατὰ γραφὴ ναν. ex pa rthasio. chor. 27 — ἢ ὅτι κατὰ [ἀθέννυν] τρίτη τοῦ μηνὸς ἐγεννήθη διὸ παρὰ
ἀθηναίοις ἡ τρίτη ἱερὰ τῆς ἀθηνᾶς· ἢ ὅτι ἐκ τῆς τριτοῦς
ἤγουν τῆς κεφαλῆς ἐγεννήθη τοῦ διός, τριτὼ γὰρ βοιωτικῶς
ἡ κεφαλή, ἢ ὅτι αὐτή ἐστι τῇ σελήνη· ἡ δὲ σελήνη τρίς
τοῦ μηνὸς τριπλᾶ φαίνεται, ἢ ὅτι αὐτή ἐστι τῷ ἀέρι·
τρίτος γὰρ ὁ ἀὴρ γεννᾶται παρ' ἡμῖν μετὰ τὸ ἔαρ καὶ θέρος
χειμῶνι· τὸ γὰρ παλαιὸν τριμερὴς ἦν ὁ χρόνος, ἢ ὅτι
αὐτή ἐστιν ἡ φρόνησις· γεννηθεῖσα δὲ ἐκ τῆς τριτοῦς κε-
φαλῆς τρεῖς παρέχει τοῖς ἐναντίοις, ἢ ὅτι κατὰ δημόκρ-

Βοαρμία

Λογγάτις

Ὁμολωΐδες πυλαιθηβῶν

διὰ ταῦτα χαρίζεται βουλεύειν καλῶς, κρίνειν ὀρθῶς καὶ πράττειν δικαίως. Βοαρμία· παρὰ τὸ συναρμόσαι καὶ ζεῦξαι ζεῦγος καὶ ἀροτριᾶν βόας. ἡ αὐτὴ γάρ ἐστιν ὡς ἔφην τῇ φρονήσει, οὕτω δὲ τιμᾶται παρὰ Βοιωτῶν καὶ ἡ Λογγάτις ὁμοίως· Λογγάτες γὰρ χωρίον Βοιωτίας. Ὁμολωῒς δὲ τιμᾶται παρὰ Θηβαίοις. Ὁμολωΐδες γὰρ πυλαιθηβῶν ἀπὸ Ὁμολωΐδος τῆς Νιόβης θυγατρός. Βία· ἡ δύναμις.

Οὐκ αὐτὰ χερώνακτες ἐργάται διπλοῖ
Δρύμας τε καὶ Πρόφαντος ὁ Κρωμνῆς ἄναξ
Κηραμύντης κοιράνῳ ψευδωμότῃ
ἐν ἤμασι ἀρκέσαντε πορθῆσαι λύκοις
ἔρξαι βαρεῖαν ἐμβολὴν ῥαιστηρίαν
ἥπερ πρὸ πύργων τὸν Κανάστραιον μέγαν
ἐγχώσατ' ἀγῶνα δυσμενῶν μόχθοι
ἔχοντα καὶ τὸν πρῶτον ἐγχέων βολῇ

Δρύμας

Πρόφαντος

Χερώνακτες· οἱ διὰ τῶν χειρῶν ἐργασάμενοι τὸ τεῖχος τοῦ Ἰλίου μυθικῶς ἤτοι κτίσαντες. λέγει δὲ Ποσειδῶνα καὶ Ἀπόλλωνα, ἡ δὲ ἱστορία δήλη. τὰς δὲ δημιουργίας ὡς πολλὰς καὶ ἀχρήστους ἐνταῦθα ἐατέον. Διπλοῖ· περισπαστέον, διπλοῦς δὲ κυρίως καὶ ἐξ αὐτοῦ διπλοί ὀξυτόνως. Δρύμας· ὁ Ἀπόλλων παρὰ Μιλησίοις. Πρόφαντος δὲ ὁ ~~Ἀπόλλων~~ Ποσειδῶν παρὰ Τυρίοις Θυρίοις
Κρῶμνα· χωρίον Κορίνθου καὶ πόλις Παφλαγονίας οὗ ἐτιμᾶτο Ποσειδῶν. Κοιράνῳ ψευδομότῃ· τῷ Λαομέδοντι διὰ τὸ ὀμόσαι δοῦναι τῷ Ἡρακλεῖ τοὺς ἀθανάτους ἵππους ἤτοι τοὺς ἀρίστους καὶ ὑπερβάλλοντας καὶ μὴ δοῦναι σώσαντι Ἡσιόνην ἐκ φορᾶς τοῦ κήτους κἀκεῖ δὲ ἔπεμ κοιράνῳ ὠφέλων εἶπεν τυράννῳ

ἢ βασιλεῦ. Κοίρανος γὰρ ὁ διάκτωρ λέγεται, τύραννος δὲ — Κοίρανος
ὁ βιαίως μοναρχήσας. βασιλεὺς δὲ ὁ ἐννόμως καὶ δικ- — Τύραννος
αίως κρατῶν. Διόνυσος δὲ καὶ ὀρφεὺς τὴν διαφορὰν — βασιλεύς
οὕτως οἱ λέγοντες ἐν τοῖς δωδεκαετηρίσι, ἔσται δ' αὖ τις ἀνὴρ
ἢ κοίρανος ἢ τύραννος ἢ βασιλεὺς ὃς τῆμος ἐς οὐρα-
νὸν ἵξεται ἀστέρων. Καναστραῖον. Κάναστρα, ἀκρω- — Κάναστρα
τήριον μεταξὺ Μακεδονίας καὶ Θρᾴκης, οὗ πλησίον
ᾤκησαν οἱ γίγαντες· λέγει δὲ τὸν Ἕκτορα διὰ τὸ γε-
ναῖον, διὸ καὶ ἐγχώριον αὐτὸν εἶπε. Δυσοιμώνων
μόχλον. Τὸ πάντα δυσοιμώνων ὀχύρωμα, καὶ ἀσφά-
λειαν. καὶ τὸν πρῶτον. τὸν Πρωτεσίλαον, πρῶτος
γὰρ ἀποπηδήσας τοῦ πλοίου πρὸς τὸν αἰγιαλὸν
ἀνῃρέθη ὑφ' Ἕκτορος. μαιμῶντα. ἢ αἵματος δι- — μαιμῶντα
ψῶντα. ἢ αἵματος διψῶντα, καὶ προσθέσει τοῦ μ. μαι-
μῶντα.

Οὐδ' ἠπ' ὀδαρθὸν πρῶτα, κἀνιστὰς δόρυ
κίρκος θρασὺς πήδημα λαιψηρὸν δικὼν
Γραικῶν ἄριστος ᾧ παραὶ τύμβου τάφους
ἀκτῇ Δολόγκων εὐπρεπὴς κεκμηκότι
μεμφουσία, στροῦχουσα ἐξωταίου χέρσου
ἄλγει γάρ τις ἐστὶ καὶ παρ' ἠπιάλη,
πιεῖν ἔρωτος πρευμενὴς ὁ ἀργύρειος
λοιμῶν προμαχθεὺς αἴθοψ Συράντιος
ὃς τὸν πλανήτην ὀρθαίνων ὀλανδάμοις
σιρτὴν καταρακτῆρα, δέξωνται πικρὸν
οἱ σφινὰ κ' ἀποδόντα, πεύσονται ποτὲ
μηδόντες ἐν τῇ λαπὶ καὶ θαρνυσίοις
λοίβατοι μελινῶσιν ἀσπρὶν κράτον
θηὸς βαρὺν κολωὸν ἐν λέχαις μέσου

Γραικῶν ἄριστος. ὁ Πρωτεσίλαος. Γραικοὶ γὰρ πρότερον — Γραικοί Ἕλληνες

οἱ τῆς ἑλλάδος ἐκάλουν τε. ὕστερον ἀφ' ἕλληνος ἐκλήθησαν
ἕλληνες. ὦ πάππα. ὦ τίμιε πάππα· ἃ ἐθρήνους ἐτίμα
τοὺς τάφους. ἡ εὐπρεπὴς καὶ ἄθετος ἀκτὴ καὶ ὁ πεζώδης
Δολόγκοι — καὶ ὀχλώδης αἰγιαλὸς τῶν δολόγκων. Δόλογκοι ἔθ-
νος θρακικὸν ἀπὸ δολόγκου τοῦ κρόνου καὶ θράκης
παιδός. ἔστι δὲ χερρόνησος θράκης ὅπου πρωτεσίλαος
πρωτεσίλαος ὡς θεὸς τιμᾶται — κείμενος ὡς θεὸς τοῖς ἐγχωρίοις ἐτιμᾶτο. μαζουσία.
οἱ μὲν ἄλλοι ἡ μαζουσία λέγουσιν μετὰ τοῦ ἄρθρου
καὶ φασὶν αὐτὴν ἀκρωτήριον εἶναι· ἐγὼ δὲ μαζουσία
φημὶ ἡ μαστοειδής. ἢ ἡ ὡς μαζοῦ θέσιν ἐσχηματισμέ-
νη. χερσαίου κέρως τοῦ ἀκρωτηρίου. λέγει δὲ αὐ-
τὴν τὴν χερρόνησον. ὁ δρύμνιος δαίμων ζεύς. δρύ-
δρύμνιος ζεύς * — μνιος δὲ παρὰ παμφυλίοις. προμανθεὺς παρὰ θ-
προμανθεύς — ουρίοις. αἰθίοψ καὶ γυράψιος παρὰ χίοις. ὁ τὸν πλα-
αἰθίοψ — νήτην. ὅτι ζεὺς θεὸς βαρέων κολωὸν ἢ θόρυβον ἐν
κολωός — μέσαις ταῖς δέμαις ἢ σκηναῖς, ὅταν ἐν τοῖς δόμοις
δέχωνται οἱ δεινοὶ καὶ ἀπόθητα, μέλλοντες παθεῖν. ἢ οἱ δι-
όσκουροι καὶ ἀφαρέως παῖδες. τὸν πλανήτην. ἤγουν
ὀρθάτης — πλανώμενον ὀρθάτην. ἢ ξένον. λέγει δὲ τὸν ἀλέξα-
νδρον. σίντην ἢ βλαπτικὸν καταρράκτηρα, καὶ αὐ-
τὸν διὰ τὸ ἁρπακτικὸν τὸν πικρὸν οἱ μέλλοντες πα-
θεῖν ποτὲ ὅταν δέχωνται εἰς οἶκον τὸν ἀλέξανδρον
μειλίσσωσι τε καὶ καταπραΰνωσι τὸν ἀγραῖον κρά-
γον τὸν δία, ἔν τε θυσίαις καὶ θαλυσίοις λοιβαῖς. ὀρ-
ὀρθάτης — θάτην τὸν ξένον κατὰ διάλεκτον. καταρράκτ-
καταρράκτηρ — ηρ ὄρνεον ἁρπακτικόν. οἱ δεινοί, καὶ ἀπόθητα. οἱ
ἀφαρέως παῖδες καὶ οἱ διόσκουροι. ὅτε γὰρ ἐξένιζον
οἱ διόσκουροι τὸν ἀλέξανδρον ἐκινήθη στάσις αὐτοῖς
κατὰ λυκόφρονα μὲν ἕνεκα φοίβης κατ' ἐμὲ δὲ
καὶ τοὺς λοιποὺς ὡς ὅσοι ἄλλοι πλατύτερον ὅτι ἕνε-
κα βοῶν. οὕτω δὲ στασιαζόντων αὐτῶν ἀλέξαν-
δρος

ἁρπάσας τὴν ἑλένην ὡς οὗτος ὁ λυκόφρων φησίν ᾤ-
χετο εἰς τροίαν. ἀστερθῆ καὶ κράτον ὅτι οὐκ ἐξῆρξε
αὐτῶν τὰς θυσίας ὅτι θύοντες τοῖς ἄλλοις θεοῖς ἀπε-
λάθοντο αὐτοῦ ὅθεν αὐτοὺς εἰς στάσεις ἐνέβαλεν. κρά- Κράτος ξένι
τον δὲ τὸν δία ἐτίμων ἐν λυκίᾳ.

Καὶ πρῶτα μὲν μύδροισιν ἀμφίλλους ὀδὰξ
βρύξουσι κυκλοσμοῖσιν ἀγρυπνούμενοι
αὖθις δ' ἐν αἰχμάσουσιν ἀντανέψιοι
ἀνεψιαῖς ὄρνισι χραισμῆσαι γάμους
βιαιοκλῶπας ἁρπαγάς τε συγγόνων
χρῄζοντες ἄλφας τῆς ἀεδνώτου δίκην
ἢ πολλὰ δὴ βρέμοντα κνυζηθμῶν πόρος
ῥιφθέντα τόλμαις αἰετῶν ἐπόψεται
ἄπιστα καὶ θαμβοῦντα φηγάλοις κλάδ
ὁ μὲν κρανείας κοῖλον οὐτάσας σκύπος — stipitem. truncu[m] ubi latebant in insidijs
φηγοῦ κραναιῆς δίπτυχον ἕνα φθερεῖ — castor & pollux
λέοντα ταύρω συμβαλόντα φύλοπιν

Ὀδὰξ κυρίως τοῖς ὀδοῦσι νῦν δὲ στόμα λέγει. ἀντα- ὀδὰξ
νέψιοι καὶ ἀνεψιοὶ ἤτοι ἀδελφῶν παῖδες. καὶ δὲ
σύνταξις οὕτως, αὖτις δὲ εἰς τοὐπίσω καὶ αὖθις καὶ πά-
λιν τὰς λοιδορίας οἱ ἀντανέψιοι ἤτοι οἱ παῖδες ἀντανέψιοι
τοῦ ἀφαρέως ἐναιχμάσουσι. καὶ πολεμήσουσι
τοὺς βιαιοκλῶπας ἁρπαγάς τε συγγόνων ἤτοι δι-
οσκούρους, διὰ τί δὲ αὐτοῖς πολεμήσουσι; χρῄ-
ζοντες χραισμῆσαι. καὶ βοηθῆσαι ταῖς ἀνεψιαῖς
τῇ ὄρνισι τῇ φοίβῃ καὶ ἰλαείρᾳ, εἰς τοὺς γάμους διὰ ἔδνα
δίκην τῆς ἀλφῆς καὶ ψηλαφήσεως ἄνευ ἔδνων
καὶ προγαμιαίων δωρεῶν. ὁ γὰρ λυκόφρων οὕτω
φησὶ τὸν πόλεμον αὐτοῖς γεγονέναι, ὃν δεῖ δηλῶσαι

∴ ἤ. μὴ δεδω-
κότας

φησὶ τοὺς Διοσκούρους ὑπὸ τῶν Ἀφαρέως παίδων ὡς μὴ
δεδωκότων ἕδνα ὑπὲρ τῶν Λευκίππου θυγατέρων, τοὺς
δὲ ἁρπάσαι βοῦς τοῦ Ἀφαρέως καὶ δοῦναι τῷ Λευκίππῳ
ὅθεν αὐτοῖς ὁ πόλεμος. λοιποὶ δὲ ἔπεισιν ἡ ἱστορία,
ὡς ὄπισθεν, τότε γὰρ οἱ Διόσκουροι καὶ παῖδας εἶχον
ἐκ τῶν Λευκίππου θυγατέρων ὡς ἔτι καὶ τοῦτο κατηγορεῖ-
ται ὀνειδίζεσθαι αὐτοὺς μετὰ τοσούτους χρόνους πε-
ρὶ ἕδνων, ἀλλὰ πάντα ὡς νεωστὶ τῶν κορῶν ἁρπα-
γεισῶν ἄνευ ἕδνων τοῦτό φησι, καὶ ἔτι προφανῶς
καὶ ληρωδῶς λέγει, ἔδειξα γὰρ ὅτι τέκνα καὶ παῖδας ἐξ
αὐτῶν εἶχον οἱ Διόσκουροι. Κνακιῶνος πόρος Κνακί-
ων ποταμὸς Λακωνικῆς, ὃς ὕστερον ἐκλήθη Οἰνοῦς,
περὶ ὃν ἐπολέμησαν καὶ οἱ Ἀφαρέως παῖδες οὓς
ἀνεῖλον ... Φηραίοις Λάκωσι. Φηραὶ γὰρ ἡ
πόλις Μεσσηνίας ἤτοι Ἀρκάδων Λακώνων. ὁ
μὲν κρανείᾳ ὁ μὲν Ἴδας κρανείῳ δόρατι. τὸ κοῖ-
λον στέλεχος τῆς δρυὸς οὐτάσας τῶν διπτύχων
ἤτοι Διοσκούρων· δίδυμοι γὰρ ἐγένοντο. ἀνὰ φθερσὶ
ἤτοι αὐγῇ· λέγει δὲ τὸν Κάστορα, ὃν καὶ λέοντα λέγει.
ταῦρον τὸν Λυγκέα, διὰ τὸ ὀξυδερκές. φασὶ δὲ ὅτι
καὶ τὰ ὑπὸ γῆν ἔβλεπε διὰ τὸ ἐφευρεῖν πολλὰ
τῶν μετάλλων.

Κνακιῶν. ποταμός

Φηραί. πόλ.

ἐλ.

Lynceus ocula-
tissimus ...

Ὁ δ' αὖ σιδήρῳ πλευρ' ἀναρρήξας βοὸς
κλινεῖ πρὸς οὖδας, τῷ δὲ δευτέραν ἔπι
πληγὴν ἀφαιμάξαντι κριὸς ἐγκορύψεται
ἄραγμα, πήλας τῶν ἀμυκλαίων ταφῶν.
ὁμοῦ δὲ χαλκὸς καὶ κεραύνιοι βολαί
ταύρους καταιθαλοῦσιν. ἐν ἀρείῳ ...
οὓς δ' ὁ σκιασθεὶς ὀρχικὸς Τελφούσιος
ἐκμείξεται τῶν χέρμασι ῥαιβώσας κέρας

καὶ τοὺς μὲν ἀθῆναι, τοὺς δ' ὀλυμπιοὶ πλάκες
παρ' ἦμαρ αἰεὶ δεξιώσονται ξένους
φιλανθομαίμονας ἀφθίτους τε καὶ φθιτούς

ὁ δ' ἄρ' οἰσύμενω· ὁ δὲ πολυδεύκης οἰσύμενον τῷ σιδηρῷ ἀκοντίῳ τὰ πλευρὰ ῥήξας τοῦ βοὸς ἤτοι τοῦ λυγκέως κλινεῖ πρὸς οὖδας· τουτέστιν ἀνεῖλε· ἐγκορύπτεται ἀπὸ μεταφορᾶς τῶν κριῶν· φασὶ γὰρ οἱ κριοὶ ἐν τῷ μάχεσθαι τοῖς κέρασι πλήττειν. θοοῦ δὲ ῥαγκός· πολυδεύκης καὶ κάστωρ ὡς ὁ πίνδαρος ... ἔκρυψαν στελέχει δρυός, ἴδας δὲ λαβὼν ἀνεῖλε τὸν κάστορα, εἶτα πολυδεύκης ἀνεῖλε λυγκέα, ἴδαν δὲ ὁ ζεὺς ἐκεραύνωσε, πρότερον τοῦ ἴδα ἐκ τοῦ τάφου τοῦ πατρὸς αὐτοῦ ἀφαρέως στήλην ἐπὶ τὴν κεφαλὴν τοῦ πολυδεύκους ἐμβαλόντος καὶ σκοτίσαντος αὐτόν. ἐν δ' ἀγκῶνι ἑνός· ἥρπασαν τοῦ λευκίππου θυγατέρα κατεστ... ἴδαν τοῦ ... ἴδα, ἁρπάσας ἀπόλλων ... αὐτῷ κατέσχη, ζεὺς δὲ ἑρμῆν πέμψας ἐκέλευσεν ... ἡ μάρπησσα προκρίνη λαβεῖν. ἡ δὲ τὸν ἴδαν τοῦ ἀπόλλωνος ... οὐδὲ ὁ ἀπόλλων τὴν ἀνδρείαν τοῦ ἴδα ἐμέμφετο ὡς καὶ ὅμηρος· ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν τῶν τότε· καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον, φοίβου ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης. σκιαγὴς ὀρχιεύς· παρὰ λάκωσιν ὁ ἀπόλλων· τελφούσιος δὲ παρὰ βοιωτοῖς.

καὶ τῶν μὲν ... δαίμων δόρυ
βαλόντι χεῖρ' ... δωρούμενος
... ἄπλετον ... νέφος
ὧν οὐδὲ ὁ ... ἐάσαν μέρος
... τὸν ... χρόνον

Margin notes, right:
οἰσύμενω
ἐγκορύπτεται
πολυδεύκης καὶ κάστωρ δρυὸς στελέχει ἔκρυψαν
Pugna apollinis & idae ob marpesam eueni filiam de qua propertius
σκιαγὴς ὀρχιεύς
τελφούσιος

Margin note, left:
hoc leges in nona iliados rhapsodia

μιμνεῖν ἀνάσσων θεσφάτοις πεπεισμένους
τροφὴν δ' ἀμεμφῆ πᾶσι τριπτύχους κόρας
ἴσκων παρέξειν χαυθιαν ὅσοι σκοπὴν
μίμνοντες ἱλάσκουσιν Οἰνωποῦ θεὰς
Αἰγύπτιον τρίτωνος ἕρκοντος ποτόν

Καὶ τὸν μὲν ἥξειν. τῶν ἀφαρητιάδων καὶ τῶν διοσκούρων
καταγωνίσασθαι καὶ τὸ δόρυ τουτέστιν ἀπο
θανόντες οὐκ ἐπιβήσονται τῇ τροίᾳ, ὡς καὶ ὅμηρος, τοὺς
δ' ἤδη κατέχεν ~~φυσι~~ φυσίζοος αἶα ἐν λακεδαί
μονι αὖθι φίλῃ ἐν πατρίδι γαίῃ. σὺν οἰνοτρόποις
ἶνις. σταφύλου τοῦ υἱοῦ διονυσίου θυγάτηρ γίνεται
ῥοιώ, ᾗ ἐμίγη ὁ ἀπόλλων, γνοὺς δὲ ὁ στάφυλος βα
λὼν εἰς λάρνακα, πρὸς τὴν θάλασσαν ἀφῆκε, ἐξελθού
σης δὲ τῆς λάρνακος εἰς εὔβοιαν παρά τι ἄντρον παῖ
δα γεννᾷ, καὶ ἄνιον καλεῖ διὰ τὸ ἀνιαθῆναι δι' αὐτόν.
τοῦτον δὲ ὁ ἀπόλλων ἤνεγκεν εἰς δῆλον· ὃς δωρίππην
γήμας γεννᾷ τὰς οἰνοτρόπους ~~σ~~ οἰνώ, σπερμώ, ἐλαΐ
δα, αἷς διόνυσος ἐχαρίσατο ὁπότε βούλοιντο σῖτον,
σπέρματα καὶ ἔλαιον λαμβάνειν. φερεκύδης δέ
φησιν ὅτι ἄνιος ἔπεισε τοὺς ἕλληνας παραγενομένους
εἰς αὐτὸν αὐτοῦ μένειν τὰ ἐννέα ἔτη, δεδόσθαι δὲ
αὐτοῖς παρὰ τῶν θεῶν τῷ δεκάτῳ ἔτει πορθῆσαι τὴν
ἴλιον, ὑπέσχετο δὲ αὐτοῖς ὑπὸ θυγατέρων αὐτοῦ τρέ
φεσθαι. σὺν οἰνοτρόποις ὡς ἀπτήνων τὸ μέθος οὐδὲ
ὁ τῆς ῥοιοῦς ἶνις ἀπὸ τὸν ἐνναετῆ χρόνον. ἀνάσσων
ἤγουν πραΰνων ἀνάσσων. ἤγουν ἡγεμών, μίμνειν ἐν τῇ
νήσῳ δήλῳ πεπεισμένους. ἤγουν πεπεισμένους αὐτοὺς
τοῖς θεσφάτοις καὶ χρησμοῖς κελεύων μίμνειν. ἴσκων
ἤγουν λέγων τὰς τριπτύχους ἤγουν τρεῖς αὐτοῦ κόρας πα
ρέξειν ἀμεμφῆ τροφὴν πᾶσι δηλ. τοῖς ἕλλησι ὅσοι

Anij Historia

:: f. ἄνιον de q° ouidi[us] Vergi. & al[ii]

:: f. τ

μίμνοντες· ἢ καρτεροῦντες ἱλάσκουσι· ἢ διατρίβον-
τες περὶ τὴν κύνθιαν σκοπιάν· ἢ ἐξοχήν. πέλας· ἢ
πλησίον τοῦ οἰνωποῦ ποταμοῦ. ἀφελεῖς ἀπ᾽ ἕλ-
κοντες· ἢ πίνοντες ποτόν· ἢ ὕδωρ αἰγύπτιον ἢ τοῦ
οἰνωποῦ ῥέοντος ποτὸν ὕδωρ ἤγουν τοῦ νείλου ὅντινα
σίθωνα λέγει. Κύνθος ὄρος δήλου ὅθεν ὁ ἀπόλλων
κύνθιος ἐκλήθη. Οἰνωπὸς ποταμὸς δήλου ὃς
πληροῦται ὅταν ὁ νεῖλος ἀρδεύῃ τὴν αἴγυπτον, ὅ-
θεν ἔφασκεν καὶ αὐτὸν ἀπὸ τῶν τοῦ νείλου ὑδάτων
πληροῦσθαι διά τινων ἀδήλων πόρων. σίθων
νείλου παρὰ τὸ σίτων κατακληθῆναι. πρότερον
γὰρ ὠκεανὸς ἐκαλεῖτο, εἶτα αἴγυπτος καὶ σίτων
νεῖλος ὅθεν αὐτὸν σίθωνα καλεῖ. puto deesse hic aliquid qui a supra char. 23. aliter de nilo tradidit

ἃς δὴ πρόβλαστος ἐξεπαίδευσε θρασὺς
κεκλυφάτου χηνοῖο δαιταλευτρίας
ἔρπιν τε ῥέξαι καὶ ἀλοιφαῖον λίπος
οἰνοτρόπους ζάρηκος ἐκγόνους φέρβας
αἳ καὶ στρατοῦ βουπεῖναν ὀθνείων κυνῶν
ζύχουσαν ἀλθανοῦσιν ἐλθοῦσαί ποτε
σίθωνος ἐς θυγατρὸς αἰγαςήειον

πρόβλαστος ὁ διόνυσος ἐστὶν ὅταν βλαστάνωσιν οἱ
ἄμπελοι θύουσιν αὐτῷ, ἢ ὅταν μεθύωσι κλάζειν ἐκλα-
δεύειν θρασὺς ὅτι ἀναιδεῖς οἱ οἰνωθέντες. ἔρπιν·
ἔρπις καὶ χάλις ὁ οἶνος. χάλις μὲν παρὰ τὸ χαλᾶν τὰς
ἶνας. ἔρπις δὲ παρὰ τὸ ἕρποντας ποιεῖν τοὺς πί-
νοντας ἀμέτρως. ἱππωνάκτειοι δέ εἰσιν αἱ λέξεις. φη-
σὶ γάρ, ὀλίγα φρονοῦσιν οἱ χάλιν πεπωκότες. ἀγαθοῦ
δὲ πάλιν ὁ δ᾽ αὐτίκα ... σὺν βροτοῖσι μαρτυρεῖ ὅ-
που τὸ ἔρπιν τὸ σκότος καταλύει ἄνους ὁρῶν τὴν

ἱλάσκουσι

Κύνθος ὄρος
δήλου

Οἰνωπός. flu[vius]
augescit cu[m] nilo

σίθων νείλου ὄ-
νομα

πρόβλαστος

χάλις

ἔρπις

Nili tria nomina. addit
lycophrō & q[ua]rtū . 1. 9.

ἔκγονος
ἔγγονος
φάψ
ῥοίτιον

πατέρα ὀφείλοντα. ἔτικτε Ῥοιὼ μετὰ τὸ μιγῆναι Ἀπό-
λλωνι, ὅθεν τὰς Οἰνοτρόπους καίπερ Ἀπόλλωνος οὔσας
γόνους τοῦ Ζάρηκος αὐτὰς λέγει διὰ τὸ γῆμαι τὸν Ζά-
ρηκα τὴν Ῥοιώ. ἔκγονον δὲ οἱ λοιποὶ τὸν υἱὸν με-
τὰ τοῦ κ γράφουσι, τὸν δὲ ἔγγονον μετὰ τοῦ
γ τοὺς γεννηθέντας. Φάσσας· φάψ εἶδος ὀρνέου, νῦν
δὲ τὰς Οἰνοτρόπους λέγει. οἱ γὰρ κατὰ στρατοῦ Ἀγαμέ-
μνονος τῶν Ἑλλήνων λιμῷ συνεχομένων μετεπέμ-
ψατο τὰς Οἰνοτρόπους διὰ τοῦ Παλαμήδους, καὶ ἐλ-
θοῦσαι εἰς τὸ Ῥοίτιον ἔτρεφον αὐτούς. / Σιθῶνος εἰς
θυγατρός· εἰς θυγατέρας υἱοῦ Ἄρεος καὶ Ἀχιρόης(?) τῆς
Νείλου θυγατρὸς ἢ Πρωτέως, κατά τινας δὲ θυγατέρα
Ῥοιτέως ἀφ' ἧς τὸ Ῥοίτιον τόπος τῆς Τροίας.

Ταῦτα μὲν μείζονος ἀχηνέων πάγαι
στρόμβον ἐπιρροιζοῦσι γηραιαὶ κόραι.
Κηφεὺς δὲ καὶ Πράξανδρος οὐ ναυκλήρων
λαῶν ἄνακτες ἀλλ' ἀνώνυμοι σποραί
πέμπτοι τέταρτοι γαῖαν ἵξονται θεᾶς
Γόλγων ἀνάσσης. ὧν ὁ μὲν Λάκων ὄχλον
ἄγων Θεράπνης, θἄτερος δ' ἀπ' Ὠλένου
Δύμης τε Βουραίοισιν ἡγεμὼν στρατοῦ.

Κηφεὺς δὲ καὶ Πράξανδρος· πάντες προειπὼν ἐλθεῖν ἀ-
πελθεῖν εἰς Κύπρον καὶ ἀπαριθμεῖ τῶν Ἑλλήνων νῦν μετέβη
καὶ ἐπὶ τοὺς δύο καί φησιν ὅτι ὁ Κηφεὺς καὶ ὁ Πράξανδρος
οὐ βασιλεῖς ἀλλ' ἀνώνυμοι ὄντες οἱ πέμπτε πέμπτοι
ἢ οἱ πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ ὧν εἶπον πέν-
τε ἀνδρῶν τὸ τέταρτον ἵξονται εἰς Κύπρον, πρῶτος
γὰρ Τεῦκρος· δεύτερος Ἀγαπήνωρ· τρίτος Ἀκάμας
εἶτα οἱ δύο ὁμοῦ τέταρτοι ἵξονται ἀναπληροῦντες

ὡς ἔφην τὸν πέμπτον ἀριθμόν, διὰ τί δὲ οὐ συμβολικῶς καὶ τούτους κατὰ λύκους καὶ παρδάλεις καὶ ἄλλην κλῆσιν τοιαύτην; διὰ τὸ ἀφανεῖς καὶ ἀνωνύμους εἶναι αὐτούς. ἦν δὲ ὁ κηφεὺς ἐξ ἀχαΐας ὁ δὲ πράξανδρος λάκων. Γόλγοι τόποι καὶ ἔθνος κύπρου, θεᾶς δὲ τῆς ἀφροδίτης ὧν ὁ μὲν πράξανδρος ὑπάρχει τὸν λάκωνα καὶ λακεδαίμονα ὄντα ἀπὸ τῆς θεράπνης· ἡ δὲ θεράπνη πόλις λακωνική. θάτερος ἤτοι ὁ ἕτερος ὁ κηφεὺς ἀπὸ τοῦ ὠλένου τῆς δύμης τε τῶν ἀχαϊκῶν πόλεων ἡγεμὼν ὑπάρχει τοῦ στρατοῦ. τοῖς βουρέοισιν ἀντὶ τοῦ τῶν βορέων, περὶ δὲ ταύτας τὰς πόλεις συνέβη νέφος πολὺ καὶ γέγονεν ὁ ἐπὶ δευκαλίωνος κατακλυσμός καὶ ὕστερον ἀπὸ σεισμοῦ κατέπεσον τῷ ἔθνει ὡς ἐρατοσθένης φησί, μέμνηται δὲ καὶ καλλίμαχος λέγων βουράτε δεξάμενος βούρασιν καὶ ἀντίμαχος ἐν τῇ θηβαΐδι, ἐπαπειλοῦσαν ὥσπερ καυκωνίδου δύμην ἐπραθέτην δέ οἷς ἐπιῶν ἀρχεύοντες, τὸ δὲ θάτερος ἀπὸ τοῦ ἕτερος γέγονεν, ὅ δ' ἦν ἀπὸ τοῦ ἕτερος θάτερος ἂν ἦν.

Γόλγοι Θεράπνη Ὤλενος Δύμη Callimachus Antimachus in thebaide θάτερος

: γρ. ἀτέρος, + γρ. θάτερος

Ὁ δ' ἀργυρίππαν δαυνίων παγκληρίαν
πὰρ αὐσονίτην φυλαμὸν δωμήσεται
πικρὰν ἑταίρων ἐπτερωμένων ἰδὼν
οἰωνόμικτον μοῖραν, οἱ θαλασσίαν
δίαιταν αἰνήσουσι πορκέων δίκην
κύκνοισιν ἰνδαλθέντες εὐγλήνοις δομήν

Ὁ δὲ διομήδης ἀπαίξων ἀπελαθεὶς τῆς αὐτοῦ πατρίδος τὴν ἀργυρίππην πόλιν μεθερμηνευομένην ἄργος ἵππιον δωμήσεται καὶ κτίσει παγκληρίαν ἤτοι καλαυρῶν παρὰ τὴν αὐσονίτην ἤτοι ἰταλικὴν φυλαμόν

Argyrippe

ἰδὼν τῶν ἑταίρων αὐτοῦ μοῖραν πικρὰν ὀρνεόμικτον ἐπτερωμένην τουτέστιν ἰδὼν τοὺς ἑαυτοῦ φίλους ὡς ὄρνεις ἐρωδιοὺς ἀλλαγέντας. τὸ δὲ σχῆμα κακόπλαστόν ἐστιν. ἀποθανόντος γὰρ διομήδους ἐρωδιοὶ γεγόνασι· πῶς οὖν φησὶν ἰδών, καλεῖται τὸ σχῆμα τοῦτο ἔμψυχον περὶ ἀψύχων πεποιημένον. θαλασσίαν δίαιταν οἵτινες φίλοι τοῦ διομήδους ἐρωδιοὶ ἤγουν λάροι γενόμενοι αἰνίσσουσι τὴν ἐν θαλάσσῃ διαζωγὴν δίκην ἤγουν τρόπον τῶν πορκέων ἤγουν ἁλιέων ἰνδαλθέντες ἤγουν ὁμοιωθέντες ὡς τὴν δομὴν ἤγουν δέμας μεταπλασθέντες κύκνοις αὐγηλύνοις ἤγουν εὐοφθάλμοις

ἐρωδιοὶ ἤγουν λάροι

ῥάμφεσι δ' ἀγρώσσοντες ἐλλόπων θοροὺς
φερώνυμον νησῖδα νάσσονται πρόμου
θεαζομόρφῳ πρὸς κλιτὺν γεωλόφῳ
ἀγγοπλαστήσαντες ἐμπέδοις τομαῖς
πυκνὰς καλιὰς ζῆθι ἐκμιμούμενοι
ὁμοῦ δ' ἐς ἄγραν κἀπὶ κοιταίαν νάπην
νύκτωρ στελοῦνται πάντα, φεύγοντες βροτῶν
κάρβανον ὄχλον ἐν δὲ γραικίταις πέπλοις
κόλπων ἰαύειν ἠθάδας διζήμενοι
ἢ κρῖμνα χερῶν κἀπιδόρπιον ψῶφος
μάζης ἀσάσονται προσφιλῶς κνιζούμενοι
τῆς πρὶν διαίτης τλήμονες μεμνημένοι

ῥάμφεσιν ἐν δὲ τοῖς ῥάμφεσιν ἤγουν τοῖς ὀρνιακοῖς ῥισὶν ἀγρώσσοντες ἤγουν ἀγρεύοντες τοὺς θοροὺς ἤγουν τὰ σπέρματα τῶν ἰχθύων ἤτοι τοὺς ἰχθῦς νάσσονται ἤγουν κατοικήσουσι τὴν φερώνυμον νησῖδα τοῦ πρόμου ἤγουν προμάχου αὐτῶν ἤγουν τὴν διομήδους νῆσον πρὸς τὸ κλίτι ἤγουν πλησίον τοῦ κλίτους ἤγουν τῆς ἐξοχῆς, καὶ

ῥάμφος
ἀγρώσσειν
θορός
νάσσονται
πρόμος
κλίτος

τῆς γεωλόφου ἢ ὑψηλῶ θρέψω ὁμοῦ. αἰγοπλαγήσαν
τες ἢ κλίσαντες ἐν τοῖς ἐμπέδοις ἢ στερεοῖς χιο
μαῖς πυκνὰς καλιὰς ἤγουν ἐκμιμούμενοι κατὰ μί
μησιν τοῦ ἤθου ὥσπερ ἔκγονος σὺν τῷ ἀδελφῷ ἔκτι
σε τὰς θήβας. ὁμοῦ δ' ἐς ἄλλας αὕτη ἡ ἔννοια καὶ ἡ
σύνταξις σαφεστάτη ἐστι, τὴν δὲ περὶ διομήδους ἱστορί 61
λεκτέον. διομήδης μετὰ τὴν ἰλίου πόρθησιν κατα λ τὴν
πλεύσας εἰς ἄργος τὴν ἑαυτοῦ πατρίδα, καὶ εὑρὼν τὴν
ἑαυτοῦ γαμετὴν αἰγιάλειαν συμφθειρομένην κομήτῃ
τῷ υἱῷ σθενέλου διὰ τὸ αὐτὸν ἐν τροίᾳ ζῶσαν τὴν ἀφρο
δίτην καὶ μέλλων ὑπὸ τῆς αὐτῆς αἰγιαλείας ἀναιρεῖσθαι,
τότε μὲν εἰς τὸν τῆς ἀργείας ἥρας βωμὸν καταφυγὼν σώ
ζεται. ὕστερον δὲ εἰς τὸ δαύνιον ἦλθε τὸ ἔθνος οὗ ἐβασί
λευσε δαῦνος, ὃς πολιορκούμενος ἐδεήθη τοῦ διομή
δους βοηθῆσαι αὐτῷ, ὑπισχνούμενος δῶσαι τῆς γῆς
μέρος. ὁ δὲ βοηθήσας καὶ νικήσας παρὰ δαυνίοις
ἔκτισε πόλιν ἀργυρίππαν ἤτοι ἵππιον ἄργος. ὕστε
ρον δὲ δαῦνος αἵρεσιν αὐτῷ ἐδίδου ἢ ὅλην τὴν λείαν λα
βεῖν τοῦ πολέμου ἢ τὴν γῆν πᾶσαν. κριτὴς δ' αὐτῶν
γέγονεν ἄλαινος ἀδελφὸς νόθος τοῦ διομήδους ἐρῶν
εὐίππης τῆς θυγατρὸς τοῦ δαύνου, ὃς ἔκρινε τὸν δαῦνον
ἔχειν τὴν γῆν, διομήδην δὲ τὴν λείαν λαβεῖν τοῦ πολέμου.
γνοὺς δὲ ὁ διομήδης κατηράσατο μὴ δύνασθαι σπείρειν
τὴν γῆν, τὴν δὲ σπειρομένην μὴ ἀναδιδόναι καρπὸν
εἰ μή τις αὐτὴν σπείρῃ τῶν αὐτοῦ συμπολιτῶν. ὕστερ
δὲ πρὸς δαύνου ἀνῃρέθη ὁ διομήδης, οἱ δὲ φίλοι αὐ
τοῦ θρηνοῦντες αὐτὸν μετεβλήθησαν εἰς ὄρνεα, ὅμοια
κύκνοις, οἳ τοὺς βαρβάρους φεύγει, φοιτᾷ δὲ παρ' ἕλλη
σιν ὥστε καὶ ἐκ τῶν χειρῶν αὐτῶν ἁρπάζειν τροφὰς καὶ
δύνειν εἰς τοὺς κόλπους αὐτῶν. οἰκεῖ δὲ ταῦτα ἐν τῇ
ἀπὸ διομήδους καλουμένῃ νήσῳ. κεῖται δὲ ἡ νῆσος

Diomedes argiuus
Aegialea
Cometus stheneli
Argiue iunonis t.
Διομήδους ἱστο ρία
Argirippa
Hippiū argos
Euippe dauni f.
Diomedis mors
Diomedis socij in aues uersi.

γρ. ἀδρίαν

περὶ τὸν ἰόνιον κόλπον καὶ τὸν ἀνδριάντα. Οἱ γὰρ ἰάπυγες καὶ ἄπουλοι περὶ τὸν ἰόνιον κόλπον οἰκοῦσιν. ἀπούλων δὲ ἔθνη κατὰ τὸν δίωνα, πευκέτιοι, ἄπουλοι καὶ δαύνιοι καὶ ταραντῖνοι καὶ κάναι. Διομήδους πεδίον ἐστὶ περὶ τὴν ἀπουλίαν τῶν δαυνίων, ἡ δὲ μεσσαπία καὶ ἰαπυγία, ὕστερον σαλεντία, εἶτα καλαβρεία ἐκλήθη / ἡ δὲ ἀργυρίππου πόλις τοῦ διομήδους μετεκλήθη, ἄπουλις ἄρπους, ὃ δέ φησιν οὗτος ὁ λυκόφρων ἔμπροσθεν ὅτι ἀκαρπούσης τῆς δαυνίων γῆς διὰ τὰς ἀρὰς τοῦ διομήδους καὶ βαλόντες ζῶντας εἰς γῆν ἀνθρώπους ἐποίησαν καρπεύειν τὴν γῆν λῆρος ἐστίν. Ἐπὶ Φαβίου τοῦ μαξίμου βηροκώσου ἤτοι ἀκροχορδονώδους οὐ δαύνιοι ἀλλὰ ῥωμαῖοι τοῦτο ἐποίησαν ἑλληνικὸν καὶ γαλατικὸν ἀνδρόγυνον κρύψαντες ἐν μέσῃ τῇ ἀγορᾷ ἐκ χρησμοῦ τινὸς δειματωθέντες λέγοντος ἕλληνας καὶ γαλατίους καταλήψεσθαι τὸ ἄστυ

Τροιζηνίας δὲ θαῦμα, φοιτάδος πλάνης
ἔσται κακῶν τε πημάτων παραίτιον.
ὅταν θρασεῖα θουρὰς οἰστρήσῃ κύων
πρὸς λέκτρα, τύμβος δ᾽ αὐτὸν ἐκσώσει μόρον
ὁπλοσμίας σφαγαῖσιν ~~κυπ~~ ηὐτρεπισμένον
κολοσσοβάμων δ᾽ ἐν πτυχαῖσιν αὐσόνων
σταθεὶς ἐρεῖ κῶλα, χερμάδων ἔπι
τοῦ τειχοποιοῦ δαπέδων ἀμοιβέως
τὸν ἑρματίτην νηὸς ἐκβαλὼν πέτρον

Τροιζηνία· ἐν Τροιζῆνι Φαίδρα ἱερὸν Ἀφροδίτης ἱδρύσατο ἐπὶ τῷ τοῦ ἱππολύτου ἔρωτι ὡς εὐριπίδης. ἱππολύτῳ δ᾽ ἐπὶ τὸ λοιπὸν ὠνόμασεν ἱδρύσασθαι θεάν, ἡ δὲ σύνταξις τοιαύτη.

Τὸ τραῦμα δὲ τῆς Ἀφροδίτης ὃ ἐτρώθη παρὰ τοῦ Διομήδους ἔσται αὐτῷ παραίτιον τῆς φοιτάδος πλάνης, τῶν κακῶν δὲ πημάτων, ὅταν ἡ θρασεῖα θουρὰς καὶ ὁρμητικὴ κύων, ἤγουν ἡ γυνὴ Διομήδους, οἰστρήσῃ, ἤγουν μανικῶς ὁρμήσῃ πρὸς τὰ λέκτρα ἤγουν τὰς μίξεις, ἔχουσα δὲ ἄνδρα τὸν ἀπὸ τοῦ μόρου ὁ τύμβος ἤγουν ὁ ναὸς τῆς Ὁπλοσμίας ἤτοι τῆς Ἥρας ἡτοιμασμένον καὶ εὐτρεπισμένον τῆς σφαγῆς. Ὁπλοσμία ἡ Ἥρα ἐν Πελοποννήσῳ τιμωμένη. Τύμβος φησὶν ὁ Δοῦρις ἐν τῇ περὶ ἀγώνων τοὺς βωμοὺς τάφους καλεῖσθαι. Κολοσσοβάμων· ἀγούσης τῆς γυναικὸς Διομήδους ἀντὶ βάρους λίθους ἐκ τοῦ τείχους τῆς Τροίας εἰς τὴν ἑαυτοῦ ναῦν ἐνέβαλεν. παραγενόμενος δὲ εἰς τὸ Ἄργος καὶ μόλις φυγὼν τὸν ἐκ τῆς γαμετῆς αὐτοῦ θάνατον παρεγένετο εἰς Ἰταλίαν, εὑρὼν δὲ τηνικαῦτα τὸν Κολχικὸν δράκοντα λυμαινόμενον τὴν Φαιακίδα, ἀπέκτεινε, τὴν τοῦ Γλαύκου χρυσῆν ἀσπίδα κατέχων, ἐνόμισε δὲ ὁ δράκων τὸ χρυσοῦν εἶναι δέρας, τιμηθεὶς δὲ ὁ Διομήδης ἐπὶ τούτῳ σφόδρα ἀνδριάντας κατεσκεύασεν ἑαυτοῦ ἐκ τῶν λίθων ὧν ἐνέβαλε τότε εἰς τὴν ναῦν καὶ ἔστησε τούτους κατὰ πᾶν τὸ ἐκεῖσε πεδίον. ὕστερον δὲ ἀνελὼν ὁ Δαῦνος αὐτὸν ἔρριψε καὶ τοὺς ἀνδριάντας εἰς τὴν θάλασσαν. οὗτοι δὲ ἀνεχόμενοι μόνοι ὑπὸ τῶν κυμάτων πάλιν ἐξήλλοντο πρὸς τὰς βάσεις αὐτῶν. ἱστορεῖ δὲ τοῦτο Τίμαιος ὁ Σικελὸς καὶ Λύκος ἐν τῷ βίῳ. καὶ ἡ μὲν ἱστορία τοιαύτη, ἡ δὲ σύνταξις οὕτως ἔχει. Κολοσσοβάμων σταθεὶς ἤγουν ἀνδριαντόγλυφος. Κολοσσὸς γὰρ ὁ ἀνδριάς. σταθεὶς δὲ ποῦ; ἐν ταῖς πτυχαῖς ἤγουν περικλείσμασι καὶ πόλεσι τῶν Αὐσόνων ἐρείσει ἤγουν ἑδράσει ὥσπερ τὰ κῶλα αὐτοῦ καὶ τὰ ὀστᾶ ἤγουν γλυφήσεται ὡς ἀνδριὰς ἐπὶ τῶν χερμάδων καὶ μεγάλων λίθων γηπέδων ἤγουν θεμελίων τοῦ Ποσειδῶνος ὃν ἀμοιβέα καλεῖ

Τραῦμα Διομήδους

Ὁπλοσμία

Τύμβος

Κολοσσός

κῶλα

χερμάς

*ἑρματίτης λίθος nota pro basiho, λίθος ἀρχηματίστα τῶν πλοίων ἢ κακῶς*

αὐτὸς γὰρ σὺν ἀπόλλωνι καὶ τὴν τροίαν ἐπύργωσε. πῶς δὲ γλυφήσεται ὡς ἀνδριὰς ὁ διομήδης; ἐκβαλὼν ἀπὸ τοῦ πλοίου αὐτοῦ δηλονότι τὸν ξένον. ἢ τὸν λίθον τὸν ἑρματίτην. ἢ ἐξισωτὴν τοῦ πλοίου. ἐν γὰρ τοῖς κούφοις πλοίοις οἱ πλέοντες βάλλουσι λίθους ὅπως ὀρθῶς καὶ μὴ λοξῶς τῇ κουφότητι πλέοιεν. αὔσονας δὲ κακῶς εἶπεν οὗτος ὁ λυκόφρων τούς τε φαίακας καὶ δαυνίους. αὔσονας γὰρ κυρίως ὥσπερ καὶ περὶ τὰς ἀρχὰς ἔφην οἱ αὔρουγκοι λέγονται μέσον καμπανῶν κείμενοι καὶ οὐμουλκων, ἔνιοι δὲ καὶ μέχρι λατίου αὐσονίαν ἐνόμισαν εἶναι, ὥστε ἐκ τούτου τινὲς καὶ πᾶσαν ἰταλίαν φασίν.

*φαίακες ἐν ἰταλίᾳ*

ὁ δὲ σοφὸς οὗτος λυκόφρων οὐκ οἶδα ὁποίᾳ δόξῃ τοὺς φαίακας καὶ δαυνίους ἤτοι τοὺς καλαβροὺς αὔσονας εἶπε. τὰ γὰρ τῶν πάνυ νεωτέρων ἐπίσταμαι ὅτι ἀμαθεῖς καὶ ἀναίσθητοι δόξῃ καὶ ἡμᾶς τοῦ ἑλληνικοῦ γένους ὄντας αὔσονας λέγουσι. τειχοποιὸς ὁ ποσειδῶν ἐποίησε διά τι λέγεται ὅτι τὴν τροίαν σὺν ἀπόλλωνι ἐπύργωσε, περαιτέρω δὲ πλαττόντων τὴν ἱστορίαν ἢ δι' ἐπῶν ἢ καταλογάδην ῥητῶν καὶ ἑρμηνείᾳ λέγειν ἀδόλως περιττόν ἐστι. ἀμοιβέα τὸν ποσειδῶνα λέγει. οὕτω γὰρ ἐν δελφοῖς τιμᾶται, ἐπεὶ ἠμείψαντο πρὸς ἀλλήλους ὁ μὲν ποσειδῶν καλαβροὺς ὁ δὲ ἀπόλλων δελφούς.

*ἀμοιβεὺς ποσειδῶν*

Κεῖνος δ' ἀγαύου τοῦ κασιγνήτου ἀφάρας
ὀχὰς ἀρούρας ἀμφετητύμους βαλεῖ
δίπους ἀνῆψαι μὴ ποτ' ὀμνὺς γαίας
γύας τιθαιβώσσοντος ἀρδηθμῷ Διός
ἣν μήτις αὐτοῦ ἔλθαν αἰτωλῶν σπάσας
χέρσον λαχαίνων βουσὶν αὔλακας τεμών
στήλαις δ' ἀκινήτοισιν ὀχμάσει πέδον
ἃς οὔτις ἀνδρῶν ἐκ βίας καυχήσεται

μεταχλίσας ὀλίζον· ἡ γὰρ ἄπτερως
αὐταὶ παλιμπόρευτον ἵξονται βάσιν
ἄνδηρ' ἀπέζοις ἴχνεσι δατούμεναι
θεὸς δὲ πολλοῖς αἰπὺς αὐδηθήσεται
ὅσοι παρ' Ἰοῦς γρῶνον οἰκοῦσι πέδον
δράκοντα τὸν φθέροντα Φαίακας κλανῶν
οἱ δ' ἀμφικλύστους χοιράδας σπυμνησίας
σισυρνοδῦται καρκίνοι πεπλωκότες
ἄχλαινον ἀμπρεύσουσιν νήλιπον βίον,
διπλαῖς δικώλοις σφενδόναις ὡπλισμένοι

Κριὸς δ' αἰθαίνου ἐρρέθη ὅτι ὁ αἴθαινος νόθος ἦν ἀδελφὸς Διομήδους καὶ τὸ λοιπὸν τῆς ἱστορίας. Ὄμπνιον στάχυν ὄμπαι κυρίως πυροὶ μέλιτι βεβρεγμένοι, νῦν δὲ ἁπλῶς δημητριακὸν σῖτον εἶπεν, γύας τοὺς ἠροτριασμένους τόπους. ἀκινήτους τὰς στήλας εἶπε διὰ τὸ ῥίπτεσθαι εἰς τὸν βυθὸν αὐτὰς ~~ὑπὸ~~ ὑπὸ τοῦ δαιμονίου καὶ πάλιν ἐξέρχεσθαι. ἀπτέρως ὁμοπτέρως ταχέως. ἄνδηρα κυρίως τὰ χείλη τοῦ ποταμοῦ, νῦν δὲ τὰ κύματα λέγει. ἀπέζοις ἴχνεσι τοῖς μὴ ἔχουσι πέζας ἤτοι πόδας, μαρμάρινοι γὰρ ἦσαν αἱ στῆλαι. θεὸς δὲ πολλοῖς οἱ Φαίακες ἀνέσσουσι τὸν Διομήδην ὅτι δράκοντα ἀνεῖλεν ἐκ Κόλχων ἐλθόντα, τινὲς δέ φασι ξύλον εἶναι τὸν δράκοντα. ἡ δὲ Φαιακία περὶ τὸν Ἰόνιον κόλπον ἐστίν. ὁ δὲ Ἰόνιος κόλπος κατὰ τὸν Λυκόφρονα καὶ Αἰσχύλον ἀπὸ τῆς Ἰοῦς ἐκλήθη· φησὶ γὰρ Αἰσχύλος ἐν Προμηθεῖ. χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχὸς σαφῶς ἐπίστασ' Ἰόνιος κεκλήσεται τῆς σῆς πορείας μνημεῖα τοῖς πᾶσι βροτοῖς, πρότερον γὰρ Κρόνιος καὶ Ῥέας κόλπος ἐλέγετο εἶτα Ἰόνιος οὕτως ἐκλήθη. ἐκ γὰρ Δωδώνης ἐκεῖ ἀντεπεραιοῦ

αἴθαινος
ὄμπναι
γύαι
Φαιακία
Ἰόνιος κόλπος

Belus filius neptuni ex libya. Aeschyli interpres in prometheo

hoc est canopo egypti

ἐν δὲ κανώβῳ ἔμφρων ἐγένετο, ἔνθα ἐκ τοῦ διὸς ἔπαφος ἐ-
παφηθεῖσα γεννᾷ, οὗ λιβύη, ἧς βῆλος, οὗ δαναὸς καὶ αἴγυπτος
καὶ οὕτω μὲν φασὶ τὸν ἰόνιον οὕτω κληθῆναι. ἄλλοι δέ φα-
σιν ἀπὸ ἰονίου ἰλλυρικοῦ υἱοῦ ἀδρίου τοῦ περὶ τοῦτο
τὸ πέλαγος κτίσαντος πόλιν τὴν λεγομένην ἀδρίαν ἣν
ἕτεροι φασὶ καὶ ὑπὸ διονυσίου τοῦ προτέρου τυράννου σι-
κελίας κτισθῆναι, τὸ δὲ πέλαγος ὡς ἔφην ἀπὸ τοῦ ἰονίου
ἐκλήθη. Οἱ δ' ἀμφικλύστους ἕτεροι δὲ ἤτοι βοιωτοὶ οὓς
καὶ καρκίνους λέγει πλεύσαντες εἰς χοιράδας πέτρας
τὰς γυμνασίας διάξουσι γυμνὸν βίον ἀνυπόδετοι
τρεῖς σφενδόνας κατέχοντες μίαν τῷ αὐχένι· ἑτέραν πε-
ριεζωσμένοι τῇ ὀσφύϊ καὶ ἄλλην τῇ χειρί, ὅπου αἱ μη-
τέρες τὴν σφενδόνην τοῖς νηπίοις παισὶ διδάσκουσι
οὐ γάρ τις τῶν παιδαρίων τῶν ἐκεῖσε γεύεται ἄρτου ἢ
μὴ καταλάβοι αὐτὸν εὐστοχίᾳ σφενδονικῇ ἀντὶ σκο-
ποῦ κείμενον ὑπὲρ σανίδος. αἱ δὲ γυμνήσιαι αὗ-
ται νῆσοι περὶ τὴν τυρσηνίαν εἰσίν, μέμνηται δὲ
αὐτῶν καὶ ἀρτεμίδωρος. τίμαιος φησὶ τινὰς εἰς ταύτας
τὰς νήσους ἐλθεῖν τῶν βοιωτῶν. εἰς νήσους χοιράδας
εἶπεν. φιλταίας δὲ ἐν τῇ ναξιακῶν βαλιαρίδας
φησὶν αὐτὰς ὕστερον ὀνομασθῆναι. εἰσὶ δὲ οἱ ἐν
ταύταις οἰκοῦντες ἄριστοι σφενδονῖται αἱ γὰρ μητέρες
αὐτῶν ὡς ἔφην τιθέασιν ἐπί τινος ξύλου ἄρτον καὶ
οὐ πρότερον διδόασι φαγεῖν πρὶν καταβαλεῖν τὸν ἄρ-
τον. ταῦτα μὲν οὗτοι περὶ γυμνασίων νήσων. δίων
δὲ ὁ κοκκειανὸς ταύτας φησὶ πλησίον εἶναι τοῦ ἴ-
βηρος ποταμοῦ πλησίον τῶν εὐρωπαίων ἡρακλέων
στηλῶν, ἃς νήσους ἕλληνες μὲν καὶ ῥωμαῖοι ἰδίως
γυμνασίας αὐτὰς οὕτω φασὶ κληθῆναι ἤτοι οἱ σπε-
εισωθάντες τῶν θερινῶν ἐκεῖσε γυμνοὶ ἐξηνέχθησαν
ἢ συνοικήσαντες γυναιξὶ οὕτω τοὺς παῖδας καὶ τὰς
νήσους ἐκά-
λεσαν

ἔπαφος οὗ λιβύη ἧς βῆλος οὗ δαναὸς καὶ αἴγυπτος

τρεῖς σφενδόναι

Γυμνήσιαι νῆσοι

σισυρνοδῦται διαφέρει σίσυς. σισύρα. καὶ σισύρνα
σίσυς μὲν λέγεται πᾶν εὐτελὲς ἱμάτιον. σισύρα, σίσυς
δὲ τὸ ἐκ δέρματος ἔνθριχον ἢ τὸ ἁπλῶς ἐξ ἐρίου σισύρα,
ἱμάτιον, σισύρνα δὲ τὸ ἄθριχον ἱμάτιον δερμάτιον, σισύρνα,
καρκῖνοι δὲ διὰ τὸ σκληρωθῆναι αὐτῶν ὑπὸ θαλάσ-
σης τὰς σάρκας οὕτως αὐτοὺς ἐκάλεσαν. ἀμ-
πρεύσουσιν ἐμπορεύσουσιν, κακοπαθήσουσιν ἀμπρεύσουσι
ἄμπρος γὰρ καλεῖται τὸ σχοινίον τὸ ἕλκον τοὺς βό- ἄμπρος
ας ἢ τὸ ξύλον τὸ ὑποκείμενον τοῖς αὐχέσι τῶν
ὑποζυγίων

ὧν αἱ τεκοῦσαι τὴν ἑκηβόλον τέχνην
ἄορτα παιδεύουσιν ἠπίους γονάς
οὐ γάρ τις αὐτῶν ψαύσεται πύρνον γνάθῳ
πρὶν ἂν κραδαίνων ναστὸν ἀστόχῳ λίθῳ
ὑπὲρ τραφήκος σῆμα κείμενον σκοποῦ
καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπράς
ἰβηροβοσκοὺς ἄγχι Ταρτησσοῦ πύλης
Ἄρνης παλαιᾶς γέννα Τεμμίκων πρόμοι
Γραῖαν ποθοῦντες καὶ Λεοντάρνης πάγους
Σκῶλόν τε καὶ Τέγυραν Ὀγχηστοῦ θ' ἕδος
καὶ χεῦμα Θερμώδοντος, Ὑψάρνου θ' ὕδωρ

ναστός κυρίως ἄρτος ζυμωτὸς μετὰ μέλιτος ἢ σταφί- ναστός
δων ἢ ἄλλων ἡδέων, νῦν δὲ αὐτὸ ἁπλῶς τὸν ἄρτον εἶπεν
τραφήκος τράφηξ κυρίως ἡ ὑπόπαχος σανὶς ἐν ᾗ
τοὺς ἄρτους πρὸς τοὺς κλιβάνους ὑπάγουσι, νῦν τράφηξ
δὲ τὸ ἁπλῶς ξύλον εἶπε, τράφηξ καλεῖται καὶ τὸ χεῖλος
τοῦ πλοίου ἐν ᾧ οἱ σκαλμοὶ τίθενται. λεπράς λεπραί
θαλάσσῃ βεβρωμένας, ἰβηροβοσκούς αἳ γὰρ γυμ-
νήσιαι πλησίον Ἰβήρων, ἡ δὲ Ἰβηρία καὶ Ἱσπα-
νία καλεῖται παρὰ Λατίνοις, Ταρτησσὸς δὲ νῆσος Ταρτησσός

argantonius

ἡ πόλις ἧς ἀργαθόνης ἐβασίλευσε ζήσας ἔτη ἑκατὸν εἴ
κοσι ἀφ' ὧν ἐβασίλευσεν π΄. ὥς φησιν Ἡρόδοτος,
κεῖται δὲ αὕτη πλησίον Ἡρακλέων στηλῶν, πύλην
δὲ αὐτὴν εἴρηκε διὰ τὸ στενὸν εἶναι τὸ μεταξὺ τῶν
Ἡρακλέων στηλῶν ὡς στόμα, δι' οὗ ἔκπλους ἐστὶν εἰς τὸν
ὠκεανόν. Ἄρνης πόλις Βοιωτίας ἀπὸ Ἄρνης τῆς
Ποσειδῶνος, ἀπηρνήσατο μὴ ἔχειν αὐτὸν ὅθεν ἡ πόλις
ἐκλήθη, πρότερον σιωπήσασα, ἠγνοουμένη ὥς φησι Θη
σεὺς ἐν ζ΄ τῆς κορινθιακῶν. Σκῶλον ὁ αὐτὸς οὕτω φη
σὶ κληθῆναι παρὰ τῶν οἰκούντων αὐτῶν ἡρώων.
σκῶλον γὰρ τὸ πρόβατον οἱ Κᾶρες φασίν. Τεμμίκων
τῶν Βοιωτῶν ἀπὸ ὄρους Τεμμίκου. Γραῖαν τὴν
νῦν Τάναγραν. ἡ πόλιν Βοιωτίας. Λεοντάρνη πόλις
Βοιωτίας ἀθάμαντος γὰρ ἐκθύειν μέλλοντος θύειν Ἀρνα λέ
ων ἥρπασεν ἐκ τῆς θυσίας. σκῶλος ἡ Τέγυρα ὁμοί
ως πόλεις Βοιωτίας, Ὀγχηστὸς δὲ ἄλσος ἱερὸν Ποσειδῶ
νος ὥς φησιν Ὅμηρος Ὀγχηστόν θ' ἱερὸν Ποσειδῶνος ἀ
γλαὸν ἄλσος. Θερμώδων ἐστὶ μὲν ἕτερος ποταμὸς Πα
φλαγονίας περὶ Σινώπην ὅπου ἦσαν αἱ Ἀμαζόνες
ὁ δὲ νῦν καλούμενος Θερμώδων ἢ ὕψαρνος Βοιωτίας εἰσὶ
ποταμοί. ~~τοὺς δ' ἀμ~~

τοὺς δ' ἀμφὶ Σύρτιν ἢ Λυβιστικὰς πλάκας
στενήν τε πορθμοῦ συνδρομὴν Τυρσηνικοῦ
ἢ μιξόθηρος ναυτιλοφθόρους σκοπὰς
τῆς πρὶν θανούσης ἐκ χερὸς μηκιστέως
τοῦ στερφοπέπλου σκαπανέως βοηλάτου,
ἀρ[illegible]γοσωνων κλώμακας τ' ἀηδόνων
πλαγχθέντας ὠμόσιτα, δαιταλουμένους
ἕνα, φθαρέντων ἄγγελον λιπὼν φίλων
δέξει φοινοδαίμου κλῶπα φοινίκης θεᾶς

ἄρνη
σκῶλ
Τέμμικον
Γραῖα
Leontarne. V.
σκῶλος
Τέγυρα
ὀγχηστός
θερμώδων
ὕψαρνος

Τοὺς δ' ἀμφὶ σύρτιν. τοὺς περὶ τὸν ὀδυσσέα λέγει, ~~περὶ~~ περὶ γὰρ τὴν λιβύην ἐκπεσόντες ἐπλανῶντο. δύο δὲ εἰσὶ σύρτεις ἐν λιβύῃ, ἡ μὲν μείζων ἡ δὲ μικρά. γράφεται δὲ καὶ ~~λι~~ λιγυστικάς. οἱ δὲ ~~[illegible]~~ λυγιστινοι μετὰ τυρσηνῶν. ζευγνὺν δέ. πορθμοῦ συνδρομὴν λέγει. ἐπεὶ δὴ ὁ πορθμὸς μέσος κεῖται τοῦ ἀδριανικοῦ καὶ τυρσηνικοῦ πελάγους, τοῦ μὲν λήγων, τοῦ δ' ἀρχομένου, τὸ δὲ τυρσηνικὸν πέλαγος μεταξὺ ῥηγίου καὶ μεσσήνης κεῖται. τὸ δ' ἑξῆς οὕτως. τοὺς δ' ἀμφὶ σύρτιν καὶ λιβύην καὶ τὸν πορθμὸν ἐν τυρσηνίᾳ πλανηθέντας πάντας ὁ πανδόκος ἅδης καθέλῃ(?). λιβυστικὸν καὶ λιγυστικὸν τὸ αὐτό ἐστι. λιβυστικὸν μὲν γὰρ λέγεται ἀπὸ λιβύης τῆς ἐπάφου θυγατρός, λιγυστικὸν ἀπὸ λίγυος τοῦ ἀλεβίωνος ἀδελφοῦ ὃς ἡρακλέα κωλύων ἀπερχόμενον ἐπὶ τὰς γηρυόνου βοῦς ἀνῃρέθη. εὐρώπης καὶ λιβύης ἄκρους πορθμὸς σταδίων ἑπτά, ἔνθα περὶ τὴν λιβύην καὶ αἱ ἡρακλέους δύο ἵστανται στῆλαι. ἄβιννα(?) καὶ ἄλυβη λεγόμεναι. ἐκεῖ δέ εἰσι τὰ γάδειρα, ἃ πρότερον νῆσος κοτινοῦσα ἐλέγετο, ποταμὸς δὲ γαδείρων βαίτης ἔνθα ἡ πηγὴ ἀθρόον καὶ οὐκ ἀπόλειπον ἐκπίπτει δίκην ἀστραπῆς. καὶ τὰ μὲν γάδειρα κατὰ τὸ τῆς εὐρώπης κεῖται τέρμα. μακάρων δὲ νῆσοι ὁρίζονται τῷ λιβυστικῷ τέρματι πρὸς τὸ ἀοίκητον ἀνέχουσαι ἀκρωτήριον. κλέαρχος δὲ τὰς καὶ γάδειρα πόλεις τοῦ βριαρέως ἢ ἡρακλέους εἶναι λέγει μεθ' ὃν δεύτερος ἡρακλῆς ὁ τύριος ἦλθεν εἰς τὰ γάδειρα καὶ τρίτον ἡμῖν(?) σύρτις καὶ χάρυβδις. ἔστι δὲ ὄνομα τόπου θαλάσσης περὶ μεσσήνην καὶ λιβύην ἔνθα ὁ τυρρηνὸς ἀέρι συμβαλλόμενον(?) δίνην ἐργάζεται τὴν χάρυβδιν, ἀδρίας δὲ καὶ σίνων ὀνόματα ποταμῶν ῥεόντων εἰς τὸν ἰόνιον, ἡ μιξόθηρος τῆς σκύλλης ἢ τῆς κατ' ἐμέ(?) θυγάτηρ ἣν νίσου τοῦ μεγαρέως, τεμοῦσα δὲ τὴν χρυσῆν αὐτοῦ

σύρτεις δύο

τυρσηνικὸν πέλαγος

Gadira prius Scotinusa dicta. legendum cotinusa

γάδειρα

βαίτης ποταμός

μακάρων νῆσοι

ἀδρίας σίνων

σκύλλη

Scyllæ fabula

ῥίζαν καὶ ἀνανδρεῖ αὐτὸν ἐργασαμένη. ἐκείνη γὰρ τὴν θρίξ(?) ἦν αὐτῷ τὸ πᾶν τῆς δυνάμεως καθάπερ καὶ τῷ σαμψὼν καὶ ἀνῃρέθη ὑπὸ τοῦ μίνωος ᾧ καὶ προὔδωκε τὸν πατέρα κρεμασθεῖσα τῆς πρώρας τῆς ἐκείνου νεὼς καὶ ἑλκομένη διὰ τῆς θαλάσσης ὅθεν καὶ ὁ τόπος τῆς θαλάσσης οἶμαι ἐκλήθη. ἄλλοι δέ φασὶ γυναῖκα εἶναι ἀπρεπῆ ἣν μισγομένην ποσειδῶνι γνοῦσα ἀμφιτρίτη ἐνέβαλε φάρμακα τῇ πηγῇ ᾗ ἔθος εἶχεν ἡ σκύλλα λούεσθαι καὶ ἀπεθηρίωσεν αὐτὴν εἰς θηρίον ἓξ κεφαλὰς ἔχον. κάμπης. κυνός. γοργόνης. φαλαίνης. ἀνθρώπου. καὶ ταῦτα μὲν ἱστορικὰ καὶ μυθικά, ὅπως δ' αὐτὸς ἠλληγόρησα. μηκιστέως μηκιστεὺς ὁ ἡρακλῆς τιμᾶται παρὰ πλείοις. στερφοπέπλου τοῦ λεοντῆν ἐνδεδυμένου, στέρφος γὰρ τὸ λέοντος δέρμα. σκαπανέα(?) ὅτι ἔσκαψε τὸ περίττωμα τῆς ἐπαύλεως τῶν βοῶν αὐγέου τοῦ ἠλείων βασιλέως. καὶ πέμψας ἔξω πρὸς τὴν βουσταθμίαν(?) ποταμοὺς δύο τόν τε ἀλφειὸν καὶ πηνειὸν τὴν ἅμαξαν(?) ἐκείνην τῶν βοῶν κόπρον καθαίρει ὑπ' εὐρυσθέως τοῦτο προσαχθεὶς ὡς τοὺς λοιποὺς ἄθλους. βοαγίδα(?) ὅτι βόας τοῦ γηρυόνου ἐξ ἐρυθείας τῆς περὶ τὸν ὠκεανὸν νήσου ὥς φησιν ὁ ἀππιανὸς ἐν κελτικῇ(?). αὐτῷ δ' ἐπ' ὠκεανῷ δηρήσατο(?) γηρυόνῃ καὶ ἡσίοδος οἶμαι ἐν θεογονίᾳ ὄρθρον(?) τε κτείνας καὶ βουκόλον εὐρυτίωνα ἄγαλε(?) καὶ γηρυόνην αὐτὸν ὑπὲρ τῶν βοῶν μαχόμενον μάχεσθαι(?) τοξεύσας αὐτὸν περὶ ποταμὸν ἀνθεμοῦντα. ἦν δὲ γηρυόνης χρυσάορου παῖς καὶ θυγατρὸς ὠκεανοῦ καλλιρρόης. δύο δένδρα περὶ τὸν τάφον ἐκείνου ἔξωτα(?) καθὰ λέγεται αἵματος. ἦν δὲ καὶ τρικέφαλος τρισώματος ὁ γηρυόνης. ἁρπυιογόνων ἀπὸ τοῦ μέρους ὀρνιθογόνων. λέγει περὶ σειρήνων. αἵτινες θυγατέρες ἦσαν

~~μηκ~~ μηκιστεὺς ἡρακλῆς

στέρφος

De purgatione stercoris boum Augeæ regis

:f. n.

γηρυόνης

στησιχόρης μούσης καὶ ἀχελώου ποταμοῦ μεταξὺ ῥέοντος αἰτωλίας καὶ ὑρκανίας τῆς καὶ ἀμβρακίας νῦν δὲ νικοπόλεως ἀπὸ τοῦ τὸν ὀκταούϊον καίσαρα νικῆσαι ἐκεῖ τὸν ἀντώνιον. ἅρπη δὲ εἶδος ὀρνέου καὶ ἅρπυια, ὁμοίως καὶ οἱ ἀνέμοι ἁρπυίαι λέγονται καὶ ὀνόματα θηλειῶν πτερωτῶν δαιμόνων, ἁρπυιογόνους δὲ λέγει τὰς ἁρπυίας ἤγουν οἷον ὀρνιθογόνους πτερωταὶ γὰρ ἦσαν τὰ δὲ κάτω μέρη ὀρνίθων ἔχουσαι ἐξ αἱ μοῦσαι νικήσασαι μελῳδίᾳ τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν πλὴν στησιχόρης ὅτι μήτηρ ἦν σειρήνων, περὶ τὲ κρήτην ταῦτα γεγόνασιν ὅθεν καὶ πόλις ἄπτερα τῆς κρήτης παρὰ τὸ ἐκεῖ τὰ πτερὰ νικηθείσας ἀποβαλεῖν τὰς σειρῆνας. ἦσαν δὲ ὡς ἔφαμεν αἱ σειρῆνες τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων οἰκοῦσαι περὶ τὴν τυρσηνίαν ὡς ἡ σκύλλα ἐκ κεφαλὰς ἔχειν ὡς ἔπομεν τὰ δὲ ἄνω ἀνθρώπου περὶ τὸ ῥήγιον οὖσα τῆς σικελίας, ἧς πλησίον ἡ χάρυβδις περὶ μεσσήνην, ὥσπερ καὶ αἱ γοργόνες ἐν ταρτησσῷ τῆς ἰβηρίας καὶ γηρυόνες ἐν ταρτῷ ταύτας λέγουσι πτερωταὶ καὶ αὗται καὶ δρακοντώδεις ἔχουσαι βοστρύχους. ὡς ἅρπυιαι ἐν θράκῃ ὦτα ἄρκτων, σώματα γυπῶν, πρόσωπα κίρκων ἔχουσαι, καὶ ἡ ἔχιδνα περὶ λυδίαν στέρνα, καὶ κεφαλὴν κόρης τὰ δὲ κάτω ὄφις, ὡς καὶ ὄρθος γηρυόνου κύων ἐν ἐρυθείᾳ δύο κυνῶν κεφαλὰς ἔχων ἑπτὰ δρακόντων καὶ ἄγριος καὶ μινώταυρος ἐν κρήτῃ βοὸς ἔχων πρόσωπον τὸ δὲ λοιπὸν σῶμα ἀνδρός. ταῦτα μεταφορικῶς εἰρήκαμεν περὶ τερατομόρφων ζώων ἐστὶ καὶ αἱ σειρῆνες μυθικῶς ἐν ὑποθέμεθα, τερατώδεις ποτὲ, ἀλληγορικώτερον δὲ σειρῆνες εἰσὶν αἱ ἡδοναί. ὁ δὲ νεώτερος πλούταρχος ἐταιρίδας ταύτας φησὶ κατέχουσας αἰμυλίαις τοὺς παραπλέοντας, εἰσὶ δὲ σειρῆνες καὶ ζωΰφια μελίσσαις παρόμοια. Κλώμακας ζαχεῖς

:: ἢ τερατομόρφων

ἀχελῶος ποτα(μός)
ἅρπυιαι
:: γρ. σειρῆνας
σειρήνων μήτ(ηρ)
ἄπτερα
σκύλλα
χάρυβδις
γοργόνες
ἅρπυιαι
ἔχιδνα
ἄγριος
μινώταυρ(ος)
σειρῆνες ζωΰφια

τόπους, ἀκρωτήρια. ἀηδόνων τῶν σειρήνων διὰ τὸ θελκτικόν. ὠμόσιτα δαιταλωμένους ὠμὰ ἐσθίοντας. ληρεῖ δέ, τοῦτο γάρ φησι περὶ τοῦ ὅταν ἐν τῇ τοῦ ἡλίου νήσῳ γενόμενοι ἥλιευον ἰχθῦς ἐν ἀγκίστροις καὶ οὕτω διέζων ἀλλ' οὐχὶ καὶ ὠμοὺς ὦ Λυκόφρον τούτους ἤσθιον. δελφινόσημον Στησίχορος φησὶ ὅτι Ὀδυσσέα ἐπὶ τῆς ἀσπίδος φέρειν δελφῖνος τύπον καὶ Εὐφορίων ὁμοίως. Κλῶπα ὅτι τὸ παλλάδιον ὁ Ὀδυσσεὺς μετὰ Διομήδους ἐν τῇ Τροίᾳ ἔκλεψε δόντος αὐτοῖς αὐτὸ τοῦ Ἀντήνορος. Θεανὼ γὰρ ἡ Ἀντήνορος γυνὴ τῆς ἐκεῖσε Ἀθηνᾶς ὑπῆρχεν ἱέρεια. Φοινίκη δὲ ἡ Ἀθηνᾶ ἐν Κορίνθῳ τιμᾶται

ὁ Ἀντήνωρ ἔδωκε τὸ παλλάδιον Ὀδυσσεῖ καὶ Διομήδει

Φοινίκη Ἀθηνᾶ

Ὃς ὄψεται μὲν τοῦ μονογλήνου στέγας
χρώνος οἴνης τῷ κρεασφάγῳ σκύφον
χεροῖν προτείνων τοῦ πιδόρπου ποτοῦ,
ἐπόψεται δὲ λέψανον τοξευμάτων
τοῦ καραμύντου δευκὲς παλαίμονος

μονογλήνου τοῦ κύκλωπος. λέψανον τοξευμάτων τοὺς Λαιστρυγόνας λέγει· τούτους γὰρ ὁ Ἡρακλῆς κατετόξευσεν ἡνίκα ἤλαυνε τὰς βοῦς τοῦ Γηρυόνου ~~πολεμοῦντας~~ ἐπιχειροῦντας αὐτῷ πολεμεῖν. λέψανον δὲ τοὺς ὑπολοίπους τῶν ἀναιρεθέντων. Λαιστρυγόνες δέ εἰσιν οἱ νῦν ἐν τῇ Σικελίᾳ Λεοντῖνοι. Κηραμύντης δὲ ὁ Ἡρακλῆς ὁ τὰς κῆρας διώκων ἀλεξίκακος γάρ, παλαίμων δὲ ὁ αὐτὸς διὰ τὸ παλαῖσαι δὶς ἐν Ὀλυμπίᾳ πρὸς τῷ Ἀχιλλεῖ ἐν Πύλῳ περὶ τοῦ γάμου Δηιανείρας. Φερεκύδης δέ φησι μετὰ τὸ καταπαλαῖσαι αὐτὸν Ἀνταῖον τὸν Λίβυν ἑξακοντάπηχυν ὄντα καὶ κατάξαι οὐ τὰ ὀστᾶ πρὸς Ὀλυμπίαν ὡς μὴ ἀντισοῖτο ἐμίγη τῇ τοῦ ῥηθέντος Ἀνταίου γυναικὶ Ἰφιόνῃ καὶ ἐξ αὐτῆς παῖδα γεννᾷ,

Λαιστρυγόνες οἱ Λεοντῖνοι νῦν

Κηραμύντης

Παλαίμων

+ α χελώω

Ἀνταῖος ἑξακοντάπηχος

Ἰφιόνη

παλαίμονα. τεσσάρων δὲ πηχέων ἦν ἡρακλῆς καὶ ποδὸς ἑνὸς καθάπερ ὁ ποντικὸς ἡρόδοτος ἱστορεῖ. μνησικράτης δὲ ὁ περὶ νικαίας συγγεγραφὼς ἀναγκαῖον φησὶν πρότερον καλεῖσθαι τὸν ἡρακλέα, ὁπότε καὶ τοὺς ἐκ μεγάρας αὐτῷ γεγεννημένους ἑπτὰ παῖδας καὶ οὐ τέσσαρας ἀνεῖλεν ὥς φησι καὶ πίνδαρος χαλκοκοραν ὀκτὼ θανόντων τοὺς μεγάρα οἱ τέκε κρεοντίας υἱούς. ἔκτοτε δὲ ἡρακλῆς ἀπὸ χρησμοῦ ἐκλήθη, ὁ δὲ χρησμὸς οὕτω πως ἔχει. οὐκέτι παλαίμων κληθήσῃ ἡρακλέα δέ σε φοῖβος ἀπόλλων καλεῖ ἥρα γὰρ ἀνθρώποισι πρῶτος ἔφανης. τοῦ δὲ χρησμοῦ τούτου ὃν οὐδὲ γινώσκω ἕτερος πάλιν ἱστορικὸς λέγει.

ἡρακλῆς τεσσάρων πηχέων καὶ ποδὸς ἑνός

Οἱ πάντα θρανύξαντες ἐν τόρνῳ σκάφει
χοίνῳ κακὴν ζήσουσι κεστρέων ἄλην
λύγος δ' ἐπ' ἄγνῳ μόχθος ἄθλιος μενεῖ
τοῦ πρόσθεν αἰεὶ πλεῖον ἐξωλέστερος.
ποία χάρυβδις οὐχὶ δαίσεται νεκρῶν
ποία δ' ἐρινὺς μιξοπάρθενος κύων
τίς οὐκ ἀηδὼν στεῖρα κενταυροκτόνος
αἰτωλὶς ἢ κουρῆτις αἰολωμέλη
ποσὶ τακῆναι σάρκας ἀκμήνους βορᾶς

Varant hec omnia ut existimo & si erant in codice unde hic exscriptus est

Οἱ πάντα θρανύξαντες. ~~ἢ συντρίψαντες ἐν τῷ εὐτόρνῳ ἢ περιφερεῖ σκάφει ἢ λιμένι κατὰ τοὺς μεταφραστὰς~~ οἵτινες πάντα τὰ πλοῖα δηλονότι τοῦ ὀδυσσέως θρανύξαντες ἢ συντρίψαντες ἐν τῷ εὐτόρνῳ ἢ περιφερεῖ σκάφει ἢ λιμένι ἐν χοίνῳ ζήσουσι ἢ ζητήσουσι τὴν κακὴν ἄγραν τῶν κεστρέων ἢ τῶν γομφαρίων. γόμφοις δὲ ἰχθύσιν ἔκλασε τοὺς ὀδυσσέως φίλους ἀνῃρημένους καὶ ἐσθιομένους ὑπὸ τῶν λαιστρυγόνων. οἱ ἄλλοι δὲ τοὺς κεστρέας ἤτοι τὰ γομφάρια ζητοῦντες χοινίῳ πιπράσκουσι καὶ

χοῖνος. σημ(είωσαι)

ὠνοῦνται καὶ ἐσθίουσιν οἱ βουλόμενοι. χοῖνος δὲ εἶδος φυτοῦ μεθ' οὗ πλέκουσι τὰς σπυρίδας. μετάφρασις τὸ ὁμηρικ(όν)·

" ἰχθῦς δ' ὡς πείροντες ἀτερπέα δαῖτα, ~~ἀτερπ~~ πένοντο.

ἄλγος δ' ἐπ' ἄλγει. ἤγουν ἐπερχομένη αὐτῷ συμφορὰ πολὺ ὀλεθριωτέρα τῆς παρελθούσης. ἐξυδρώσεις ὕδατος ἀναρροί-βδήσεις. μιξοπάρθενος κύων. ἤγουν σκύλλα, περὶ ἧς πολλάκις εἴπομεν. ἀηδόνας τὰς σειρῆνας λέγει διὰ τὸ λάλον. καὶ περὶ τούτων εἴπομεν, γραίας αὐτὰς λέγει διὰ τὸ προγενοῦς εἶναι. ἔτι δὲ ὅτι καὶ οἱ κατασκευάσαντες αὐτῶν γέροι καὶ ἄσονοι ἐγένοντο ἐξ ἑαυτῶν γάρ. Κενταυροκτόνος ἐπειδὴ

⁘ γρ. θεσσαλίας

οἱ κένταυροι διωχθέντες ἀπὸ θαλασσίας ὑφ' ἡρακλέους εἰς τὰς τῶν σειρήνων νήσους παρεγένοντο καὶ τῇ ᾠδῇ ἐκείνων θελγόμενοι ἀπώλοντο. ἡρακλῆς γὰρ ἐν φολόῃ ἐπεξενώθη

περὶ ἡρακλέους σημ(είωσαι)

φόλῳ τῷ κενταύρῳ καὶ ὁ φόλος οἶνον ἐκίρνα αὐτῷ ἤμελλε, τὸν κοινὸν κενταύρων πίθον ἀνοίξας, ἐπελθόντες δὲ οἱ κένταυροι καὶ γνόντες τὸ συμβὰν ἐκ τῆς οἴνου ὀσμῆς ἐφώρμησαν, καὶ ὁ ἡρακλῆς τόξα λαβὼν τοὺς μὲν αὐτῶν ἐτόξευσεν ὥσπερ καὶ τὸν χείρωνα ἀκουσίως βαλὼν οἶμαι περὶ τὸ γόνυ, τοὺς δὲ λοιποὺς ἐδίωξεν, οἱ φυγόντες ὡς ἔφαμεν παρὰ τὰς σειρήνων νήσους ἀπώλοντο, αἰτωλὶς ἡ κουρῆτις. τερψιχόρης τῆς μούσης καὶ ἀχελώου τοῦ ποταμοῦ θυγατέρας ἔφαμεν τὰς σειρῆνας. ὁ δὲ ἀχελῶος ὁ γλυκύτατος τῶν ἁπανταχοῦ ποταμῶν μεταξὺ αἰτωλίας καὶ κουρῆτιδος τῆς ἀκαρνανίας καὶ ἀμβρακίας νῦν δὲ νικοπόλεως ῥεῖ. ὅθεν οὗτος εἶπεν ὡς ἀμφιβαλλόμενον εἴτε αἰτωλικοῦ νάμου εἴτε ~~ἀμβρακικοῦ~~ ἀκαρνανικοῦ ἐστὶν ὁ ἀχελῶος. —

ἀχελῶος γλυκύτατος ποταμῶν

ποίαν δὲ θηρόπλαστον οὐκ ἐσόψεται
δράκαιναν ἐγκυκῶσαν ἀλφίτῳ θρόνα
καὶ κῆρα κνωπόμορφον· οἱ δὲ δύσμοροι
στένοντες ἄτας ἐν συφοῖσι φορβάδες

σίσαρτα χιλῷ μεμιγμένα ζυγός
καὶ σέσφυλα βρύζουσιν ἀγάνην βλάβης,
μῶλυ σαώσει ~~ῥίζο~~ ῥίζα καὶ κτάρος φανείς
νωνακριάτης τρικέφαλος φαιδρὸς θεός

~~θηρο~~

θηρόπλαστ] τὴν κίρκην τὴν χοίρους ποιήσασαν κατὰ τὸν μῦθον τοὺς ἑταίρους τοῦ ὀδυσσέως. ἀλληγορικῶς δὲ καὶ φιλαλήθως. ὁ κορίνθιος καὶ ἡμεῖς καὶ ἕτεροι τὴν ἀλήθειαν ἐπιστάμεθα, ἀλλ' ἐὰς οὐ χωρεῖν μακρὰν μυθικῶν λυκόφρονος σάκκον ἀλληγοριῶν μὴ μύσας ἀρκεῖ καὶ μόνον τὸ πλῆθος τῶν μυθικῶν ἀλληγοριῶν λέγειν, εἰ γὰρ ταύτην τὴν μυθικὴν ἀλληγορήσαιμεν ἱστορίαν θελήσει τις ἀκοῦσαι καὶ τὰ λοιπά, καὶ λοιπὸν μεῖζον μοι τὸ πάρεργον τοῦ βίου γενήσεται ὥστε τὴν τὴν περὶ ὀδυσσέα ἐν βραχεῖ μέρει τοῦ λυκόφρονος ἀλληγορῆσαι καὶ τὰς λοιπὰς ἑτέρας ἱστορίας ὅθεν ἐατέον τὰ πολλὰ λέγειν ἀλληγορικῶς. τινὰ δὲ ὅσα βραχεῖαν ἔχει τὴν ἀλληγορίαν ἐρῶ. θηρόπλαστ] τὴν θηροπλαστοῦσαν. ἢ θῆρας ποιοῦσαν. τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. δράκαιναν διὰ τὸ ἄγειν τὴν κίρκην λέγει. ἢ διὰ τὸ ὀξυδερκὲς καὶ δραστήριον. ἐγκυκῶσ' ἀλφίτῳ θρόνα. ἄλευρα κυρίως τὰ ἐκ σίτου. ἄλφιτα τὰ ἐκ κριθῶν ἄλευρα, νῦν δὲ ἄλφιτα τὸν ἄρτον καὶ τὴν τροφὴν λέγει. ἐγκυκῶσα δὲ ἀντὶ συνταράττουσαν ἐν γὰρ τῇ βρώσει τῶν ὀδυσσέως ἑταίρων. τυρὸν. ἄλφιτα. μέλι οἶνον συνεταράξε καὶ δοῦσα πιεῖν καὶ ῥάβδῳ πλήξασα εἰς χοίρους αὐτοὺς μετεμόρφωσε. θρόνα φάρμακα μαγικά. καὶ κῆρα κνωπόμορφ] ἢ θηριόμορφ]. ἀπὸ κοινοῦ τὸ κυκῶσα. κνῶπες δὲ τὰ θηρία ὡς νίκανδρος ἵνα κνῶπες ζαφεγεῖν βόσκονται ὕλην. κινώπετα δὲ καὶ κνώπετα καὶ κνῶπες τὰ θηρία τὰ ἐν τῷ πέζῳ, ἢ τῷ πέδῳ κινούμενα, ἤτοι τὰ χερσαῖα, ὥσπερ τὰ θαλάσσια

ἄλευρα
ἄλφιτα
θρόνα

θρόνα -the

κνῶπες
κινώπετα
κνώπετα

Κνώπαλα

κνώπαλα καὶ τὰ χερσαῖα καὶ ὀρεσίβοσκα. ἢ παρὰ τὸ κνώσσειν ἤτοι κοιμᾶσθαι ἐν τοῖς λασίοις καὶ δασέσι τόποις. γίγαρτα ζυγὸς καὶ σταφυλῆς. καὶ στέμφυλα βρύξουσι. ἤτοι φάγωσι συμμεμιγμένα τῇ χιλῷ ἤτοι τῇ τροφῇ. γίγαρτα δὲ λέγονται τὰ ἔνδον τῶν σταφυλῶν καὶ ῥοιῶν σπέρματα. στέμφυλα τὰ ἔξω τῶν σταφυλῶν δέρματα. κακῶς δὲ νοῶν ὁ Λυκόφρων πρὸς τὴν ὁμηρικὴν γραφὴν λέγει, ἐκεῖ γὰρ

Γίγαρτα, στέμφυλα — τῆς σταφυλῆς

περίκυκλ

περίκυκλ φησὶν αὐτοῖς βαλεῖν πρὸς τροφὴν τὴν Κίρκην οὗτος δὲ πρὸς τὴν καθολικωτέραν τροφὴν τῶν χοίρων ἀποβλέψας εἶπεν. μῶλυ σαωτήριον. ἀντὶ τοῦ ὀδυνοστέα ἀπὸ τῆς βλάβης. ἤτοι τοῦ γενέσθαι χοῖροι. σαωτὴρ ἤτοι σωστὴρ

μῶλυ εἶδος

τὸ μῶλυ ἑρμηνευτικῶς ὅπερ ὑπάρχει εἶναι. καὶ ἄλλος τις σωστὴρ καὶ ὁ Κτάρος Ἑρμῆς φανείς. ἐπωνύμιον δὲ τὸ

Κτάρος

Κτάρος Ἑρμοῦ. Νωνακρία πόλις Ἀρκαδίας ὅπου τιμᾶται ὁ Ἑρμῆς τρικέφαλος. ὅδε ὁ Ἑρμῆς οὐράνιος θαλάσσιος καὶ ἐπίγειος. ἢ διὰ τὸ φυσικὸν ἠθικὸν καὶ λογικόν. φαιδρὸς μεταληπτικῶς ἀντὶ τοῦ λευκός, καὶ γὰρ παρὰ

ἑρμῆς λευκός

Βοιωτοῖς Ἑρμῆς λευκὸς τιμᾶται. Ἑρμῆς δὲ τῷ Ὀδυσσεῖ μέλλοντι ἀπελθεῖν πρὸς τὴν Κίρκην συναντήσας δέδωκε τὸ μῶλυ ὥστε μὴ βλαφθῆναι αὐτὸν ὑπὸ τῶν Κίρκης

μῶλυ

φαρμάκων. μῶλυ δέ ἐστι κατὰ τοὺς ἰατροὺς τὸ ἄγριον πήγανον. ἀλληγορικῶς δὲ ἐστὶ ὡς οὐδὲν λέγειν. μῶλυ

* δάφνη. κόνυζα. ῥάμνος. ἰτέα. ἀστήρ τε θαλάσσιος ἴασπις λίθος. ἅμα τε πολλὰ φυτὰ ζῶα λίθοι ἀντιπαθοῦσι μαγικοῖς πᾶσι τρόποις.

ἐπεὶ δ' ἐρυμνὸν ἐς ἀλίπεδον φθιτῶν ∴ ἡ. πεμπτ
καὶ νεκρομαντεῖν πέπλον δίζησεται
ἀνδρῶν, γυναικῶν εἴδωλα ξυνουσίας
ψυχαῖσι θερμὸν αἷμα προσράνας βόθρῳ
καὶ φάσγανον πρόβλημα νερτέροις φόβον

πύλας ἀκοῦσαι καὶ πεμφίδων ὄπα
λεπτὴν ἀμαυρᾶς μάσακος προφθέγμασιν
ὅθεν Γιγάντων νῆσος ἡ μετάφρενον
θλάσασα καὶ Τυφῶνος ἀγρίου δέμας
φλογμῷ ζέουσα, δέξεται μονόστολον
ἐν ᾗ πιθήκων πάλμυς ἀφθίτων γένος
δύσμορφ᾽ ἐς κικασμὸν ᾤκισεν γόνων

ἀλίπεδον τὸ παραθαλάσσιον πεδίον ὅτι ἀπὸ τοῦ ὠκεανοῦ κυκλοῦται καὶ καταρρεῖται. πέμπελον τὸν ὑπέργηρων παρὰ τὸ ἤδη πέμπεσθαι εἰς τὸν ᾅδην, νῦν δὲ τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι ἀπὸ Κάδμου ἦν καὶ κατωτέρω Ἐτεοκλέους καὶ Πολυνείκους ὥς φησι καὶ ὁ τῆς Μελαμπόδος ποιητής. παράγει γὰρ τὸν Τειρεσίαν λέγοντα, Ζεῦ πάτερ εἴθε μοι ἥσσω μ᾽ αἰῶνα βίοιο ὤφελες δοῦναι καὶ ἶσα μήδεα ἴδμεν θνητοῖς ἀνθρώποις· νῦν οὐδέ με τυτθὸν ἔτισας ὅς γε μακρόν με ἔθηκας ἔχειν αἰῶνα βίοιο, ἑπτά τ᾽ ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων ἀνδρῶν ἠδὲ γυναικ. φασὶν ὅτι ὁ Τειρεσίας ὄφεις συνουσιάζοντας ἐν τῷ Κιθαιρῶνι ἰδὼν ἀνεῖλε τὴν θήλειαν καὶ γέγονε γυνή, εἶτα πάλιν τὸν ἄρρενα καὶ ἐγένετο ἀνήρ. ἕτεροι δέ φασιν ὅτι γυμνὴν τὴν Ἀθηνᾶν ἰδὼν γυνὴ γέγονε. ἐρίζοντος δὲ τοῦ Διός ποτε πρὸς τὴν Ἥραν καὶ λέγοντος πλείονα πόθον ἔχειν ἐν τῇ συνουσίᾳ τὰς γυναῖκας ἤπερ τοὺς ἄνδρας κελεύσαντος δὲ γεγονότος τοῦ Τειρεσίου ὡς ἀνδρὸς καὶ γυναικὸς γενομένου καὶ φαμένου ὅτι δεκαπλασίως ἐρᾷ τοῦ ἀνδρὸς ἡ γυνή, ὀργισθεῖσα ἡ Ἥρα ἐτύφλωσεν αὐτόν, ὁ δὲ Ζεὺς ἐχαρίσατο τὴν μαντικὴν καὶ πολυχρόνιον ζωήν, ἡ δὲ Περσεφόνη ἐν τῷ ᾅδῃ τούτῳ χαρίζεται μόνῳ φρονεῖν τῶν ἄλλων ἁπάντων νεκρῶν. περὶ δὲ τοῦ Διὸς καὶ

ἀλίπεδον
πέμπελον
Γιγάντων νῆσος
ἕως
περὶ τοῦ Τειρεσίου

ὥρας. περὶ Τειρεσίου ἐνήνεκται τῆς λάγνου κρίσεως καὶ ὁ τῆς μελάμπιδος ποιητὴς γὰρ ἀπὸ τοῦ Τειρεσίου φησίν. οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνήρ, δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα. ψυχαῖσι θερμὸν αἷμα χέας ὁ Ὀδυσσεὺς εἰς βόθρον καὶ τὸ ξίφος κατέχων πρὸς ἐκφόβησιν τῶν ψυχῶν ἐρωτᾷ ἑκάστην τίς εἴη. πεμφίδων ψυχῶν παρὰ τὸ πέμπεσθαι ἀπόρευτοι, ἢ ὅτι αἱ ψυχαὶ γὰρ λεπταὶ καὶ ἀερώδεις. ἀμαυρᾶς μάστακος ἀμαυροῦ καὶ ἀσθενοῦς στόματος λαλιᾶς. ὅθεν γιγάντων νῆσος ὁ μὲν καισαρεὺς Προκόπιος τὴν Λαμψακόν φησι διὸς ζόφοι κατὰ γιγάντων, ἕτεροι δὲ τὴν σικελίαν ὅπου καὶ τὸν Τυφῶνα κεραυνοῖ. ὡς καὶ ποιητὴς, φλὸξ δὲ κεραυνωθέντος ἀπ' αὐτοῖο ἄνακτος οὔρεος ἐν βήσσῃσιν αἴτνης παιπαλοέσσης. ἕτεροι δὲ γιγάντων νήσους τοὺς πιθήκους καλοῦσιν αἳ εἰσὶ περὶ τὴν ἰταλίαν. μέμνηται δὲ αὐτῶν καὶ αἰσχρίων ἐν ἑβδόμῳ ἐφεσίδος, ταύτας τὰς νήσους ᾤκουν πρότερον οἱ γίγαντες, ὕστερον δὲ ὁ ζεὺς χολωσάμενος αὐτοὺς ἐπέθηκεν αὐτοῖς τὰς νήσους καὶ ἐκεῖ κατῴκισε πιθήκους ἤτοι μίμους τοὺς καὶ σατύρους καὶ ἀρχοβιζάνους πρὸς ἀτιμίαν καὶ αἰσχύνην τῶν γιγάντων. ἡ θάλασσα νῆσος τὸ μετάφρενον. ἤτοι τὴν ῥάχιν καὶ τὸ δέμας τοῦ ἀγρίου τυφῶνος. ἡ σικελία ἐστὶ καὶ ἣν λέγουσιν οἱ πολλοί ἥτις καὶ φλογμῷ ζεῖ ἤτοι φλόγας πέμπει ἐκ τῆς αἴτνης πρὸς τὴν κατάλληλον δέξει μονόστολον ὑποδέξεται τὸν Ὀδυσσέα, αὕτη ἡ νῆσος ἐν πλοίοις ἔχουσα ὧν ἡ πιθήκων γένος ὁ πάλμυς ἰώνων ἐστὶ καὶ χρῆται ταύτῃ ἱππῶναξ λέγων ὦ ζεῦ πάτερ θεῶν ὀλυμπίων πάλμυ τί μοὐκ ἔδωκε χρυσοῦν ἄργυρον πάλμυν. ὤκησε. τὸ σε. μακρὸν ὡς κοινὴ συλλαβή

Γιγάντων νῆσος

De gigantibus & earum insulis

:: cf. τὰς πιθηκούσας

πάλμυς

. σε. μακρὸν ἢ κοινὴ συλλαβή

Ξ

Οἱ μῶλον ὠρόθυνταν ἐκγόνοις κρόνου
βαίου δ' ἀμείψας τοῦ κυβερνήτου τάφον
καὶ κιμμέρων ἔπαυλα κἀχερουσίαν
ῥοχθοῦσι κυμαίνουσαν οἴδματος χύσιν
ὄσσαν τε καὶ λέοντος ἀστραποὺς βοῶν
χώστας ὀβριμοῦς τ' ἄλσος οὐδαίας κόρης
πυριφλεγές τε ῥεῖθρον ἔνθα δύσβατος
τείνει πρὸς ἄκραν κρᾶτα πολυδέγμων λόφος

μῶλος ὁ πόλεμος παρὰ τὸ μὴ ὅλος ἢ ὁλόκληρος εἶναι πολλοὶ γὰρ ἐν τῷ πολέμῳ ἀναιροῦνται. ἐκγόνοις κρόνου τοῖς παισὶ τοῦ κρόνου διῒ καὶ ἑτέροις. εἶπον δὲ περὶ ἔκγονος καὶ ἔγγονος ἀλλαχοῦ. βαίου δ' ἀμείψας τοῦ κυβερνήτου ὁ βαῖος οὗτος κυβερνήτης ἦν ὀδυσσέως ὃς τελευτήσας ἐτάφη περὶ σικελίαν. ἀφ' οὗ φασὶ κληθῆναι βαίας τὰς νήσους καὶ πόλις περὶ τὴν ἰταλίαν ἄορνις. καὶ κιμμέρων ἔπαυλα, τὰς ἐπαύλεις, τὸ σχῆμα μεταπλασμός. οἱ κιμμέριοι δὲ κατὰ μὲν ὅμηρον περὶ τὸν δυτικὸν ὠκεανὸν κεῖνται, κατὰ δὲ περιηγητὴν κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ ταύρου. μυθικῶς μὲν ἀχέρων ποταμός ἐστιν ᾅδου, ἱστορικῶς δὲ καὶ περιηγητικῶς ὁ ἀχέρων ποταμός ἐστιν ἡρακλείας τῆς περὶ σινώπην καλεῖται δὲ νῦν σωοναύτης. Οὐκ οἶδα δὲ ποῦ ὁ λυκόφρων οὗτος λέγει εἶναι τὸν ἀχέροντα. ὄσσαν τε καὶ λέοντος κύμη καὶ ὄσσα, ὄρος ἰταλίας μέσης ὥς φησι μητρόδωρος. λέοντος τοῦ ἡρακλέους ἢ διὰ τὴν λεοντῆν ἢ διὰ τὴν ἀλκήν. ἡρακλῆς γὰρ τὰς γηρυόνου βοῦς ἐλαύνων ὡς περὶ ὄσσαν καὶ κύμαν ἐγένετο εὗρε δὲ πληθύσαντα τὸν ὀρρόντην ποταμὸν φερόμενον ἐπὶ μηλίβοιαν ~~ποταμὸν~~ τὴν πηγήν ὡς οὐκ ἦν δυνατὸν αὐτὸν διελθεῖν σκάψαι τὰς κορυφὰς τῶν ὀρῶν ἐνέ

βαλεν

βαῖος κυβερνήτης ὀδυσσέως

βαίαι νῆσοι

ἄορνις

ἀχέρων ποταμός

κύμη

ὄσσα

βριμῶ
ὀβριμῶ

εἰς τὸν ποταμὸν καὶ ἐνέχωσεν αὐτὸν καὶ οὕτω διῆλθε σὺν τοῖς βουσίν. Ὀβριμοῦς τάφρους. βριμῶ καὶ ὀβριμῶ ἡ περσεφόνη ὅτι τῷ ἄρει ἐπιβιάζοντι αὐτὴν ἐνεβριμήσατο καὶ οὕτως ἔχθος ἐπαύθη τοῦ ἐγχειρήματος. πυριφλεγές τε ῥεῖθρον τὸν πυριφλεγέθοντα, ἡ ἀμάθρα ὅπου ἡ πόλις τῶν ὀνείρων καὶ ἡ τοῦ πλάτωνος πολιτεία. Ἄθραν τὸν ἄθραν, ἀπὸ ἔνθα τῆς ὁ ἄθρας τοῦ ἄθρα, τὸν ἄιθραν. Πολυδέγμων λόφος ὁ λόφος καὶ ὁ ὑψηλὸς

λόφος
πολυδέγμων

τόπος καὶ τὸ ὄρος ὃ καλεῖται πολυδέγμων. ἔστι δὲ τῆς ἰταλίας τοῦτο τὸ ὄρος λίαν ὂν ὑψηλότατον ἐξ οὗ φασὶ τοὺς ἐν ἰταλίᾳ ῥεῖν ποταμούς.

ἐξ οὗ τὰ πάντα χύλα καὶ πᾶσαι μυχῶν
πηγαὶ κατ' αὐσονῖτιν ἕρπουσι χθόνα
λιπών τε λιθαίωνος ὑψηλὸν κλέτας
λίμνην τ' ἄορνιν ἀμφιτόρνωτον βρόχον
καὶ χεῦμα κωκυτοῖο λαβρωθὲν σκότῳ
στυγὸς κελαινῆς ναῦσθλον ἔνθα τερμιεὺς
ὁρκωμότους ἔτευξεν ἀφθίτους ἕδρας
λοιβὰς τ' ἀφύσσων χρυσέαις πηγαῖς γάνους
μηλῶν γίγαντας ἢ ἀπὶ τιτῶνας πέραν
θεοῖς λάτρα καὶ ξυγκινεῖ δόμος
πήληκα κόρσῃ κίονος προσαρμόσας

Αὐσονῖτιν χθόνα· ἐπεὶ πολλάκις ὡς αὔσονες οἱ αὔρουγκοι κυρίως λέγονται μέσον καμπάνων καὶ οὐολσκῶν θάλασσαν κείμενοι, καταχρηστικῶς δὲ καὶ πάντας ἰταλοὺς αὔσονας καλοῦσι, καὶ καταχρηστικώτερον

αὔσονες

δὲ καὶ ἡμᾶς καὶ ὑπὲρ ἑλλήνων γονῆς πεφυκότας. αὔσονες δὲ λέγονται κατά τινας μὲν ἀπὸ αὔσονος ἰταλοῦ καὶ λευκαρίας υἱοῦ. ἄλλοι δὲ ἐξ αὔσονος ὀδυσσέως φασί.

ἀληθαιών ὄρος ὑψηλὸν παρὰ κλέτας κλίτυς ἀκρω- ἀληθαιών
τήρια. λιπὼν δὲ ληθαιῶνος ὑψηλὸν κλέτας ὁ ὀδυ- κλίτυς
σσεὺς τόδε καὶ τόδε, ὅπου ὁ ζεὺς τάδε ἐποίησε διὰ τὸ αὐ-
τὸς ὁ ὀδυσσεύς. λίμνην τὴν ἄορνιν. ἄορνις καὶ ἄορνις λί-
μνη περὶ κύμην. περιφερὴς δὲ δίκην δεσμοῦ περι- ἄορνις λίμνη
εσφιγμένη. ἔχει δὲ ὥς φασί τινες τὸ κυανὲς ὕδωρ. ἐπε-
κλήθη δὲ ἄορνις ὅτι οὐδὲν ὄρνεον δύναται αὐτὴν πε-
ριπετάσαι, καὶ ὁ μὲν λυκόφρων λίμνην λέγει τὴν ἄορ-
νιν, καὶ ἕτεροι τινες περὶ τὸν ἠριδανὸν λίμνην θερμὴν
ὀζώδη φασὶν εἰς οὐδὲν ζῶον γίνεται τελευτᾷ γάρ. ἐκεῖ
δὲ λέγει γενέσθαι τὰ κατὰ φαέθοντα, ἐκεῖ γὰρ καὶ αἴ-
γειροι ἵστανται καταστάζουσαι ἤλεκτρον. οἱ δὲ τὰς ἀλεξάν-
δρου πράξεις συγγραψάμενοι πέτραν φασὶν ὑψηλὴν ἄορνις πέτρα
ιε σταδίους τὸ ὕψος εἶναι τὴν ἄορνιν. ἄορνις δὲ λέγε-
ται ὅτι διὰ τὴν ψύξιν αὐτὴν ὄρνεον οὐχὶ περιίπταται
ὁ δὲ ἀλέξανδρος ταύτην ἐπόρθησεν. ἄλλοι δὲ τὴν
ἄορνιν, στωϊκῶν δὲ καὶ ἐρατοσθένης καὶ δίων καὶ οἱ λοιποὶ
τῶν ἱστορικῶν οὐ λίμνην οὐδὲ πέτραν φασί, στόμιον ἄορνις στόμιον
δὲ περὶ τὴν ἀδιαβηνὴν ὃ στόμιον ὄρνεον ὑπερπε-
τασθῆναι οὐ δύναται, ἀπὸ γὰρ τῆς ἐκεῖσε ἀναφερομέ-
νης ἀναθυμιάσεως τελευτᾷ καὶ πᾶν ζῶον ἄλλο. ἀδια- *
βηνὴ τοῦτο τὸ ἄορνον στόμα, καὶ ἡ κτησιφῶν πόλις καὶ
ἡ ἀσφαλτῖτις λίμνη. ἄσφαλτος δέ ἐστιν ἡ νάφθα—
περὶ τῆς ἀσφαλτίτιδος λίμνης ἰώσηπος λέγει περὶ ἰώσηπος
ἰορδάνην καὶ ἱεριχοῦντα εἶναι πικρὰν καὶ ἄγονον τῇ
κουφότητι. ἐν ταύτῃ φησὶ τῇ ἀσφαλτίτιδι ἐμβαλλό- ἀσφαλτὶς
μενα πάντα ἀναφέρεσθαι καὶ ἀνθρώπους δὲ ὀπι- λίμνη
σθάγκωνα δῆσαι φασὶν οὐεσπασιανὸν καὶ ἐμ-
βαλεῖν ταύτῃ τῇ λίμνῃ καὶ ἀνενεχθῆναι μόνους ὡς ἂν
ἐπισταμένους νήχεσθαι. καὶ ξενοφῶν καὶ ἕτεροι μνεί-
οι περὶ τὰ τοῦ ἀόρνου στόματος καὶ τῆς ἀσφαλτίτιδος

Κωκυτός
ἀχέρων
αἰακός
στύξ
Τερμιεύς
δανός
πήληξ
κόρση

λίμνης ἰσόρροπον καὶ χεῦμα Κωκυτοῦ. Κωκυτὸς ποταμὸς ἐν ᾅδῃ, μυθικῶς, ἀλληγορικώτερον δὲ κωκυτὸς ὁ θρῆνος. ὁ ἀχέρων ἡ χάνσις. ἢ ἡ χύσις τῶν ἀχέων καὶ τῶν θλίψεων τῶν διὰ τοὺς τεθνηκότας, καὶ αἰακὸς δὲ πυλωρὸς παρὰ τὸ αἰ αἰ λέγειν ἐν ταῖς κωμῳδίαις καὶ οἱονεὶ προπυλαίοις τοῦ ᾅδου, καὶ ῥαδάμανθυς, παρὰ τὸ μιμνήσκειν τοὺς ἐκεῖ κατερχομένους ἢ παρὰ τὸ ῥᾳδίως μηνύεσθαι, ὁμοίως καὶ τὰ λοιπά, πάντα ἵνα μὴ μακρηγορῶ. Στυγὸς κελαινῆς καὶ ἡ Στὺξ λίμνη τοῦ ᾅδου παρὰ τὸ στυγεῖσθαι. ἔστι δὲ καὶ ἐν ἀρκαδίᾳ ἑτέρα διακόπτουσα πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων. Τερμιεὺς ὁ Ζεὺς ὡς πάντων ἀρχὴ καὶ τέρμα. ὅρκον γὰρ μυθικῶς ὁ Ζεὺς τὴν Στύγα. λοιβαὶ ἤτοι θυσίας ἀρνῶν ἀμνῶν χρυσοῖς ποτηρίοις ἐκ τοῦ ὕδατος αὐτῆς ὅτε ἔμελλε περάσαι πρὸς πόλεμον γιγάντων καὶ τιτάνων, ὁ δὲ ἡσίοδος ἐν τῇ θεογονίᾳ διὰ τοῦτο φησὶ τὸν δία ὅρκον ποιῆσαι τὴν Στύγα, ὅτι πρώτη τῶν λοιπῶν θεῶν σὺν τοῖς ἰδίοις παισὶ εἰς τὴν τῶν τιτανομαχιῶν ἦλθε συνεργὸς τῷ διΐ, ἡ δὲ σύνταξις οὕτως. Δανὸς ἤτοι δῶρον καὶ ἀνάθημα, τίνι τῇ δαίρᾳ. ἢ. τῇ κοπτικῇ καὶ ἀναιρετικῇ τῇ περσεφόνῃ καὶ τῷ συνεύνῳ ταύτης ᾅδῃ. τί δανὸς φησί; πήληκα, περικεφαλαίαν τῇ κόρσῃ. ἢ. τῇ κεφαλῇ τοῦ κίονος προσαρμόσας καὶ θεὶς τὴν πήληκα. περσεφόνη καὶ ἶσος ἡ γῆ καὶ ῥέα, καὶ ἑστία καὶ πανδώρα, καὶ ἕτερα μυρία ὀνόματα. Κόρση ἡ μῆνιγξ καὶ ἡ κεφαλή ὡς φησιν ἐμπεδοκλῆς. ὡς πολλῶν κόρσαι ἀναύχενες ἐβλάστησαν

Κτενεῖ δὲ κούρας Τηθύος παιδὸς διπλᾶς
οἴμας μελῳδοῦ μητρὸς ἐκμεμαγμένας
αὐτοκτόνοις ἐλφαῖσιν ἐξ ἄκρας σκοπῆς
Τυρσηνικὸν πρὸς κῦμα δυσπλοῦσαι πτεροῖς

ὅπου λινεργὴς κλωστὶς ἐκλύσει πικρά
τὴν μὲν Φαλήρου τύρσις ἐκβεβρασμένην
Γλάνις τε ῥάθροις δέξεται τέγγων χθόνα
οὗ σῆμα δομήσαντες ἔγχωροι κόρης
λοιβαῖσι καὶ θύσθλοισι Παρθενόπην βοῶν
ἔτεια κυδανοῦσιν οἰωνὸν θεάν

Κτενοῦ δὲ κούρας τὰς σειρῆνας λέγει. Παρθενόπην, Λευκωσίαν καὶ Λίγειαν· τινὲς δὲ ἑτέρως ταύτας φασίν. ἦσαν δὲ θυγατέρες Ἀχελώου καὶ Τερψιχόρης. ὁ δὲ Ἀχελῶος ἦν υἱὸς Ὠκεανοῦ καὶ Τηθύος. αἱ σειρῆνες δὲ μὴ φέρουσαι τὴν ὑπόδυσιν ἧτταν ἑαυτὰς ~~κατεθάλαττα~~ ἠθαλαττώσαν. διέξισι δὲ αἱ σειρῆνες κατὰ μὲν τινας ἐν πελωρίδι, κατὰ δὲ ἄλλους ἐν ταῖς σειρηνούσσαις. αἳ εἰσι τρεῖς ἄκραι Ἰταλίας. διπτόρσας πτεροῖς: πλεούσας ἐν τοῖς πτεροῖς· ἐπειδὴ ὡς ἔφην τὰ ἄνω παρθένων εἶχον, τὰ δὲ κάτω ὄρνιθες ἦσαν πτερὰ ἔχουσαι. ὅπου λινεργὴς: ὅπου ὁ τῶν μοιρῶν λίνος ὁ πικρὸς ἀποθανεῖν αὐτὰς ἐπεκλώσατο. τὴν μὲν Φαλήρου: Φάληρος τύραννος Σικελίας ἔκτισε τὴν ἐν Ἰταλίᾳ Νεάπολιν. λέγει δὲ τὴν Παρθενόπην ἐκεῖσε πεσεῖν. Διόδωρος δὲ ὁ Σικελὸς καὶ ὁ Ὀππιανὸς τὴν Νεάπολιν ὑφ' Ἡρακλέους φασὶ κτισθῆναι, καὶ φησὶν ὁ Ὀππιανὸς ἐν τοῖς κυνηγετικοῖς νέον πέδον Ἡρακλῆος αὐτὴν Νεάπολιν λέγων. τύρσις: τὸ τεῖχος ὅτι Τυρσηνοὶ πρῶτοι τειχοποιΐαν εὗρον. Γλάνις: ποταμὸς Ἰταλίας καὶ Κύμης, ἐν ᾧ καὶ ὁ ὁμώνυμος ἰχθὺς γίνεται, οὗ ἡ χολὴ λίαν ὠφέλιμος, ἀλλὰ μόνον τοῦ ἐνοίκου ποταμοῦ. ἔστι δὲ καὶ ἕτερος ποταμὸς Ἰταλίας Γλάνις, καὶ ἄλλος Ἰβηρίας. δομήσαντες: τὸ δο μικρόν· ὁ Τζέτζης γράφει τιθεὶς ἄνωθεν αὐτὸ μακρόν, καὶ φησὶν ὅτι ἐκτείνεται ὑπὸ τοῦ μ.

σειρήνων ὀνόματα

δηλοῖ σειρηνοῦσαι

Phalerus Siciliae tyra[nnus]

νεάπολις

γλάνις

:: γρ. ~~μα~~ μικρόν

:: γρ. μακρόν

τὸ δο· μακρὸν καὶ κτείνεται ὑπὸ τοῦ
μ· ἀμεταβόλου ὄντος

τὰ ἀμετάβολα ὁπόταν ὁ μετρικὸς βούλοιτο *

ἢ ἔστι κοινὴ ἡ συλλαβή. τὰ γὰρ ἀμετάβολα ὁπόταν ὁ μετρικὸς βούλοιτο, ἀλλ' ἢ μεταφησί τις τοῦτο γράφει, γινωσκέτω λέγειν ὅτι ἐκτάσει ἀττικῇ τοῦτο γέγονε ἢ μὴ κοινῶς ἢ ἀναιτίως γραφέτω. Οἰωνοὺς δὲ ἄν διὰ τὸ ὀρνεομιγεῖς εἶναι τὰς σειρῆνας οἰωνοὺς ἔφη, θεὰς δὲ διὰ τὸ τοιαύτην ἔχειν δύναμιν θελκτικὴν, ὥστε κατέχειν ἢ ἀναιρεῖν τοὺς ἀκούοντας τοῦ μέλους αὐτῶν

ἀκτὴν δὲ τὴν προύχουσαν εἰς ἐνιπέως
λευκωσία ῥιφθεῖσα τὴν ἐπώνυμον
πέτραν ὀχήσει δαρόν, ἔνθα λάμβρος ἴς
γείτων θ' ὁ λάρις ἐξερεύγονται ποτά

ἐνιπεύς

ἀκτὴν δὲ τὴν προύχουσαν. ἐνιπεὺς ὁ ποσειδῶν παρὰ μιλησίοις τιμᾶται. εἰς δὲ τὸ ποσειδήιον τέθαπται ἐκριφθεῖσα λευκωσία ἡ σειρήν. προύχουσαν τὴν προκειμένην εἰς θάλασσαν. λέγει δὲ τὸ ποσειδήιον ἄκρον. πέτραν δὲ νῦν τὴν νῆσον λέγει. λευκωσία δὲ ἡ νῆσος ἀπὸ ταύτης τῆς σειρῆνος ἐκλήθη. ἴς ἢ λάρις ποταμοὶ ἰταλίας. ποταμοὶ ὁ ποτός. ἐπὶ δὲ νῦν τὸ σχῆμα μεταπλασμὸς ἀπὸ τοῦ ἀρσενικοῦ εἰς οὐδέτερον. λευκωσία μία τῶν σειρήνων, ἡ δὲ παρθενόπη πρώτη ἦν ἐν αὐταῖς. παρθενόπην δὲ λέγει διὰ τὸ ἔχειν παρθένου μικρᾶς φωνὴν ἢ διὰ τὸ ὁμοιοῦν παρθένῳ μικρᾷ. λευκωσία δὲ πάλιν ἡ λευκοτέρα ἔχουσα λευκὰ ὦτα ἢ λεύκου τινὸς θυγάτηρ ἢ τὰ τοῦ λεύκου ὦτα ἔχουσα.

ποσειδήιον ἄκρον

Leucosia sirens
Parthenope

Λίγεια δ' εἰς Τέρειναν ἐκναυσθλώσεται,
κλύδωνα χελύσσουσα τὴν δὲ ναυβάται

κρόκαισι ταρχύσουσιν ἐν παρακτίαις
ὠκινάρου δίναισιν ἀγχιτέρμονα,
λούσει δὲ σῆμα βουκέρως νασμοῖς ἄρης
ὀρνιθόπαιδος ἴσμα, φοιβάζων ποτοῖς

Λίγεια· διὰ τὴν ἡδύτητα τῆς ῥαψῳδίας αὐτῆς. Τέρεινα πόλις Ἰταλίας. κλύζουσα· ἐν· λ· γράφει ὁ ποιητής. φασὶ μὴ εἶναι τὸν στίχον ἐπταισμένον· κοινὴ γὰρ μετὰ τοῦτο συλλαβή, ἐκτείνεσθαι δὲ τὸ· ε· ὑπὸ τοῦ· λ· ἀμεταβόλου ὄντος ὥσπερ καὶ πρὶν ἔφην. καὶ τὰ δασέα ὁμοίως ἐκτείνουσι τὰ βραχέα, ἃ ἔμπροσθεν αὐτῶν εὑρεθῇ. οἱ δὲ λοιποὶ πάντες δύο· λλ· γράφουσιν, λέγοντες κατὰ πλεονασμὸν εἶναι τὸ· λ· κλύζουσα γὰρ ἡ διαπλέουσα καὶ νηχομένη, καὶ γὰρ οἱ νηχόμενοι τοῖς χείλεσιν ὠθοῦσι τὸ ὕδωρ. ὠκινάρου δίναισιν. ὠκίναρος ποταμὸς περὶ Τέρειναν, ἄρης ἤτοι ἰσχυρὸς λεγόμενος καὶ βουκέρως διὰ τὸ ἠχητικόν, ἄρης γὰρ οὐκ ἔστι ποταμὸς περὶ Τέρειναν, οὖρος δέ. ὀρνιθόπαιδος τῆς ὀρνιθοφυοῦς. τὸ δὲ ὀρνιθόπαις καὶ καλλίπαις καὶ ἀνδρόπαις διπλῶς ~~νοο~~ νοοῦνται. ἡ δὲ ἔννοια ἐξελέγχει τὴν ἀλήθειαν. ὀρνιθόπαις γὰρ ἡ ὄρνιθος παῖς καὶ ἡ ὀρνιθοφυὴς παῖς ὡς νοσσὸν αὐτῶν. καλλίπαις ἡ καλῆς μητρὸς παῖς καὶ ἡ καλὴ παῖς. ἀνδρόπαις ἡ ἀνδρὸς παῖς καὶ τὰ λοιπὰ ὁμοίως, ἐλέγχει δὲ τὸ πῶς νοεῖν ταῦτα ἡ ἔννοια. ἴσμα ἵδρυσμα, τάφον παρὰ τὸ ἵζω ῥῆμα. φοιβάζων πλύνων, καθαίρων τοῖς ὕδασιν ὅθεν φοίβη τὸ ὕδωρ καὶ πᾶν καθαρόν

πρώτη δὲ καὶ ποτ' αὖθις συγγόνων θεᾷ
Κραίνων ἁπάσης Μόψοπος ναυαρχίας
πλωτῆρσι λαμπαδοῦχον ἐντυνεῖ δρόμον

ῥαψῳδία ἀντὶ τοῦ ᾠδή

ἐκτείνεσθαι τὸ· ε· ὑπὸ τοῦ· λ·

τὰ δασέα ἐκτείνουσι τὰ βραχέα ἃ ἔμπροσθεν αὐτῶν εὑρεθῇ

κλύζουσα

ὀρνιθόπαις
καλλίπαις
ἀνδρόπαις

ἴσμα

φοιβάζω

χρησμοῖς πιθήσας, ὅν ποτ' αὐξήσει λεὼς
νεαπολιτῶν, οἳ παρ' ἄκλυστον σκέπας
ὅρμων μισηνοῦ στύφλα νάσσονται κλίτη

πρώτη δὲ καὶ ποταύξης Τίμαιος ὁ σικελὸς φησὶ διότι-
μον τὸν ἀθηναίων ναύαρχον παραγενόμενον εἰς νεά-
πολιν κατὰ χρησμὸν θῦσαι τῇ παρθενόπῃ καὶ δρόμον
ποιῆσαι λαμπαδικόν, ὅνπερ λαμπαδικὸν ἀγῶνα
καὶ δρόμον οἱ νεαπολῖται ἐτησίως ἐτέλουν. μοψοπο-
ία δὲ πάλιν ἐκαλεῖτο ἡ ἀττικὴ χώρα καὶ οἱ ἀθηναῖοι
ἀπό τινος μόψοπος. ὁ διότιμος δὲ εἰς νεάπολιν
ἦλθε ὅτι στρατηγὸς ὢν τοῖς ἀθηναίοις ἐπολέμει τοῖς σι-
κελοῖς. ἄκλυστον σκέπας· πολύκλυστον ἢ ἀχείμα-
στον. μισηνὸς δὲ ὅρμος ἤτοι λιμὴν νεαπολιτῶν.
καταχρηστικῶς δὲ λέγεται ὅρμος ὁ λιμήν. λιμὴν
γὰρ λέγεται τὸ ὅλον πλάτος καὶ ὁ κόλπος ὅπου κα-
ταίρουσιν αἱ ὁλκάδες. ὅρμος δὲ ἡ στάσις μιᾶς
ἑκάστης ὁλκάδος. στύφλα· τραχέα. κλίτη· μέρη
καὶ κλίματα.

λαμπαδικὸς ἀγὼν καὶ δρόμος

μισηνός

λιμὴν

ὅρμος

στύφλα

κλίτη

βύκτας δ' ἐν ἀσκῷ συγκατακλείσας βοὸς
πάλιν στροβητοῖς πημοναῖς ἀλώμενος
κεραυνίῳ μάστιγι συμφλεχθήσεται
καὶ νῆξ' ἐρινοῦ προσκαθήμενος κλάδῳ
ὡς μὴ καταβρώξῃ νιν ἐν ῥόχθοις κλύδων
χάρυβδιν ἐκφυσῶσαν ἠχοῦσαν βυθοῦ.

βύκτας δ' ἐν ἀσκῷ· αἴολος ὁ ἱππότης ἐν ῥηγίῳ τῆς
ἰταλίας ὢν ἀστρονομικώτατος καὶ πολύπειρος ἐφρόν-
τισε μᾶλλον εἰδέναι περὶ τῶν ἀνέμων χάριν ναυτι-
λλομένων καὶ προλέγειν ὡς τυχὸν ἐν ταύρῳ ἄστρῳ

αἴολος ὁ ἱππότης

πλεύσωσιν μέχρι τοῦδε ζέφυρος αὐτοῖς ἔσεσθαι πνέων
ἄνεμος. ἡ μὲν δυστηκωνός τοιόσδε, ἐν τῇ ἀνατολῇ αὐτοῦ
ἕτερος καὶ τούτου ἕνεκα ἐμυθεύσαντο αὐτὸν δεσπότην εἶναι
ἀνέμων, ὁμοίως δὲ καὶ τῷ ἀνακλείδῃ καὶ πρωτοκλῆ καὶ π-
ρωτοκρέοντα, ὡς φησὶν ὀρφεύς. οὕτως οὖν ἔφασαν αὐτοὺς — περὶ τοῦ αἰό-
δεσπότας εἶναι ἀνέμων ὡς καὶ δέειν ἀσκοῖς οὓς ἂν βούλοιντο — λου
αὐτῶν τοὺς ἄλλους ἐᾶν πνεῖν. οὕτω γὰρ φασὶ καὶ τὸν αἴολον
τοῦτον τοὺς ἄλλους ἀνέμους ἐν τῷ ἀσκῷ καταδήσαντα
δοῦναι τῷ ὀδυσσεῖ, ζέφυρον δὲ μόνον ἐᾶσαι ὡς αὐτῷ
χρειωδέστατον καὶ φορόν. ἴσως δὲ καὶ τὸν ἀσκὸν δέχομαι.
φασὶ γὰρ οἱ μηχανικοὶ καὶ τὰ ἀερητουργικὰ γράφοντες,
ὡς ἐάν τις δελφῖνα ποιήσῃ ἀσκὸν ἐκδείρας αὐτὸν καὶ ἔ-
χων παρ᾿ ἑαυτῷ ποιεῖ ὃν ἂν βούλοιτο πνεῖν ἄνεμον καὶ
ἴσως καὶ οὗτος ὁ αἴολος ἦν ἂν καὶ μαντικώτατος, τούτου
τοῦ αἰόλου υἱὸς ἰόκαστος ὃς τὸ ῥήγιον ἔκτισεν, ὥς φησι
καλλίμαχος ῥήγιον ἄστυ λιπὼν ἰοκάστου αἰολίδαο. πα-
λιντροπήτοις ὁ γὰρ ὀδυσσεὺς τοὺς ἐναντίους ἀνέμους
ἐγκεκλεισμένους ἔχων ἐν τῷ ἀσκῷ μόνῳ δὲ ναυτιλλόμενος
τῷ ζεφύρῳ ἐννέα νυχθήμερα πλεύσας τῷ δεκάτῳ τὴν
αὐτοῦ πατρίδα καὶ πυρπολοῦντας τινὰς θεασάμενος, κοπι-
άσας ὡς ἀεὶ τὸν πόδα τῆς νηὸς ἔχων ἐκαθεύδησε. οἱ φί- — πόδα τῆς νηὸς
λοι δὲ τούτου λύουσι τὸν ἀσκὸν χρυσίον νομίσαντες ἔχειν, — ἔχων
ἐκχυθέντων δὲ τῶν ἀνέμων καὶ ἀντιπνόως ταραξάντων τὸ
πέλαγος πάλιν εἰς τὴν αἰολίαν ἀντέστρεψε ἄκων τοῖς
ἀνέμοις φερόμενος. κεραυνίῃ μάστιγι κακῶς καὶ συγ-
κεχυμένως καὶ ἀδιαρθρώτως ὁ λυκόφρων τὴν περὶ ὀδυσσέως
ἱστορίαν λέγει· οὐ γὰρ τῇ τότε στροφῇ τὸ τοῦ ὀδυσσέως πλοῖ-
ον ἐκεραυνώθη, οὐδὲ αὐτὸς ὀδυσσεὺς ὁ κατὰ τοῦτον φαινό-
μενος κεραυνωθεὶς καύηξ ὁ λάρος καθήμενος μετὰ
τὴν κεραύνωσιν ἐν τῷ κλάδῳ τῆς συκῆς ἵνα μὴ ἀποσ-
μισθῇ ὑπὸ τῆς χαρύβδεως. ἀλλὰ τότε ἐκεραυνώθη τὸ πλοῖ-

ον

Καύηξ

ἐρινεός

αὐτοῦ αὐτὸς δὲ τὴν τρόπιν κατέχων περιεφέρετο τοῖς ἀνέμοις περὶ τὴν χάρυβδιν καὶ πρὸς τὴν ἔκτος ἀπεκρεμάσθη συκῆν. μεθ᾽ ὃ οἱ ἑταῖροι αὐτοῦ ἐν τῇ σικελίᾳ τοὺς ἡλίου βόας κατέφαγον. καύηξ φησὶν ὁ δὲ ἱππῶναξ καὶ ἄξις λέγων οὕτωσί. κίκων δὲ ὁ πανδάληκτος ἄμορφος καύηξις. καύηξ δὲ ὁ λάρος κατ᾽ ἐνίους ἐστί. ἐρινοῦ ἐρινεοῦ καὶ ἐν συγκοπῇ ἐρινοῦ, ἐρινὸν δέ φασιν οἱ πολλοὶ εἶναι τὴν ἀγρίαν συκῆν οὐκ ἔστι δὲ οὕτως ἀλλ᾽ ὁ ἐρινὸς εἶδος ἐστὶ συκῆς ἀπὸ ἐρινεοῦ πόλεως θρᾳκικῆς. ἐξ ὧν πόλεις ἐστὶν ἡ δωρίς, ἧς μία πόλις ~~ἐστὶν~~ ἡ καὶ ἐρινεός ἐν ᾗ εἰσὶ συκαὶ λεγόμεναι ἐρινεαὶ καὶ δαμασκηναί, ἀνατολικαὶ καὶ κυδώνια μῆλα. χάρυβδιν τὴν ἀναρρόφησιν τῆς θαλάσσης. πᾶσαν δὲ τὴν τοῦ ὀδυσσέως ἱστορίαν ἐν βραχυτέρῳ μετὰ τὸ λέξαι τῶν τοῦ λυκόφρονος ῥητῶν τῶν περὶ τούτου τοῦ ὀδυσσέως λεγομένων

βαιὸν δὲ τερφθεὶς τῆς ἀτλαντίδος γάμοις
ἀναυλόχητον αὐτοκάνδαλον σκάφος
βήσει ταλάσσας καὶ κυβιστῆσαι τάλας
αὐτουργότευκτον βᾶριν ἐς μέσον βόθον
ἔχμασι γόμφοις προστεταργανωμένην
ἢ οἷα τυτθὸν ἀμφίβαιος ἐκβράσας
τῆς χηρύλου λάμαρτος ἀστηνὰ σπόρον
αὐταῖς μεσόδμαις καὶ σὺν ἰκρίοις βαλεῖ
πρὸς κῦμα, δύστην ἐμπεπλεγμένον κάλοις
πόντου δ᾽ ἄϋπνος ἐκσαρούμενος μυχοῖς
ἄστων σὺν οἶκος θρηνεῖ ἀηδόνος
ἔσται. παρ᾽ ἄμνου δ᾽ ἄμνος καὶ πεύκης κλάδον
βύκτης στροβήσει φηγὸν ἐκθρώσκων πνοαῖς

βαιὸν δὲ τερφθεὶς ἑπτὰ ἔτη ἐποίησεν ὀδυσσεὺς παρὰ

τῇ κεφαλῇ τοῦ, βαιὸν δὲ εἶπε πρὸς τὴν βούλησιν αὐτῆς, ἐκεί-
νη γὰρ ἤθελεν δι' ὅλου συντρῖψαι αὐτήν. ἀναυλόχητον καθὸ
ὑπὸ τῶν ναυτῶν οὐκ ὀχεῖται· οὐ γὰρ ἦν ναῦς ἀλλὰ σχεδία.
αὐτοκάνδαλα δὲ κυρίως λέγονται τὰ ὡς ἔτυχε φυραθέντα
ἄλευρα. αὐτουργῷ τορεῖ βάριν· αὐτοσχέδιον πλοῖον. βά-
ρις δὲ νῦν μὲν τὸ πλοῖον σημαίνει· σημαίνει δὲ καὶ θρό-
νους καὶ πύργους. αὐλάς. στοάς. [illegible]. προσεταρ-
γανωμένην· συμπεπλεγμένην, ἡ γὰρ σαργήνη σαρ-
γάνη παρ' Ἀττικοῖς ταργάνη λέγεται. ἧς οἷα τυτθοῦ
ἀμφίβαιος ὁ Ποσειδῶν παρὰ Κυρηναίοις. κηρύ-
λος ὁ ἄρρην ἀλκυών. δάμαρ δὲ τούτου ἡ θήλεια αὐ-
τοῦ. ἄπτην δὲ νῦν ἄπορος ὁ ἄπτερος νεοσσός. φασὶ
δὲ ὁ κλύδων τοὺς τῶν ἀλκυόνων νεοσσοὺς διαφθάρειν·
διό φασιν ἑπτὰ ἡμέρας γαληνιᾶν τὴν θάλασσαν ἡ-
νίκα ὠοτοκοῦσιν αὗται· διὸ καλοῦνται αἱ ἡμέραι ἀλκυ-
ονίτιδες. ἡ δὲ σύνταξις οὕτως. ἀφῆς τινος σχεδίας ἡ
ὁ ἀμφίβαιος ἤγουν ὁ Ποσειδῶν ~~παρὰ κυρηναίοις~~ ἐκ-
βράσας τὸν ὀδυσσέα οἷα τυτθὸν ἄπτηνα, ἄπορον,
ἤγουν μικρὸν ἄπτερον νεοσσὸν τῆς δάμαρτος ἤτοι τῆς θη-
λείας τοῦ κηρύλου. ἤγουν ~~τοῦ~~ ἄρρενος ἀλκυόνος, βαλεῖ
πρὸς τὸ κῦμα τὸν δύπτην. ἤγουν τὸν κολυμβητὴν ὀδυσσέ-
α, ἐμπεπλεγμένον κάλοις, βαλεῖ δὲ σὺν αὐτοῖς τοῖς
μεσόδμοις καὶ τοῖς ἰκρίοις, μεσόδμαι δὲ λέγονται τὰ
μέσα ξύλα τῆς σχεδίας καὶ τοῦ πλοίου· τὰ ἰκρία δὲ τὰ
ὀρθὰ καὶ καταστρώματα. ἄσω σύνοικος θρηκίου
γλαῦκος ὁ ἀνθηδόνιος ἦν ἁλιεύς. ἐμμανὴς δὲ γενό-
μενος ἥλατο εἰς τὴν θάλασσαν, ἰχθὺν γὰρ ἁλιευόμενον
καὶ ἐάσας νεκρὸν εἰς γῆν ἴδε προσεγγίσαντα βοτά-
νῃ καὶ ἀναζήσαντα, φαγὼν δὲ καὶ αὐτὸς γέγονεν ἀθάνα-
τος ἀλλ' οὐκ ἀγήρως καὶ ἥλατο εἰς τὴν θάλασσαν.
μαντεύεται δὲ ὡς καὶ παρ' Ὁμήρῳ Πρωτεὺς καὶ παρὰ

ἀναυλόχητος
αὐτοκάνδαλα
βάρις
ἀμφίβαιος
μεσόδμαι
ἰκρία
∴ ἀνθηδόνιος
γλαύκου
ἱστορία

Glauci oraculũ. nota pro politiano in nutritia — Quid ne loquar te glauce senex. &c.

πινδάρω ζητῶν τοὺς ἀργοναύτας, τὴν δὲ βοτάνην ἧς ἐγεύσατο
φασί τινες ἀείζωον εἶναι. ἡ δὲ ἀνθηδὼν πόλις βοιωτίας ἦν
ὤκησαν θρᾶκες. ὁ δὲ ἰώσηππος καὶ τὴν νῦν λεγομένην
ἀγριππιάδα ἀνθηδόνα πρότερον φησὶ καλεῖσθαι. σύνοι
κον δὲ τῷ γλαύκῳ ~~φησὶ~~ λέγει γενέσθαι τὸν ὀδυσσέα διὰ
τὸ ῥιφθῆναι εἰς τὴν θάλασσαν τῆς σχεδίας ὥσπερ ἐκεῖνος κα
τὰ ἀπὸ τῆς γῆς φαγὼν βοτάνης. παράκτιον δ' αἶπος λεω
νίδης ἐν τῷ περὶ ἰταλίας φησὶν ὄρος εἶναι ἐν ᾧ γίνεσθαι
πεύκας ὑπερμεγέθεις ἐκ δὲ τούτων γίνεσθαι τοὺς φελλοὺς
οἷς χρῶνται πρὸς κουφισμὸν τῶν δικτύων, περιφραστικῶς
δὲ πεύκης κλάδον εἴρηκε τὸν φλοιόν, ὅμηρος δὲ οὐ φλοιὸν κα
λεῖ διὰ φιλίαν τὸ δένδρον καὶ τὸν φλοιόν. ἡ δὲ σύνταξις
οὕτως παράκτιον δ' αἶπος βύκτης ἢ ἄνεμος ἐνθρώσκων
ἢ ἐμπίπτων ἐν πνοαῖς. στροβήσει ἢ κινήσει τὸν ὀδυ
σσέα ὡς πεύκης κλάδον ἢ φλοιόν, τὸ δὲ ἐστὶν ἑρμη
νευτικόν.

μόλις δὲ βύνης ἐκ παλιρροίας κακῆς
ἄμπυξ σαώσει στέρνα δεδρυφαγμένον
ἢ χεῖρας ἄκρας αἷς κρεαγρέπτους πέτρας
μάρπτων, ἁλιβρώτοισιν αἱμαχθήσεται
γόρθυγξι, νῆσον δ' εἰς κρόνω ζυγουμένην
ἅρπην περάσας μεζέων κρεανόμον
ἄχλαινος ἴκτης πημάτων λυγρῶν κόπις
τὸν μυθοπλάστην ἐξυλακτήσει γόον
ἀρὰς τετικὼς τοῦ τυφλωθέντος δάκους

μόλις δὲ βύνης τὸ δὲ ἑξῆς. βύνης τῆς ἰνοῦς τῆς λευ
κοθέας. ἄμπυξ σαώσει ἔστι δὲ κεφαλοδέσμιον γυ
» ναικεῖον ὡς καὶ ὅμηρος. ἄμπυκα κεκρύφαλόν τε ἠδὲ
» πλεκτὴν ἀναδέσμην. δεδρυφαγμένον νῦν ἐντετυλιγ
μένον. κρεαγρέπτους κρεαγρεπτούσας πέτρας. τὸ

ἀείζωον βοτάνη : συγκοπὴ διὰ
ἀνθηδὼν
ἀγριππιάς
φλοιός
βύκτης
ἐνθρώσκων
στροβήσει
βύνη, ἰνώ
ἄμπυξ
δεδρυφαγμένον
κρεαγρέπτους

παθητικὸν ἐνεργητικὸν εἶπε κατὰ διάλεκτον ἀττικήν· αὐτοὶ δὲ τὰ παθητικὰ ἐνεργητικὰ λέγει καὶ τὰ ἐνεργητικὰ παθητικά. ἄρπην περάσας· τὴν φαιακίαν νῆσον τὴν κέρκυραν λεγομένην ἐν ᾗ ἦν κεχωσμένον τὸ δρέπανον ἐν ᾧ ὁ ζεὺς κρόνου ἐξέτεμε. ἢ ὅτι ἐκεῖ τὸ δρέπανον ἡ δημήτηρ ἔβαλε παρὰ ἡφαίστου τεμοῦσα τοὺς στάχυας καὶ οὕτω μὲν ἡ κέρκυρα δρέπανον λέγεται. ἔστι δὲ καὶ σικελικὸν χωρίον δρέπανον λεγόμενον ἀπὸ τοῦ κεκρύφθαι ἐκεῖ τὸ δρέπανον μεθ' οὗ ὁ κρόνος ἀπέτεμε τὰ παιδοῖα. τὸν μυθοπλάστην· τὴν μυθικὴν αὐτοῖς συμφορὰν φλυαρήσει πρὸς ἀλκίνοον τῶν φαιάκων ἤτοι κερκυραίων βασιλέα. ἀρὰς τελικῶς· ἀποδοὺς τὰς κατάρας τοῦ τυφλωθέντος θηρίου λέγει δὲ τοῦ κύκλωπος ηὔξατο γὰρ ὁ κύκλωψ τῷ πατρὶ αὐτοῦ ποσειδῶνι ἵνα οὕτω τιμωρηθῇ ὁ ὀδυσσεύς. συντακτέον δὲ οὕτως, οἷς κρεαρπάστους τέρας μάρψων ἁλιβρώτοισιν αὐμαχθήσει στορθυγξιν ἀρὰς τελικῶς. ἢ ἀποδιδοὺς τοῦ τυφλωθέντος λάκους, εἶτα καὶ τὰ λοιπά. νῆσον δ' ἧς κρόνῳ ζυγουμένην τοιόσδε καὶ τοιόσδε τὸν μυθοπλάστην ἐξυλακτήσει γόον. / . /

Οὔπω μαλοῦπω· οὐ μέχρι τούτου τιμωρηθήσεται ὁ ὀδυσσεὺς ἢ μὴ τοσόσδε καὶ τοσοῦτος, ἢ μὴ τοσόνδε καὶ τοσοῦτον ὕπνος λήθης λάβῃ τὸν ποσειδῶνα. ἤγουν μὴ γένοιτο ἐπιλήσμων. μέλανθος ὁ ποσειδῶν παρὰ ἀθηναίοις. ἱππηγέτης ὁ αὐτὸς παρὰ δηλίοις εἶπον δὲ ὄπισθεν ὅτι τῇ ἐριννύι δημήτρᾳ μιγεὶς τὸν ἀρίωνα ἵππον ἐγέννησεν. ἄλλοι δέ φασιν καὶ περὶ τὰς πέτρας τοῦ ἐν ἀθηναίοις κολωνοῦ καθευδήσας ἀπεσπέρμηνε καὶ ἵππος ὁ σκύφιος ἐξῆλθεν ὁ καὶ σκιρωνίτης λεγόμενος. ναύλοχον σκέπας· τὸν λιμένα

Οὔπω μαλοῦπω μὴ τόσον δύπνος λάβοι
λήθης μέλανθον ἐμπλησθεὶς ἱππηγέτην
ἥξει γὰρ ἥξει ναύλοχον ῥείθρου σκέπας
καὶ νηρίτου πρηῶνας ὄψεται δὲ πᾶν
μέλαθρον ἄρδην ἐκ βάθρων ἀνάστατον
μύκλοις γυναικόπληθον, ἡ δὲ βασσάρα
σεμνῶς καπρωρεύουσα κοιλανεῖ δόμους
θοίναισιν ὄλβον ἐκχέασα τλήμονος

διάλεκτος ἀττική τὰ παθητικὰ ἐνεργητικὰ λέγει καὶ ἐναλλάξ

κέρκυρα. δρέπανον

μέλανθος

ἱππηγέτης

ἀρίων ἵππος

ἵππος σκύφιος ὁ καὶ σκιρωνίτης

Apud lycophronem & orpheum in argonauticis inuenio πρηῶνας per pleonasmum .η. apud homerum in ~~un~~ duodecima Iliados rhapsodia πρώονας ἄκρους per pleonasmum .ο.

τόπον τοῦ λιμένος τῆς ἰθάκης ὃς ῥέεθρος καλεῖται. ναύλοχον δὲ ἐν ᾧ αἱ νῆες λοχῶσι καὶ ἵστανται. ἀντὶ δὲ τοῦ εἰπεῖν ἥξει εἰς τὸν λιμένα τῆς ἰθάκης ἢ εἰς ἰθάκην περιφραστικῶς εἶπε καὶ εἰς τοὺς πρηῶνας καὶ εἰς τὰς ἐξοχὰς τοῦ νηρίτου. καὶ νήριτον δὲ ὄρος ἰθάκης. /·/ μύκλοις γυναικοκλώψι. μύκλος καλεῖται ἡ ἐν τῷ τραχήλῳ τῶν ὄνων καὶ βοῶν ὑποδίπλωσις. μύκλους δὲ νῦν τοὺς μνηστῆρας, διὰ τὸ ἀδδηφαγὲς καὶ καταφερὲς ὡς καλλίμαχος· ἔστι μοι μάνης ἐννεάμυκλος ὄνος, καὶ μυκλὸς δέ τις γέγονεν αὐλητὴς καταφερὴς κωμῳδηθεὶς ἐπὶ μαχλότητος ὑπ' ἀρχιλόχου. βασσάρα ὁ λαὸς καὶ τὸ δίκτυον καὶ εἶδος ἀλώπεκος καὶ ἡ βάκχη, νῦν δὲ ἡ πόρνη βασσάρα. λέγει δὲ τὴν πηνελόπην. κασσωρεύουσα. δοῦρις ὁ σάμιος ἐν τῷ περὶ ἀγαθοκλέους φησὶν αὐτὴν συγγενέσθαι πᾶσι τοῖς μνηστῆρσι καὶ γεννῆσαι τὸν πᾶνα. φλυαρεῖ δὲ περὶ τοῦ πανός, ὁ πὰν γὰρ ἑρμοῦ καὶ πηνελόπης ἄλλης, ἕτερος δὲ πὰν διὸς καὶ ὕβρεως

ναύλοχον

πρηῶνας

μύκλος

βασσάρα

πηνελόπη πόρνη

πᾶν

αὐτὸς δὲ πλείω τῶν ἐπὶ σκηναῖς πόνων
ἰδὼν μολοβρὸς τλήσεται μὲν οἰκετῶν
στυγνὰς ἀπειλὰς εὐλόφῳ νώτῳ φέρειν
δύνις κολασθεὶς τλήσεται δὲ καὶ χερῶν
πληγαῖς ὑπέχειν καὶ βολαῖσιν ὀστράκων
οὐ γὰρ ξέναι μάστιγες, ἀλλὰ δακτύλοις
σφραγῖς μώλωψ θόαντος ἐν πλευραῖς ἔτι
λύγοισι τετρανθεῖσα, τὰς ὁ λυμεὼν
ἐπεγκολάπτειν ἀξένακτος ἄλγεσι
ἑκουσίαν σμώδιγγα προσμάσσων δομῇ
ὅπως παλαιοῖς δυσμενεῖς κατασκόποις
λώβαισι καὶ κλαυθμοῖσι φηλώσας πρόμον

αὐτὸς δὲ πλέω τῶν ᾅδῃ σκαιαῖς πόνοισιν σκαιαὶ τύλ σκαιαί τύ
αι ἦσαν ζοῖ περὶ ὃς μέγας πόλεμος περιέση περὶ τοῦ λαι ζοῖ
σώματος τοῦ ἀχιλλέως. καὶ ὅμηρος ὡς ἀπὸ ὀδυσσέως φησίν
ὁπότε μοι πλεῖστα χαλκήρεα δοῦρα τρῶες ἐπέρριψαν περὶ
πηλείωνι θανόντι. μολοβρὸς ὁ ἀρτοζήτης ἀπὸ τοῦ μο
λεῖν καὶ παραγενέσθαι πρὸς βορὰν καὶ τροφήν. ὁ γὰρ ὀδυ
σσεὺς ἐπελθὼν εἰς ἰθάκην ὑπεκρίνατο πένητα. ὅπως
μὴ γνωσθεὶς δόλῳ ἀνέλῃ τοὺς μνηστῆρας. μελάνθιος ὁ
τούτου οἰκέτης συναντήσας ~~συναντήσας~~ αὐτῷ σὺν τῷ
μνῷ τῷ εὐμαίῳ τῷ συφορβῷ φησὶ πρὸς εὔμαιον. πῇ
δὴ τὸν μολοβρὸν ἄγεις ἀμέγαρτε συβῶτα. καὶ ἅμα κο
λαφίζει αὐτὸν καὶ λακτίζει αὐτόν. γελοῖον δὲ τοῦτο καὶ
κακόζηλον ὑπάρχει τὸ τοῦ λυκόφρονος ῥητὸν τὸ ῥυσ
μὰς ἀπειλὰς εὐλόφῳ νώτῳ φέρειν. καθένα μὲν γὰρ
ὅτι οὐκ ἀπειλὰς ἀλλὰ πληγὰς ἐδέξατο ἐν τῷ νώτῳ. δεύ
τερον δὲ λόφος λέγεται ὁ τράχηλος καὶ ἡ κεφαλή. οὗτος δὲ
εὔλοφον πῶς φησὶ τὴν ῥάχιν. δῆλον ὅτι οὐδὲ ἐν τῷ
νώτῳ ἤτοι τῇ ῥάχει ἐδέξατο τὰς μελανθίου τὰς πληγὰς
ἀλλ᾽ ἐν τῷ τραχήλῳ καὶ τῇ ὀσφύι. δέννοις κηλασθεὶς λοι δέννοις
δορίαις καὶ ὕβρεσι κηλασθεὶς διὰ τὸν ἀντίνοον καὶ εὐρύ
μαχον καὶ κτήσιππον φησὶν ὑβρίσαντα αὐτόν. πληγὰς
ὑπέχειν καὶ βολαῖς ὀστράκων. παρὰ αἰσχύλῳ φαίνε
ταί τις τὸν ὀδυσσέα τύψας ὀστράκῳ οὐ μὴν παρ᾽ ὁμήρῳ.
παρ᾽ ὁμήρῳ γὰρ φαίνεται βοὸς ποδὶ πληγεὶς ὑπὸ κτησί
ππου. ὑποποδίῳ δὲ κατὰ ὦμον ὑπ᾽ ἀντινόου. σφρα
γὶς μαινάδος ὄντος. ὁ ὀδυσσεὺς βουλόμενος κατάσκοπος ὀδυσσεύς
εἰσελθεῖν εἰς τὴν ἴλιον καὶ μὴ νοηθεὶς ἀποθάνῃ, ἔπεισε θόα μαστιχθείς
ντα μαστίξαι βιαίως αὐτόν. ὡς καὶ ὅμηρός φησιν, αὐτὸν
μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας. φησὶν οὖν ὅτι οὐκ
ἀπῆσαν τῷ ὀδυσσεῖ αἱ μάστιγες καὶ αἱ πληγαί. ἔτι γὰρ
τὸ ἐγχάραγμα τῶν γεγονυιῶν αὐτῷ πληγῶν ὑπὸ τοῦ

θάνατος παραινοῦντα καὶ ἔσται ἐν ταῖς αὐτοῦ πλευραῖς λύ-

λύγοις — γοισι ἢ ῥάβδοις τετρανθεῖσα ἢ τρυπηθεῖσα κυρίως
κῶν δὲ ἐγκολαφθεῖσα. ὁ λυμεὼν ὁ Ὀδυσσεύς, τῶν ζώ-
ων δὲ ὁ λυμεών. δομὴ τῷ σώματι· τὸ δὲ σχῆμα

δομή — μεταπλασμός, ἀπὸ οὐδετέρου εἰς θηλυκόν, ἀπὸ γὰρ
τοῦ δέμας μεταπλάσας εἶπεν ἡ δομή. ὅπως παλ-

παλαίσῃ — αίσῃ ἢ ἀπατήσῃ τοὺς δυσμενεῖς ἤτοι τοὺς Τρῶας καὶ

παλαίτεροι — ἤτοι οἱ ἀπατ[ῶντες] — κατασκοπεύσῃ. παλαίτεροι δὲ λέγονται οἱ πλάνοι,
ἀνδραποδισταί ἤ περίεργοι. φιλώσας ἀπατήσας

φιλῶ — ἀπὸ τοῦ φιλόω ῶ, τὸ ἀπατῶ. ἀπὸ τῶν φιλίκων
ἤτοι τῶν ἀγρίων συκῶν ἐλέχθη. ἅτινα ὡραῖα καὶ ἄχρηστα

φίλιξ — ~~ὄντα~~ ὄντα, τῇ ἰδέᾳ πέπειρα φαίνονται

Ὃν βομβυλίας κλιτὺς ἡ Τεμμικία
ὕψιστον ἡμῖν πῆμ' ἐτέκνωσε ποτέ
μόνος πρὸς οἴκους ναυτίλων σωθεὶς τάλας
λοῖσθον δὲ κανὴξ ὥστε κυμάτων δρομεὺς
ὡς κόγχος ἅλμῃ πάντοθεν περιτριβὴς
κτῆσιν τ' ἐθοίναις πρωνίων λαφυστίαν
πρὸς τῆς Λακαίνης αἰνοβακχεύτου κιχὼν
σύφαρ θανεῖται ποντίου φυγὼν σκέπας,
Κόραξ σὺν ὅπλοις Νηρίτων δρυμῶν πέλας

βομβυλίας — βομβυλίας· βομβύλιον ἐστὶ ζωΰφιον ὅμοιον μελίσσῃ

βομβύλιον — μεῖζον δὲ τῇ χροιᾷ ἐκ πηλοῦ κηροπλαστοῦν. λέγε-

βομβεῖν — ται δὲ βομβυλίας παρὰ τὸ βομβεῖν ὥσπερ καὶ τὸ πι-
νόμενον κηρύττουσι(?), καὶ ἡ ῥόμβα ἡ στόμβα. βομβύλιος

βομβύλιος — καὶ βέβρυξ καλεῖται. βομβύλιος δὲ καὶ βομβύλιον

βέβρυξ — πόλις καὶ ὄρος Βοιωτίας ὅπερ καὶ λέγει, γράφεται δὲ διὰ
τοῦ ι, ὁ δέ φησι βομβυλείος κλιτὺς ἡ ἀκρώρεια
ὡς κτητικὸν τότε διφθογγογράφεται. βομβυλίας δὲ καὶ

⌑ cf. ἰθάκης · ut paulo post liquet, & testatur magnum etymol. 100

⌑ cf. ὕσαντος πολὺ τοῦ ex historia ipsa & magno etymolo.

ι. καὶ διφθόγγως γράφεται. ἡ βομβυλία τῆς βομβυλίας ι. ἡ βομβύλεια δὲ τῆς βομβυλείας διφθόγγῳ. τιμᾶται καὶ ἡ ἀθηνᾶ βομβυλεία, καὶ ἡ τεμμικία δὲ ὄρος ἐστὶ βοιωτίας, λέγει οὖν ὅντινα ποτὲ ἡ βοιωτία μέγα κακὸν ἀνέθρεψε, λέγει δὲ τὸν ὀδυσσέα, ἐν γὰρ βοιωτίᾳ φασὶ τὴν ἀντίκλειαν γεννῆσαι τὸν ὀδυσσέα. σιληνὸς δ᾽ ὁ χῖος ἐν δευτέρῳ μυθικῶν ἱστοριῶν δύο γέγραφε βιβλία καὶ φησὶν ἀντίκλειαν εἶναι τὴν ὀδυσσέως μητέρα ἔγκυμονα διοδεύουσαν τὸ νήριτον τὸ τῆς θεσσαλῆς ὄρος ὕσαντος πολίτου διὸς ὑπ᾽ ἀγῶνι καὶ φόβου καταπεσοῦσαν τεκεῖν ὀδυσσέα, ὅθεν ἄρα καὶ ὀδυσσεὺς ἐκλήθη. ἀλλὰ περὶ τῆς κλήσεως τοῦ ὀδυσσέως ψεύδεται. ὅμηρος γὰρ ἐν ὀδυσσείᾳ φησὶν ὅτι τὸν ὀδυσσέα πάππος αὐτόλυκος λέγει τὰ κληθῆναι τὸν ὀδυσσέα πολλοῖς γάρ μοι ὀδυσσάμενος ἤτοι ὠργίσθησαν περὶ δὲ τοῦ εἶναι ἐν βοιωτίᾳ κατὰ τὸν λυκόφρονα ἐγεννήθη ὅτε κατὰ τὸν σιληνὸν ἐν ἰθάκῃ ὡς καὶ ὅμηρος λέγει ὃς ναίει ἐν δήμῳ ἰθάκης ὁ βουλόμενος πολυπραγμονείτω. μόνος πρὸς οἴκους ἀπὸ γὰρ τῶν ἑπομένων αὐτῷ δώδεκα πλοίων εἰς τροίαν μόνος ὁ ὀδυσσεὺς ἀναστρέψας ἐσώθη. λοισθὸν δὲ καύηξ. ὕστερον δὲ ὡς λάρος καὶ ματοδρόμος. ὡς κόγχος δὲ περιτριβεὶς πάντοθεν τῇ θαλάσσῃ τὴν κτῆσίν τε. ἤγουν τὴν περιουσίαν αὐτοῦ κιχών. ἤγουν καταλαβὼν λαφυσίαις ἐξαντλουμένην παρὰ τῆς λακεδαιμονίου ἤτοι τῆς πηνελόπης τῆς κακῶς βακχευθείσης. ἤγουν μανείσης πρὸς ἔρωτα δηλονότι. σύφαρ. ἤγουν γηραλέος κόραξ σὺν ὅπλοις ἤτοι πολεμῶν πρὸς τοῦ νηρίτου τὸ πόντιον σκέπας. ἤγουν τὴν ἰθάκην φυτῶν. κτῆσίν τε θοίναις πρωνίων θουκυδίδης εἰς τέσσαρα φῦλα διαιρεῖ τὴν κεφαλληνίαν, πρωνίους σαμαίους, παλεῖς καὶ κρανίους. πρὸς τῆς λακαίνης

ἀθηνᾶ βομβυλεία. τεμμικία.

*

ὀδυσσεὺς πόθεν ἐκλήθη

: lege homerum ὀδυσσ. τ.

: cf. ὅτε

πηνελόπη πρότερον ἀρνέα λεγομένη

σῦφαρ λεβηρεῖς

τῆς πηνελόπης· τοῦ δ᾽ ἄρεως καὶ ἰκάριος ἀδελφοί· οὗ ἰκαρί
ου καὶ περιβοίης ἡ ῥιφθεῖσα πηνελόπη πρότερον ἀρνέα λεγο
μένη· ὕστερον δὲ πηνελόπη κληθεῖσα, ὅτι ῥιφεῖσα παρὰ
τῶν γονέων ἀναληφθεῖσα ἐξετρέφετο. σῦφαρ καὶ λεβηρεῖς
τὸ τοῦ ὄφεος δέρμα. νῦν δὲ σῦφαρ ἀντὶ τοῦ γέρων ἐστὶ
ἀπὸ τοῦ ὄφεως δέρματος· γηράσας γὰρ ὄφις καὶ πρὸς
ὀπὴν λίθων ἀποδύεται τὸ δέρμα. ποντίων φυλῶν σκέ
πας· τὴν ἰθάκην νῆσον εἶπε ἢ τὴν ναῦν ἢ τὸν λιμένα
ταύτας γὰρ σκέπει καὶ ἀμύνει τὴν θάλασσαν. Κόραξ σοῦ
ὅπλοις·/ κόρακα λέγει τὸν ὀδυσσέα διὰ τὸ πολυχρόνιον
ἑκατὸν ὀκτὼ γὰρ γενεὰς καθ᾽ ἡσίοδον ὁ κόραξ ὑπεργήρως
δὲ καὶ ὀδυσσεὺς ἐτελεύτησεν ἀναιρεθεὶς ὑπὸ τηλεγόνου
τοῦ ἐκ κίρκης αὐτῷ γεννηθέντος υἱοῦ πολεμῶν ὑπὲρ
τῶν ἑαυτοῦ ποιμνίων. μέμνηται δὲ καὶ ὁ ὀππιανὸς
εἰς τὸ περὶ τρυγόνος λέγων οὕτωσί πως·/ ὁ δ᾽ οὐ μάθε
πένθων πωέα παρὸς ἐδίω, γεραρῷ δὲ βοηδρομέον
τι τόχη αὐτὸν, μάψεν κακὸν προσεμάξατο κῆρα,
νηρίτων δρυμῶν πλάας τῶν τοῦ νηρίτου δρυμῶν ἐγ
γύς

Κτενεῖ δὲ τύψας πλευρὰ λοίσθιος στόνυξ
κέντρῳ δυσαλθὴς ἔλλοπος σαρδωνικῆς·
κέλωρ δὲ πατρὸς ἄρταμος κληθήσεται
ἀχιλλέως δάμαρτος αὐτανέψιος

ἔλλοψ

Κέντρῳ δυσαλθής δυσίατος δὲ ἡ πληγὴ τοῦ κέντρου
τῆς τρυγόνος. ἔλλοψ πᾶς ἰχθὺς παρὰ τὸ ἐλλείπεσθαι
ὀπὸς ἤτοι φωνῆς. σαρδονικῆς τὸ δο· μικρὸν τζέ
τζης γράφει καὶ λέγει μακρὸν εἶναι ἐκτεινόμενον ὑπὸ
τοῦ ν· ἀμεταβόλου. σαρδονικῆς λέγει γράφειν
μέγας, οὐ δόλως τοῦτο δέχεται, οὐδὲ γὰρ τοὺς ἀττικοὺς
φησὶ τοιαῦτα ἐκτείνειν ἀλλὰ τὰ διὰ τοῦ· λης· οἰνο
πόλης

ποῖα φωνήεντα ἐκτείνουσιν οἱ ἀττικοί

τὸ δο· μακρὸν ἐκτεινόμενον
ὑπὸ τοῦ· ν· ἀμεταβόλου

καὶ τὰ ὅμοια καὶ τὰ τελευταῖα μέρη τῶν λόγων οἷον δύο
ἀπό. δαῦρο καὶ ὅσα ἐστὶ τελευταῖα τῶν ὀκτὼ μερῶν. ἡ
γὰρ σαρδὼ νῆσος περὶ τὰς ἡρακλέας στήλας ταύτας ἐποι * βοτάνη σαρδόνιος
κοῦσι καὶ οἱ καρχηδόνιοι. ἐν τῇ νήσῳ σαρδοῖ βοτάνη γίνεται
ὁμοία σελίνῳ ἧς οἱ γευόμενοι σπασμῷ συνεχόμενοι ἀ
κουσίως γελῶσι καὶ οὕτω τελευτῶσι. Τίμαιος δέ φησιν γέλως σαρδόνιος
ἐκεῖ τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη γεγονότας γονεῖς αὐ
τῶν θύουσι τῷ κρόνῳ γελῶντες καὶ τύπτοντες τοῖς ξύλοις
καὶ πρὸς ἀγκανεῖς κρημνοὺς καταωθοῦντες ὅθεν ὁ σαρ
διος γέλως ἐλέχθη. ἄλλοι δέ φασιν ὅτι ἐκεῖ οἱ θνήσκο
ντες μειδιῶσιν ἀκουσίως πρὸς τὴν ὑπὸ τῶν παίδων
αὐτῶν ἀφορῶντες ἀπάνθρωπον τελευτὴν ὅθεν ἡ παροιμία.
ἐκείνης γοῦν τῆς νήσου τῆς σαρδοῦς πλησίον ἐστὶν ἡ τυρ
σηνία ὅπου ἡ κίρκη ἦν ἥτις περιέθετο κέντρον τρυγόνος κέντρον τρυγόνος
τῷ δόρατι τοῦ παιδὸς αὐτῆς τηλεγόνου. ἄρταμος ἄρταμος
σφαγεύς ἀορτάμος τις ὤν ὁ ἐν ἄορι ἤγουν ξίφει τέμνων
ἀχιλλέως δάμαρτος. πρῶτον τοῦτο δεῖ εἰδέναι ὅτι
τὸ ἀχιλλεὺς ὁ ποιητὴς δι' ἑνὸς λ. γράφει. φησὶ γὰρ ἡ
ἀπὸ τοῦ ἄχος ἐμποιεῖν τοῖς ἰλιεῦσιν ἐτυμολογεῖται.
ἢ παρὰ τὸ ἄχη λύειν ἰατρὸς γὰρ ἦν, ἢ παρὰ τὸ χιλοῦ
ἄμοιρος εἶναι, ἢ παρὰ τὸ ἄγειν τὸν λαὸν στρατηγός
καὶ πάντα δι' ἑνὸς λ. γράφειν τοῦτο κελεύει μὴ κοινῶς
οὕτω γράφειν χωρὶς ἐπιστήμης καὶ ἀθήσεως. λέγεται δὲ τοῦ
το ὅτι αἰολικόν ἐστιν. οἱ γὰρ αἰολεῖς διπλασιάζουσι
τὰ σύμφωνα. καὶ ταῦτα μὲν περὶ τοῦ ὅτι δι' ἑνὸς λ.
χρὴ ἐκφέρειν τὸ ἀχιλλεύς. ἡ δὲ περὶ τοῦ ἀχιλλέως δά
μαρτος ~~ἱστορία~~ ἤτοι γυναικὸς ἱστορία ἐστὶ τοιάδε. ἀχι
λεὺς μετὰ θάνατον ὡς ληροῦσιν ἔγημε μήδειαν τὴν
αἰήτου παῖδα. αἰήτης δὲ καὶ κίρκη καὶ πασιφάη ἡλίου
παῖδες καὶ πέρσης τῆς ὠκεανοῦ. αἰήτου μὲν παῖδες
καὶ ἰδυίας μήδεια καὶ ἄψυρτος. κίρκης τε καὶ ὀδυσσέως



ἀχιλλεὺς πόθεν
καὶ ὅτι δι' ἑνὸς λ.
γράφεσθαι θέλει



ἀχιλλεὺς μετὰ θάνα-
τον ἔγημε μήδειαν

abundat, ut puto quia ἢ erat in apographo

Τηλέγονος καὶ Πασιφάη. Πασιφάης καὶ Μίνωος Ἀριάδνη Φαίδρα, καὶ Γλαῦκος· οὗ οὗτος Γλαυκῶνα φησίν. ὥστε Τηλέγονος καὶ Μίνως φασὶν ~~ἀντανεῖς~~ ἀντανέψιοι οὓς ἡμεῖς λέγομεν ἐξαδέλφους

ἀντανέψιοι ἐξάδελφοι

μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεὼς
ὅ τ' αἰπὺ ναίων Τραμπύας ἐδέθλιον
ἐν ᾗ ποτ' αὖθις Ἡρακλῆ φθίσει δράκων
Τυμφαῖος ἐν θοίναισιν Αἰθίκων πρόμος
τὸν Αἰακοῦ τε ἀπὸ Περσέως σπορᾶς
καὶ Τημενιδῶν οὐκ ἄποθεν αἱμάτων

μάντιν δὲ νεκρὸν· Ἀριστοτέλης φησὶν ~~εἶναι~~ ἐν Ἰθακησίων πολιτείᾳ ἔθνος τῆς Αἰτωλίας ὀνομασθὲν ἀπὸ Εὐρύτου παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως, τὸ δ' αὐτὸ καὶ Νίκανδρος ἐν Αἰτωλικοῖς. Τραμπύας· Τραμπύα δὲ πόλις Ἠπείρου ἔνθα μετὰ νόστον Ὀδυσσεὺς ἀπῆλθε καθὰ καὶ Ὅμηρος φησί· εἰσόκε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν, ἐτιμᾶτο δὲ ἐν τῇ Τραμπύῃ ὁ Ὀδυσσεύς. ἐν ᾗ ποτ' αὖθις Ἡρακλῆ φθίσει δράκων· ἐν ᾗτινι Τραμπύῃ ποτὲ αὖθις ἀντὶ τοῦ δή. οὐ γὰρ καὶ ἕτερος Ἡρακλῆς ἐκεῖ ἀνῃρέθη. φθίσει· ἤγουν φθερεῖ ἐν θοίναισι· ἤγουν εὐωχίαις. ὁ δράκων ὁ Τυμφαῖος καὶ Ἠπειρώτης. ἤγουν ὁ Πολυασπέρχων, ὁ πρόμος καὶ πρόμαχος τῶν Αἰθίκων ἤγουν Ἠπειρωτῶν. τίνα φθίσει; τὸν Ἡρακλῆ τὸν ἀπὸ τῆς σπορᾶς Αἰακοῦ καὶ Περσέως καὶ οὐ πόρρω τῶν αἱμάτων τοῦ Τημένου. ἡ δὲ ἱστορία τοιαύτη, Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ Μαρσίνης τῆς Περσίδος υἱὸς ἐγένετο Ἡρακλῆς καλούμενος, ὃν ἀνεῖλε καλέσας εἰς δεῖπνον Πολυασπέρχων ὁ Τυμφαῖος Αἰθίκων βασιλεὺς χαριζόμενος Κασάνδρᾳ. Τυμφαῖοι δὲ οἱ Ἠπειρῶται ἔθνος καὶ Αἴθικες ὁμοίως. ὧν καὶ Ὅμηρος μέμνηται

ὀδυσσέως μαντεῖον

ἐτιμᾶτο ἐν τῇ Τραμπύῃ ὀδυσσεύς

θοίναισι

λέων. τοὺς δὲ ἐκ σπηλίου ὧδε καὶ ἀφίκετο πέλας δρά-
κων ὁ πολυάθλων ὡς φαρμακευθεὶς αὐτὸν ἀνελών.
ἡρακλῆ δίχα τοῦ ν γραπτέον ὅτι ἡ ἔμπροσθεν συλ-
λαβὴ ἀπὸ τοῦ συμφώνου ἄρχεται τοῦ σ. τοῦ
αἰακοῦ τε καὶ ἀπὸ περσέως σποράς. τὸν ἡρακλῆ τοῦ-
τον ἀπὸ ταύτης λέγει καταρχεσθαι τῆς σπορᾶς, ὅτι ὁ
τούτου παῖς ἀλέξανδρος ὁ μακεδὼν κατὰ μὲν τὸν
πατέρα εἰς ἡρακλέα καὶ περσέα ἀνάγει τὸ γένος, κα-
τὰ δὲ μητέρα εἰς νεοπτόλεμον καὶ ἀχιλλέα καὶ αἰακόν.
καὶ τυμφαίων. ὁ τυμφαῖος οὗτος ἔκγονος ἦν ἡρακλέους.
ἡρακλέους γὰρ καὶ δηιανείρας ὕλλος. ὕλλου καὶ ἰόλης τῆς
εὐρύτου κλεόδοτος. λίχας καὶ κύηξ, κλεοδότου καὶ πει-
δίας ὁ τυμφαῖος οὗτος καὶ ἕτεροι. ἄπωθεν. τὸ πω μι-
κρὸν ἐκτείνεται διὰ τὸ πλεονασμὸν καὶ ἐξ κοινὴ συλλαβή.
ἄπω δὲ καὶ ἄπωθεν ἀττικοὶ μετὰ ω γράφουσι.

περγη δέ μιν θανόντα, τυρσηνῶν ὄρος
ἐν γορτυναίᾳ δέξεται πεφλεγμένον
ὅταν στενάζων κῆρας ἐκπνεύσῃ βίον
παιδός τε καὶ δάμαρτος ἣν κτήσῃ πόσις
αὐτὸς πρὸς ᾅδην δευτέραν ὁδὸν περᾷ
σφαγαῖς ἀδελφῆς ηλοκισμένος δέρην
γλαυκωπὸς τὰρ μύρτοιο ταυτανεῖας

περγη δέ μιν. ἡ πέργη ὄρος τυρσηνίας ἔνθα φησὶ τὸν ὀ-
δυσσέα κεῖσθαι καέντα ἐν γορτυνίᾳ. πῶς δὲ αὐτὸς ἐν
ἐνευτάσι τῆς ἠπείρου καὶ ἐν τυρσηνίᾳ ἦπται, καὶ ὁ μὲν
ποιητὴς κακοπλάστως αὐτὸν φησὶ τοὺ λυκόφρο-
να γράφειν καὶ ἐναντίον συγγόνου τοῖς ἄλλοις ὡς ἔδειξε
πολλάκις ἀλλὰ καὶ αὐτὸν ἐναντίων ὥσπερ ἐνταυθοῖ φησὶ
γράψαι καὶ ἐν τῷ κατωτέρω στίχῳ τῷ λέγοντι ὅταν στε-
νάζων

ἄπωθεν. τὸ πω μικρὸν καὶ ἐκτείνεται διὰ πλεονασμὸν
ἄπω
ἄπωθεν

περγη

τὰς χεῖρας τοῦ παιδὸς Τηλεμάχου καὶ τῆς δάμαρτος Κίρ-
κης ἀποθανεῖν. καί φησιν ἐγὼ πολλὰ εἶναι τὰ ἐναντία
ἐνταῦθα, ἓν μὲν ὅτι θανὼν πρώην ὑπὸ Τηλεγόνου νῦν
πάλιν ὡς ζῶν ἀποθνήσκει διὰ τὸν θάνατον Κίρκης καὶ
Τηλεμάχου καὶ ἓν μὲν τοῦτό φησιν εἶναι καὶ ἀνακόλουθον.
δεύτερον δὲ ἀνακόλουθον τοῦτό φησιν ~~εἶναι~~ ὁ Λυκόφρων
ζῶντος Ὀδυσσέως ἢ τεθνηκότος ἐπ' Ἰταλίᾳ γέγονε Τηλεμά-
χου καὶ Ὀδυσσέως καὶ Κασιφόνης τῆς Κίρκης παιδὸς. εἰ μὲν
ζῶντος πάντως οὐ προανεῖλεν αὐτὸς ὁ Τηλέγονος ὡς ἀ-
νῶς, ἐγίνωσκε γὰρ ἂν τοῦτον ἰδὼν ἐν τοῖς τοῦ παιδὸς
γάμοις. εἰ δὲ τεθνηκότος πῶς ἤδη θανὼν πάλαι ὥσπερ
ἀπὸ μηχανῆς κωμικῆς ζωωθεὶς ὑπὸ σοῦ παράγεται θα-
νοῦσαν θρηνῶν καὶ Τηλέμαχον καὶ τῶν παθῶν αὐτῶν πλῆθος.
ἐμοὶ ταῦτα Λυκόφρον ἀνακόλουθα καὶ ληρωδέστατα
φαίνεται, οὐ μόνον δὲ τὰ τοιαῦτα σὰ ῥήματα ἀλλὰ
καὶ τῶν πεφρασμένων ἐν τοῖς τοιούτοις συμπερασθέν σοι
φασὶ γάρ τινες σκεπτότεροι καὶ ἀπαίδευτοι. θανόντα δὲ
τὸν Ὀδυσσέα ὑπὸ Τηλεγόνου Κίρκη φαρμάκοις ἀνέστη-
σε καὶ προαναιρεθεῖσα Τηλεμάχῳ μὴ δὲ ἑαυτὴν ἐγεί-
ραι δυναμένη. καὶ λοιπὸν ἡ παροιμία ἐπ' αὐτὴν πεπλή-
ρωται ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων. ἢ ὡς ὁ νεκρὸς	παροιμ. ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων
ἔχει ὁ σωτὴρ Σιμωνίδης καὶ αὐτὴ νῦν τῷ Ὀδυσσεῖ τεθ-
νηκότι χάριτας παρέχει. ταῦτά φησιν ὁ Τζέτζης περὶ
τούτων τῶν κακοπλάστων καὶ ἀνακολούθων ἐναντίον.
τοῦ δὲ κεῖσθαι τὸν Ὀδυσσέα ἐν Πέργῃ τῇ Τυρσηνίᾳ
καὶ ἔτι πρότερον περὶ τοῦ Τηλεγόνου θανάτου αὐτοῦ καὶ
πῶς πάλιν φαίνεται ζῶν καὶ θνήσκων διὰ τὸν θάνατον
Κίρκης καὶ Τηλεγόνου. ἄλλοι δέ φασιν ἀπὸ τοῦ πρωτέ-
ως λόγου ὅτι ἴσως μετετέθη ἀπὸ Εὐρυτάνων καὶ ἐν
Πέργου εἰς Τυρσηνίαν καὶ τοῦτο μὲν Τζέτζη ὡς ἔχοντα
πιθανότητος οὐ παντελῶς ἀπόβλητον φαίνεται, διὰ

τὸ ἐν πολλοῖς τὸν λυκόφρονα, τοσοῦτον εὑρίσκειν πάντα
τὰ τοιαῦτα μισῶ. ἄλλοι δέ φασιν ὅτι ἀναιρεθεὶς ὀδυ
σεὺς ὑπὸ τηλεγόνου περιῆν ὑπὸ τοῖς τῆς κίρκης φαρμα
κοῖς ἀνέζη. συνελόντι ἐν μακάρων νήσοις ἐγήματο τηλέ
γονον ἐν γορτυναίᾳ. θεόπομπος φησὶν ὅτι πραξάμενος
ὀδυσσεὺς καὶ τὰ περὶ τὴν συνελόντι ἐγνωκὼς ἀπῆρεν εἰς
τυρρηνίαν καὶ ᾤκησε τὴν γορτυναίαν ἔνθα καὶ τελευτᾷ ὑπ᾽ αὐ
τῶν. παιδὸς ἐστὶ καὶ ὁ λαμαρτος. τηλεγόνος ἔγημε κασιφό ∴ γρ. τηλέμαχος
νην τὴν θυγατέρα κίρκης καὶ κίρκην μὲν ἀναιρεῖ τηλέμα
χος μὴ φέρων αὐτῆς τὰ προστάγματα, ἀναιρεῖται δὲ καὶ αὐ Telemachi finis
τὸς ὁ τηλέμαχος ὑπὸ κασιφόνης. / γλαύκωνος τ᾽ ἀγύρ
τοιο ἄπον τὴν ἱστορίαν ὄπισθεν ὅμως καὶ περὶ ἐρῶ τὸν
γλαῦκον γλαύκωνα εἶπε. γλαῦκος καὶ ἄγυρτος καὶ κασι
φόνη καὶ οἱ λοιποὶ οὓς εἶπε ἀνεψιοὶ ἤτοι ἐξάδελφοι. ἀ
δελφῶν γὰρ ἦσαν παῖδες ὡς εἶπε. πασιφάης ὁ γλαῦκος.
αὐτοῦ ὁ ἄγυρτος, κίρκης δὲ ἡ κασιφόνη. ὁ δὲ γλαῦκος ∴ γρ. μυῶ. i. muré
ὃν ἔπομεν διώκων μῦν πεσὼν εἰς πίθον μέλιτος ἀπεπ
νίγη. ἀνεζωώθη ὥς φασιν ὑπὸ τοῦ μάντεως τοῦ υἱοῦ κοι
ράνου. ζητῶν γὰρ τὸν γλαῦκον ὁ πατὴρ αὐτοῦ μίνως
∴ γρ. ἐχά νον — οὐχ εὕρισκε. ἐδόθη δὲ τούτῳ χρησμὸς ἐκεῖνον εἰπεῖν περὶ Historia Glauci in mellis dolio suffocati
τοῦ παιδὸς ποῦ αὐτοῦ εὑρήσει ἔτι δὲ καὶ ἀναστήσει αὐτόν
ὃς εἴπῃ τίνι ὅμοιος ἐστὶν ἡ δίχρωμος τοῦ μίνωος βοῦς
ἡ ἐν τοῖς ἀγροῖς. πολύιδος δὲ αὐτὴν ἀπεικονομοίαν εἶναι
βάτου καρπῷ καὶ ὁ μίνως κατέλεγεν αὐτὸν εἰπὼν, ποῦ
ἐστὶν ὁ γλαῦκος, ὁ δὲ ὑπὸ τῆς μαντείας εἶπεν αὐτὸν τῷ πί
θῳ εἶναι πεπνιγμένον. εὑρεθέντος δὲ αὐτοῦ νεκροῦ συνα
πεκλείσθη αὐτῷ ἐν τινὶ οἰκήματι ὥστε ζωῶσαι αὐτόν, ἕτερος cat hic. & infra debet prim
δὲ ἰδὼν τὸν δράκοντα ἐπὶ τὸν νεκρὸν ἐρχόμενον θέλων ἀπελῶ
σαι τὸν δράκοντα ὅπως ἀναιρεθῇ ὑπ᾽ αὐτοῦ, βαλὼν τα
χέως ἀνεῖλεν αὐτόν, δράκων δὲ ἐλθὼν βοτάνην ἐπιθεὶς
τῷ τεθνηκότι δράκοντι ἤγειρεν αὐτόν. ⊏ μίνως δὲ οὐδὲ ∴
∧

hec omnia ignorantia & incuria scriptoris adeo depravata sunt ut neque ant intelligi. itaque lege palephatum & alios authores

ἕτερος ut puto quia supra sup finit & hic deerat

⊏ defectus huius fabulae potest resarciri ex
∧ palaefato ad hunc modum. καὶ οὕτως τὸ
αὐτὸ ποιῆ [λ. 3] (ὡς εἰς τὸν γλαῦκ) ,
ἀνέστησεν. //

οὕτω τὸν πολύιδον εἴα ἐς τὴν αὐτοῦ πατρίδα, ἄργος ἀπιέναι πρὶν τῷ γλαύκῳ διδάξαι τὴν μαντικήν, καὶ ὃς διδάσκει αὐτόν. ἀποπλέων δὲ κελεύει τὸν γλαῦκον ἐς τὸ ἑαυτοῦ στόμα ἐμπτύσαι· καὶ τοῦτο ποιήσας ὁ γλαῦκος τὴν μαντικὴν τέχνην ἐλάθετο

χῶ μὲν τοσοῦτον θῖνα πημάτων ἰδὼν
ἄξεστον ἅδην δύσεται τὸ δεύτερον
γαληνὸν ἦμαρ. οὔποτ᾽ ἐν ζωῇ δρακών
ὦ σχέτλι᾽ ὡς σοὶ κρεῖσσον ἦν μίμνειν πάτρᾳ
βοηλατοῦντι καὶ τὸν ἐργάτην κύκλον
κάνθων ὑπὸ ζεύγλῃσι μεσσάβῳ ἔτι
πλασταῖσι λύσσης μηχανὰς διζημένῳ
ἢ τηλικῶνδε πεῖραν ὀτλῆσαι κακῶν

ἄξεστον ἅδην· ἐπεὶ πρῶτον κηροῦσιν ὑπὸ κίρκης ἀνέστη ἀποθανών. ἔσω δὲ φημὶ ἐπεὶ κατῆλθε πάλιν ἐς τὸν τειρεσίαν καὶ ἀνῆλθε πλὴν ὃ ἀλληγορεῖται ὅτι νεκυομαντείαν ἐποίησεν καὶ τὴν τειρεσίου ψυχὴν ἠρώτησε. τοῦτον χάριν φησὶν ὅτι ἄξεστον ἅδην ὑπεισῆλθε, καὶ τοιοῦτον οἷον ὅτε κατῆλθε ζῶν τὴν ψυχὴν τειρεσίου καὶ πάλιν ἀνῆλθε. μεσσάβῳ ἀν. σ. γράφεται. λέγεται δὲ τὸ ζευγνύειν κυρίως βόας. καταχρηστικῶς δὲ καὶ ἕτερα ζῶα. μέσαβρα δὲ λέγονται αἱ τοῦ ζυγοῦ γλυφαὶ ἔνθα οἱ αὐχένες τῶν ζώων δέδενται. ὁ δὲ λυκόφρων ἀργίᾳ σιχουρίας, ποῦ μὲν διπλασιάζει τὰ σύμφωνα, ποῦ δὲ ἀναιρεῖ τὰ διπλόας καὶ ἁπλῶς ἔχει παντοίως τὴν ἀλήθειαν συγχέει ἱστοριῶν ψευδέσι καὶ βαρβάρων περιφοραῖς καὶ τόπων καὶ λέξεων οἷς πᾶσι καὶ σκυτεὺς χρησάμενος οὐκ ἂν ἐξενάγη ἐς σιχουρίαν. μέσαβρα δὲ καὶ μεσσάβῳ διὰ δύο σσ. τις γράφων ἀγνοεῖ

μέσαβρα

κη

διαλέκτω λεξέτω τοῦτο. καὶ ὁ λυκόφρων χαλκιδεὺς ἤτοι
ἀττικός. πλαγαῖς λύσσης μηχανῶν. φασὶ γὰρ ὅτι ὁ ὀ-
δυσσεὺς ἡνίκα οἱ ἕλληνες ἠνάγκαζον αὐτὸν ἐπὶ τροίαν
στρατεύεσθαι προσεποιήσατο μαίνεσθαι καὶ ζεύξας ὄνον — Astutia Vlyxis
καὶ βοῦν ἠροτρία, παλαμήδης δὲ αὐτὸν ἐξήλεγξεν ἕλλησιν
τηλέμαχον γὰρ τὸν ὀδυσσέως υἱὸν λαβὼν τέθεικε πρὸ
τοῦ ἀρότρου. ὀδυσσεὺς δὲ φοβηθεὶς μὴ πλήξῃ τὸν παῖ-
δα τῷ ἀρότρῳ, ἐπέσχε καὶ ἐγνώσθη τοῖς ἕλλησιν ὅτι πλαστῶς
ἐμαίνετο. ἀλλ᾽ ὡς τὴν ὀδυσσέως πᾶσαν ὑπόθεσιν
προϋπεσχέθην κεφαλαιωδῶς λεκτέον καὶ μετὰ ταῦτα
τῶν καθεξῆς ἁψόμεθα. μετὰ τὴν ἰλίου πόρθησιν — Vlyxis historia
ὀδυσσεὺς ἐξωσθεὶς ἀνέμοις καταίρει καὶ τὴν πόλιν αὐ-
τῶν ἴσμαρον πορθεῖ τὴν νῦν λεγομένην μαρώνειαν, καὶ ἔ-
μελλον ἀποπλεῖν, οἱ δὲ φίλοι αὐτῶν οὐχ εἵποντο αὐτοῖς.
τῇ δὲ ἐπαύριον ἠπειρῶται κίκονες πανουδὶ ἀθροι- — κίκονες
σθέντες πανημερίως ἐμάχοντο. περὶ δὲ ἑσπέραν οἱ ὀδυ-
σσέως ἡττῶνται ἀποβαλόντες ἄνδρας οβ᾽ ἤτοι ἀ-
φ᾽ ἑκάστης νηὸς ἄνδρας ἕξ· δώδεκα γὰρ εἶχεν ναῦς ὀδυσσεύ-
ς. οὕτω γὰρ ἡττηθέντες ἀκηδιῶντες ἀπέπλει. ἀνέμοις
δὲ συσχεθέντες δεινοῖς καὶ μόλις ἐξελθόντες εἰς τὴν δύο
ἡμέρας ὅλας ἔκειντο ἐν τῇ γῇ, τῇ τρίτῃ δὲ ἡμέρᾳ πλεῖν
ἀπαρξάμενοι μικροῦ δεῖν ἀβλαβεῖς ἵκοντο εἰς τὰς πα-
τρίδας. ἀπὸ δὲ μαλείου ἀκρωτηρίου πελοποννήσου
ἐξωσθέντες ἐννέα νυχθήμερα, δεινοῖς ἀνέμοις ἐφέ-
ροντο. τῇ δεκάτῃ δὲ ἡμέρᾳ, τῇ γῇ τῶν λωτοφάγων, — λωτοφάγοι ἤτοι καμαριναῖοι
ἤτοι τῶν καμαριναίων προσέπλευσαν. ὑδρευσά-
μενοι δὲ δειπνοῦσι περὶ τὰς ναῦς. εἶτα ἔπε-
μψαν τρεῖς ἰδεῖν τὴν χώραν οἱ γευσάμενοι τοῦ λωτοῦ
ὑποστρέφειν οὐκ ἤθελον, δήσας δὲ ὁ ὀδυσσεὺς αὐτοὺς — f. δήσας
ἀπέπλευσε καὶ ἦλθον νυκτὸς οὐκ εἰδότες εἰς νῆσον μι-
κρὰν ἔρημον αἶγας δὲ ἀγρίας πολλὰς ἔχουσαν — f. μικρὰν ut postea

ὧν τῇ ἐπαύριον ἑκατὸν εἴκοσι ὀκτὼ θηρεύσαντες αἶγας ἠσθίοντο
πανημερίως. ἐπειδὴ δ' ἑσπέραν συνέβαλεν ἐπὶ τῇ γῇ τῶν
κυκλώπων καὶ φωνῆς ἀμυδρᾶς ἤκουον. τῇ ἐπαύριον
δὲ τῆς ια. ὀδυσσεὺς αὐτοῦ καταλιπὼν ἐν τῇ μικρᾷ
νήσῳ τῇ ἑαυτοῦ μόνῃ ἀποπλεῖ πρὸς τὴν γῆν τῶν κυ-
κλώπων κατὰ πλησίον χρησάμενος καὶ περί τινα πεζῶδη

τοῦ κύκλωπος μῦθος

καὶ ἀπόκρυφον αἰγιαλὸν καὶ ταύτην ἀποκρύπτει τὴν ναῦν
σὺν τοῖς λοιποῖς ἑταίροις· αὐτὸς δὲ δώδεκα μόνους
λαβὼν τῶν ἑταίρων καὶ οἴνου μεθυστικοῦ ἀσκὸν καὶ βρώ-
ματα, εἰσῆλθε πρὸς τὸ τοῦ κύκλωπος σπήλαιον· ἐκείνου γὰρ
περὶ νομὴν τῶν προβάτων ἀσχολουμένου, ἱκετευόντων δὲ
τῶν φίλων φαγεῖν τυροῦ καὶ γάλακτος καὶ προβάτων λαβεῖν
καὶ ὑποχωρῆσαι οὐκ ἤθελεν ἕως ὁ κύκλωψ περὶ ἑσπέ-
ραν ἐλθὼν αὐτοὺς ἐν τῷ σπηλαίῳ κατεῖχεν καὶ ἠρώτησε
ποῦ τε ἡ ναῦς αὐτοῦ ἐστὶ καὶ ὅπως αὐτὸς καλεῖται. ὁ δὲ
~~δύο λαβὼν τῶν ὀδυσσέως ἑταίρων κατέφαγεν~~ αὐτὸν μὲν
ἀπατᾷ τὴν ναῦν μὲν εἰπὼν ὑπὸ τοῦ κλύδωνος λυθῆναι

οὖτις ὀδυσσεύς

αὐτὸν δὲ οὖτιν καλεῖσθαι. ὁ δὲ δύο λαβὼν τοῦ ὀδυσσέως ἑ-
ταίρων κατέφαγεν. εἶτα ὁμοίως καὶ τῇ ἐπαύριον δύο φαγὼν
καὶ τοὺς λοιποὺς κλείσας ἐξήλαυνε τὴν ἀγέλην ἐπὶ νομήν.
οἱ δὲ περὶ τὸν ὀδυσσέα ἀποξύσαντες ξύλον ἐπεξεσμένον
ἐπὶ πυρκαϊὰν ἔθεντο ὥστε ξηρανθῆναι καὶ στερεωθῆναι καὶ
συνέθεντο τούτῳ τυφλῶσαι αὐτόν, ὃ καὶ ἐποίησαν. ἐλθ-
όντος γὰρ αὐτοῦ περὶ ἑσπέραν καὶ εἰσελάσαντος εἰς τὸ σπή-
λαιον πάντα τὰ ποίμνια καὶ πάλιν δύο τούτων φαγό-
ντος κιρνῶσιν αὐτῷ οἶνον καὶ μεθύσαντες αὐτὸν τυφλοῦ-
σιν. τοῦ δὲ βοῶντος προσῆλθον πάντες οἱ κύκλωπες· ἀ-
κούσαντες δὲ αὐτοῦ βοῶντος οὖτις με ἐτύφλωσε μεμη-
νέναι αὐτὸν δοκήσαντες ὑπεχώρησαν. ὁ δὲ τῇ πρωΐᾳ
τὰ ποίμνια ἐκβάλλει περὶ τὴν θύραν τοῦ ποιμνίου καθε-
σθεὶς ὅπως ὕστερον κλείσας τὸ σπήλαιον καὶ ἔνδον αὐτοὺς

ἀνῄει. οἱ δὲ προσδεθέντες ὑποκάτω τῶν προβάτων καὶ αὐ- ⁝
τῶν πολλὰ ἐμβαλόντες τῷ πλοίῳ ἀπέπλεον, βοησάν-
των δὲ ὁ κύκλωψ ἀκηκοὼς λίθον λαβὼν εἰς τὴν θάλα-
σσαν ἔρριψεν. ἔστρεψε δὲ αὐτῶν τὴν ναῦν ἀπὸ τοῦ
κλύδωνος εἰς τὴν γῆν. ὡς δὲ πάλιν ἀποπλέοντες ἐβό-
ων, ηὔξατο τῷ ποσειδῶνι μὴ ἀπελθεῖν αὐτοὺς εἰς τὰς πα- :
τρίδας καὶ πάλιν ὅμοιον λίθον λαβὼν ἤνεγκεν αὐτοὺς εἰς
τὴν γῆν. ἔπειτα λοιπὸν ἀποπλεύσαντες ἦλθον εἰς τὴν μι-
κρὰν νῆσον ὅπου καὶ αἱ λοιπαὶ νῆες αὐτῶν. εὗρον δὲ τοὺς
ἑταίρους καὶ τοὺς λοιπ(οὺς) συναχθέντες κοιμῶνται. τῇ ἐπαύ-
ριον δὲ κώπαις πλέοντες ἦλθον εἰς αἰόλους καὶ διατρίψ- :
αντες ἐκεῖ μῆνα, λαβόντος ὀδυσσέως παρ' αἰόλου τὸν τῶν
ἀνέμων ἀσκὸν ἀπέπλει ζεφύρῳ. θ. νύκτας καὶ ἡμέρας
πλέοντες, τῇ δὲ δεκάτῃ τὴν ἰθάκην καὶ ἀνθρώπους καὶ
πῦρ καὶ καπνὸν ἔβλεπον, κεκμηκότος δὲ τοῦ ὀδυσσέως
καὶ καθευδήσαντος λύουσι τὸν ἀσκὸν νομίσαντες χρή-
ματα ἔχειν, καὶ ἐκχυθέντων τῶν ἀνέμων ἁρπάξας αὐ- :
τοὺς ὁ κλύδων πάλιν στρέφει πρὸς αἰόλον. αἴολος
δὲ αὐτοὺς ἱκετεύοντας ἀποπέμπει ὡς θεοῖς ἐχθρούς. οἱ
δὲ ἐρεσίᾳ ἓξ ἡμέρας πλέοντες τῇ ἑβδόμῃ περὶ λαιστρυγονίαν
ἦλθον. καὶ ἐπελθόντες δὲ οἱ λαιστρυγόνες κατέαξαν τὰς ια.
ναῦς αὐτῶν πέτραις σὺν τοῖς λαοῖς πᾶσι. μόνος δὲ ὁ
ὀδυσσεὺς ἀποκόψας τῆς ἑαυτοῦ νηὸς τὰ πρυμνήσια ἔφ- ⁚
υγεν. κώπαις δὲ πλέοντες ἦλθον εἰς τὴν αἰαίην νῆσον
ἥτις ἐθηροποίει τοὺς ἀνθρώπους καὶ ἡμέρας δύο ὅλας
ἐπὶ τῆς γῆς ἔκειντο θρηνοῦντες, τῇ δὲ τρίτῃ ἡμέρᾳ διαι-
ρεθέντες εἰς δύο μέρη, ἔστησαν ἐν μὲν τῷ ἑνὶ μέρει εὐ- :
ρύλοχον καὶ. κβ. ἑταίρους ἐν δὲ τῷ ἑτέρῳ μετὰ ὀδυσσέα
καὶ ἑτέρους. κβ. καὶ κληρωθέντες ἔπεσεν ὁ κλῆρος ἀπὶ
εὐρύπυλον ὥστε ἀνελθεῖν σὺν τοῖς μετ' αὐτοῦ ἐπὶ τὴν
κίρκην, ἀνελθὼν δὲ σὺν ἐκείνοις ἴδεν ἔξωθεν τῆς αὐλῆς

ἐν

ὃς ὄρεσι λᾶας ἔβαλλεν. Theo.

:· γρ. βαλών

λαμβάνει ἀσκὸν τῶν ἀνέμων

λαιστρυγονία.

αἰαίη νῆσος τῆς κίρκης

τῆς Κίρκης λύκους καὶ λέοντας ἡμέρους σαίνοντας αὐ-
τοὺς τῇ οὐρᾷ. εἰσελθόντων δὲ τῶν φίλων αὐτοῦ ἔξω ὑπελεί-
φθη, ἐκείνους ἡ Κίρκη χοίρους ποιεῖ δοῦσα αὐτοῖς οἶνον
μεμιγμένον τυρῷ ἀλφίτοις καὶ μέλιτι. Εὐρύλοχος δ' ἦλ-
θε πρὸς Ὀδυσσέα καὶ τοὺς λοιποὺς ἀφωνίᾳ μὲν συνε-
χόμενος, ἐξ ὀφθαλμῶν δὲ ἀσχετὶ καταρρέων τὰ δάκρυα·
μόλις δὲ εἰς ἑαυτὸν γεγονὼς τὸ πᾶν ἀφηγεῖται, καὶ ὁ
Ὀδυσσεὺς αἰτεῖ αὐτὸν τὴν ὁδὸν ὑποδεῖξαι, ὡς δὲ οὐκ
ἐπείθετο μόνος ὁ Ὀδυσσεὺς τῆς πορείας ἀπάρχεται. Ἑρμῆς
δὲ αὐτῷ συναντήσας τὰ τῆς Κίρκης πάντα κατέλεξε
μῶλυ — καὶ δίδωσιν αὐτῷ τὸ μῶλυ, ὅπερ ἐστὶ βοτάνη ἀντιπα-
θοῦσα μαγείαις· καὶ οὕτω πρὸς τὴν Κίρκην ἐλθὼν οὐ μό-
νον οὐκ ἐθηριοποιήθη, ἀλλὰ καὶ τὸ ξίφος ἐπ' αὐτὴν ἑλκύ-
σας ἔπεισε καὶ τοὺς φίλους αὐτοῦ πάλιν ἐκ χοίρων ἀν-
θρώπους ποιῆσαι. κατελθὼν δὲ ὁ Ὀδυσσεὺς ἀνήγαγε
καὶ τοὺς ἑτέρους φίλους αὐτοῦ τοὺς μετ' Εὐρυλόχου, καὶ χρό-
νον περὶ τὴν Κίρκην διέτριψαν συγκαθεύδοντος τοῦ Ὀδυσ-
σέως τῇ Κίρκῃ. μετὰ δὲ τὸ μέλλειν αὐτοὺς ἀποπλεῖν
εἶπεν αὐτοῖς μὴ ἄλλως εἶναι αὐτοῖς ἐμφανῆ ἀπελθεῖν εἰ
μὴ κατέλθωσιν εἰς ᾅδην καὶ χρήσωνται μαντείᾳ ἐκ τῆς τοῦ
Τειρεσίου ψυχῆς. καὶ δι' ὅλης ἡμέρας πλέοντες κατῆλθον
διὰ τοῦ ἑσπερίου καὶ κιμμερίου ὠκεανοῦ, καὶ πυλοῦσι
βόθρον ὀρύξαντες καὶ σφάξαντες κριὸν καὶ οἶν θήλειαν ἐξε-
χέαντο αἷμα εἰς τὸν βόθρον καὶ ἔθυσαν χοὰς πᾶσι τοῖς θε-
οῖς· καὶ ἦλθον αἱ ψυχαὶ πιεῖν αἷμα. Ὀδυσσεὺς δὲ κα-
τέχων ξίφος οὐκ εἴα πιεῖν πρὶν ἂν αὐτῷ καταλέξαν
ἅπερ ἐβούλοντο, καὶ πρώτη μὲν ἡ Ἐλπήνορος ἦλθε ψυ-
χή, ὃς ἐν τῇ τῆς Κίρκης οἰκίᾳ ἔτι ἄθαπτος ἔκειτο. δεύ-
τερα δὲ ἡ Ἀντίκλεια τῆς μητρὸς Ὀδυσσέως, εἶτα Τειρεσίου,
ἣ πάντα τὰ μέλλοντα αὐτὸν καταλήψεσθαι ἐμαντεύ-
σατο. μετὰ ταῦτα πάντες οἱ ἥρωες ἦλθον καὶ αἱ τῶν

ἡρώων γυναῖκες, λέγουσαι αὐτῷ ἣ μία ἑκάστη τίς εἴη καὶ ὅσα
ἐπεπόνθει, εἶτα φοβηθέντες μὴ ἡ γοργὼ ἐξέλθῃ ἐμβάντες
πάλιν εἰς τὴν ἰδίαν ναῦν ὡς πρὸς τὴν κίρκην νῆσον πρὸ
αὐτὴν ἐπιμένειν ἀπέπλευσαν, καὶ θάψαντες τὸν ἐλπήνορα, καὶ
παρὰ τῆς κίρκης τὰ χρειώδη λαβόντες καὶ τοῦ ὀδυσσέως
μαθόντος παρ' αὐτῆς ὅσα παρὰ τειρεσίου καὶ τὰς σειρῆνας
καὶ τὰς πλαγκτὰς. τὴν σκύλλαν. τὴν χάρυβδιν. τὰς βό
ας ἡλίου καὶ ~~[illegible]~~ ζῶντες ἅπαξ ἔπλεον. κηρῷ τῶν
ὀδυσσεὺς βύσας τὰ ὦτα τῶν ἑταίρων παρεκάλει αὐ
τοὺς ἐπὶ τοῦ ἱστοῦ ἐκκρεμὴς ὢν καὶ ἀναπέταλυπτα ἔχων
τὰ ὦτα. παρελάσαντες γοῦν τὸν λιμένα τῶν σειρήνων
καὶ τὰ μέλη ἐκείνων ὑφ' ὧν θελγόμενοι ἀπέθνησκον οἱ
ἀκούοντες λύουσι τὸν ὀδυσσέα τοῦ ἱστοῦ. ἔπειτα πα
ραπαπλεύσαντες τὰς πλαγκτὰς πέτρας αἳ πρὸς ἀλλή
λας συνεκρότουν καὶ φοβερὸν ἀπετέλουν κτύπον. αὗ
ται δὲ κυάνεαι λέγονται, κεῖνται δὲ μεταξὺ κιλικίας καὶ
~~[illegible]~~ παμφυλίας ἠθόμενοι καί τινας ἑταίρους, ἦλθε διὰ
χαρύβδεως καὶ σκύλλης πλησίον μᾶλλον τῆς σκύλλης
ἁρπαγέντων παρὰ τῆς σκύλλης ἐκ τῶν τῆς νεὼς ἀν
δρῶν ἕξ οἱ λοιποὶ συντονωτέρως τῇ ἐρεσίᾳ χρησάμενοι
ἔφυγον. ἐπεὶ δὲ νύκτα, τῇ ἡλίου νήσῳ θρινακίᾳ προσ
πελάζουσι καὶ ὀδυσσεὺς παραινῶν αὐτοὺς ἐκώλυεν, οἱ
δὲ μὴ πεισθέντες ἐξῆλθον καὶ πρῶτα μὲν θηρεύσει καὶ ἁλιευ
σείᾳ διέζων, ὡς δὲ νότος πρὸς μῆνα ὅλον ἔπνει ἀνελ
θόντος ὀδυσσέως εἰς τὸ ἐνδότερον τῆς νήσου εὔξασθαι καὶ κα
τακοιμηθέντος, σφάζουσιν οἱ μετ' εὐρυλόχου βόας ἡλίου
καὶ ἐσθίουσιν ἐπὶ ἓξ ὅλαις ἡμέραις, τῇ ἑβδόμῃ δὲ παυ
σαμένου τοῦ δεινοῦ ἀνέμου ἐμβάντες ὡς ἔπλευσαν, ζε
φύρῳ πρῶτα μεγάλῳ συνθραύονται, εἶτα κεραυνοῦνται.
ὀδυσσεὺς δὲ μόνον τὴν τρόπιν κατέχων ὅλον νυκτίως ἐ
φέρετο. ἀνατέλλοντος δὲ τοῦ ἡλίου μόνος φερόμενος ἦλ
θεν

σειρῆνες
γρ. ἀναπέταλ
πλα

κυάνεαι πέ
τραι
γρ. συνθλι ἢ πλαγ
κτα

σκύλλα
χάρυβδις

ἡλίου νῆσος

in hac tradi tione pa rum mi hi pro batur ze zes si duodeni tumere ri & getia polloiij legamij

ἐπὶ τὴν χάρυβδιν καὶ δραξάμενος περὶ τόπους ἐχίνης ἐξω-
σης συκῆς ἀπεκρέματο περὶ αὐτήν, τὰ δὲ ξύλα κατέ-
δυ πρὸς τὸν βυθόν, ἀναδύντων δὲ ὀψὲ αὐτῶν καθεὶς ἑ-
αυτὸν ἀπὸ τῆς συκῆς ἐπελάβετο τῶν ξύλων καὶ ἐννέα μὲν
οὕτως ἡμέρας ἐνήχετο· τῇ δεκάτῃ δὲ περὶ τὴν ὠγυγίαν

ὠγυγία νῆσος καλυψοῦς

νῆσον ἦλθε τῆς καλυψοῦς καὶ ἑπτὰ χρόνους ἐκεῖ διηγε.
τῷ ὀγδόῳ ἀπελύθη μετὰ σχεδίας διὸς ὁρισθέντος τῇ κα-
λυψοῖ, καὶ οὕτω μετὰ σχεδίας ὀδυσσεύς. ιζ. ἡμέρας ἔπλ-
ευσε τῇ ὀκτωκαιδεκάτῃ δὲ τὴν φαιακίαν ἤτοι τὴν κέρκυ-

φαιακία ἤτοι κέρκυρα

ραν εἶδεν, ἀνέμων δὲ γενομένων ὀργῇ ποσειδῶνος κα-
τεάχθη, δύο δὲ ὅλας ἡμέρας ἐνήχετο, τῇ τρίτῃ δὲ ἡ
λευκοθέα ἐλεήσασα αὐτὸν δέδωκε τὸ κρήδεμνον αὐτῆς
μεθ᾽ οὗ ἐξῆλθεν εἰς γῆν φαιάκων καὶ καταπεσὼν ἐν ὕλῃ
ἐκάθευδε. τῆς δὲ ἀλκινόου θυγατρὸς ναυσικάας μετὰ
τῶν θεραπαινίδων αὐτῆς ἐλθούσης πλῦναι καὶ τερφθῆναι
παιγνίοις καὶ ἀφελκυσθουσῶν πρὸς ἀλλήλας βοῆς γενομένης
ἐγείρεται ὀδυσσεὺς καὶ ἱκετεύει αὐτήν, ἡ δὲ τροφὴν καὶ εἷμα
δοῦσα κελεύει τοῦτον ἐλθεῖν πρὸς τὸν οἶκον τοῦ ταύτης πα-
τρὸς καὶ τὴν αὐτῆς ἱκετεῦσαι μητέρα ἀρήτην ὡς ἂν τύχῃ οὗ-
περ καὶ βούλοιτο. ἐκεῖνος δὲ ἐλθὼν ἐρωτηματικῶς περὶ
ἀλκινόου καὶ ἀρήτης τὴν πᾶσαν ἣν ἔφημεν διηγεῖται ὑ-
πόθεσιν, καὶ δῶρα παρ᾽ αὐτῶν μυρία λαβὼν εἰς τὴν ἰθά-
κην πέμπεται. ἑσπέρα μὲν ἐπιβὰς νεὼς ἐκ τῆς φαι-
ακίας. περὶ δὲ ἑωσφόρον ἐφθακὼς ἐκεῖ καὶ ἀφελθὼν
ὡς πένης περὶ τὸν εὔμαιον τὸν συβώτην ἦλθε καὶ τοὺς
μνηστῆρας. καὶ πολλὰ παρὰ πολλῶν παροινηθεὶς γνω-
ρίζει ἑαυτὸν τοῖς οἰκέταις καὶ σὺν αὐτοῖς ἀνελὼν τοὺς
μνηστῆρας ἀναγνωρίζεται καὶ τῇ ἑαυτοῦ γυναικί. καὶ συγ-
καθευδήσας αὐτῇ πάντα κατὰ λεπτὸν διηγήσατο. τῇ
ἐπαύριον δὲ πρωίας ἔξεισιν εἰς τὸν ἀγρόν. οἱ δὲ τῶν μν- [illegible]
ηστήρων συγγενεῖς μαθόντες τὸ γεγονὸς πρῶτον μὲν

εἰς τὴν ὀδυσσέως οἰκίαν ἐλθόντες θάπτουσι καὶ τοὺς νεκρούς· ἔπειτα δὲ ὁπλισθέντες ἐξέρχονται καὶ αὐτοὶ πρὸς τὸν ἀγρὸν ὀδυσσεῖ πολεμοῦντες· ἀθηνᾶς δὲ βουλῇ φιλιοῦνται καὶ τὸ νεῖκος καταπαύουσι. ὀδυσσεὺς δὲ εἰς εὐρυτᾶνας ἔθνος ἠπείρου κατὰ χρησμὸν ἐλθὼν θύει, τὰ νενομισμένα καὶ γηραιὸς ἀλθὼν ὑπογραφῆς κτείνεται πρὸς τηλεγόνου τοῦ ἐκ κίρκης αὐτῷ γεννηθέντος υἱοῦ· καὶ ταῦτα κατὰ τὸν ὀδυσσέα οὕτως ἔχουσιν. ./.  εὐρυτᾶνες

ὁ δ' αἰνόλεκτρον ἁρπαγεῖσαν εὐνέτης
πλάτιν ματεύων κληδόνων πεπλασμένος
ποθῶν δὲ φάσμα πτηνὸν εἰς αἴθραν φυγόν
ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς
ποίαν δὲ χέρσον οὐκ ἀνιχνεύσει μολών

ὁ δ' αἰνόλεκτρον· ὁ δὲ μενέλαος ὁ εὐνέτης, ἤγουν ἀνὴρ· ματεύων, ἤγουν ψηλαφῶν τὴν ἁρπαγεῖσαν αἰνόλεκτρον πλάτιν, ἤγουν γυναῖκα, παρὰ τὸ πελάζειν καὶ μίγνυσθαι· λέγει δὲ τὴν ἑλένην. ματεύων καὶ αὐτὸς πῶς; ἀπὸ κληδόνων, ἤγουν φημῶν πεπνυσμένος, ἤγουν μαθών. ποθῶν δὲ τὸ φάσμα τὸ πτηνόν, ἤγουν τὸ φανὲν εἰς αἴθραν, ἤγουν εἰς τὸν αἰθέρα, ποίους θαλάσσης μυχοὺς οὐκ ἐρευνήσει, ἁρπαγεῖσαν. γινώσκεις ὅτι ἀνηρπάγη ὑπὸ θησέως καὶ ἀλεξάνδρου. ποθῶν δὲ φάσμα πτηνόν· τινὲς δέ φασιν ἐνταῦθα περὶ τοῦ εἰδώλου τῆς ἑλένης τοῦ δοθέντος παρὰ πρωτέως τῷ ἀλεξάνδρῳ ἀνθ' ἑλένης αὐτῆς, ἐγὼ δέ φημι οὐ καλῶς αὐτοὺς λέγειν, οὐ γὰρ τὸ εἴδωλον τὸ παρὰ πρωτέως δοθὲν πέφευγεν εἰς τὸν αἰθέρα· ἀλλὰ περὶ τούτου φησὶ τοῦ συμβάντος ὕστερον τῇ ἑλένῃ ὡς εὐριπίδης ἐν ὀρέστῃ διδάσκει. μέλλουσαν γὰρ αὐτὴν σφαγιασθῆναι ὑπὸ πυλάδου καὶ ὀρέστου ἁρπάξας αὐτὴν ἀπόλλ  πλάτη

ἀνάγει παρὰ τῷ διῒ καὶ φαίνεται καὶ μενέλαος ὁ τόδε καὶ τόδε ποιῶν, ποθῶν δὴ· ὕστερον δὲ τὸ εἴδωλον τῆς ἑλένης τὸ ἀναχθὲν εἰς τὸν οὐρανὸν ὑπὸ ἀπόλλωνος ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς. καὶ ἐν τούτῳ δὲ λυκόφρων ἀσάφειαν ἐργάζεται τὰ ὕστερα τοῖς πρώτοις μιγνύς, τὰ πρῶτα τοῖς ὑστέροις

*Contra lycophronem*

ἐπόψεται μὲν πρῶτα τυφῶνος σκοπάς,
καὶ τὸν ἔμπετρον γραίας μεμορφωμένης δέμας
καὶ τὰς ἐρεμβῶν ναυβάταις ἠχημένας
προβλῆτας ἀκτάς, ὄψεται δὲ τλήμονος
μύρρας ἐρυμνὸν ἄστυ, τῆς μογοστόκους
ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος
καὶ τὸν θεᾷ κλαυσθέντα γαύαντος τάφου
χοιράδι μουσοφθάρτου ἄρδοντα ξένην
κραντῆρι λευκῷ τὸν ποτ' ἔκτανε ~~[illegible]~~ στέλας

*Anus in lapidem uersa a Venere*

ἐπόψεται μὲν πρῶτα τυφῶνος σκοπάς· θεάσεται τὰ ἄριστα ὄρη τῆς σικελίας ὅπου πίνδαρος καὶ ὅμηρος φασὶν εἶναι τὸν τυφῶνα, ὅμηρος φησὶν οὕτως· εἰν ἀρίμοις ὅθι φασὶ τυφῶνος ἔμμεναι εὐνάς. Καὶ τὸν ἔμπετρον γραίας· τὸν [illegible] γραίας τὴν ἀπολιθωθεῖσαν· ἀπὸ δὲ μέρους τὸ περιεχόμενον τὴν κύπρον ἐσήμανε. φέρεται ἱστορία, ὅτι ἀφροδίτη ὀργισθεῖσα τοῖς θεοῖς ὑπεχώρησε περὶ τὴν κύπρον, καὶ ἐκεῖ διέτριβεν· οἱ δὲ θεοὶ ἐρευνῶντες ἐκεῖ αὐτὴν ηὗρον γραός αὐτὴν ὑποδειξάσης· ἣν ἀφροδίτη ὀργισθεῖσα ἐμαρμάρωσεν, καὶ μέχρι τοῦ νῦν ἡ στήλη αὐτῆς ἵσταται ἐκεῖ. Καὶ τὰς ἐρεμβῶν· ἑλλάνικος φησὶ τοὺς ἐρεμβοὺς περὶ τὰς νείλου ὄχθας οἰκεῖν, γένος δὲ ἀράβων εἰσὶν οἱ ἐρεμβοὶ οἱ καὶ τρωγλοδύται καὶ ἰχθυοφάγοι καλούμενοι, ὧν τὸν βίον διόδωρος γράφει. ἐρεμβοὶ δὲ λέγονται ὅτι εἰς τὴν ἔραν ἤτοι τὴν γῆν βαίνουσιν· ὑπὸ γὰρ τὴν γῆν καὶ τρώγλας οἰκοῦσιν

*ἐρεμβοὶ οἱ καὶ τρωγλοδύται καὶ ἰχθυοφάγοι*

σιν

μύρρας ἐρυμνὸν ἄστυ τὴν βύβλον λέγει ἥ τίς ἐστι πόλις ~~τῆς~~
τῆς φοινίκης. μύρρα δὲ θείαντος θυγάτηρ ἐγένετο. αὕ-
τη ἐρασθεῖσα τοῦ πατρὸς καὶ λάθρα μιγεῖσα αὐτῷ καὶ
ἔγκυος γενομένη αἰσθομένου τούτου τοῦ πατρὸς ηὔξατο
τοῖς θεοῖς εἰς ἑτέραν φύσιν μεταμεῖψαι, ὅθεν καὶ εἰς δέν-
δρον αὐτὴν μετέβαλον τὸ ἀπ' αὐτῆς λεγόμενον μύρραν ἤτοι
σμύρναν αἰολικῶς, μὴ γὰρ ὡς οἱ μωροὶ καὶ σὺ τὴν μύ-
ρραν μυρσίνην ἤτοι μυρσίνην νοήσῃς. Οὕτω δὲ μετα-
βληθείσης αὐτῆς εἰς μύρραν ἐφεστῶτος τοῦ χρόνου τοῦ
τοκετοῦ διαρραγέντος τοῦ φλοιοῦ ἀπεκύησε τὸν ἄδω-
νιν ὃν ἰδοῦσα ἡ ἀφροδίτη ἐφίλησε καὶ ἀνδρωθέντος ἐ-
ραστὴν ἔσχηκε. Γαύαντος ὁ ἄδωνις γαύας παρὰ
κυπρίοις καλεῖται. ἄδωνις ὁ κύπριος κατά τινας
κινύρου παῖς ἦν τοῦ κυπρίων βασιλέως καὶ οὐ θείαντος
ἐξ οὗ ἀφροδίτη γεννᾷ πρίαπον δυσειδῆ(?) καὶ βαθυαίδοιον
ἡ γὰρ ἥρα ἐγκύου οὔσης αὐτῆς μεμαγευμένην χεῖρα ἐπαγα-
μένη τοῦτον ἐποίησε γεννῆσαι καὶ τὸν θεῖον κλαυθέντα,
αἱ μοῦσαι τῇ πρὸς ἀφροδίτην ὀργῇ φερόμεναι ὅτι πο-
λλὰς αὐτῶν ἐποίησε ἀνδράσι μιγῆναι καὶ τεκεῖν οἷον κα-
λλιόπην ἐξ οἰάγρου τεκεῖν ὀρφέα, καὶ κυμόθωνα, τερψι-
χόρην ἐκ στρυμόνος ῥῆσον, κλειὼ δὲ ἐκ μάγνητος λίνον,
μῖσος κινῆσαι ἦσαν τερπνὸν καὶ τὸν ἐραστὴν ἀφροδίτης ἄ-
δωνιν ἀεὶ κινῆσαι ὥρμησαν, ἄρης δὲ ὁ θεὸς ἀντεραστὴς
ὢν ἀφροδίτης εἴτε μεταμορφώσας ἑαυτὸν πρὸς χοίρου
μορφὴν εἴτε πρὸς χοῖρον ὁρμήσαντα τὸν ἄδωνιν αὐτὸς ἐναν-
τίως ἐλθὼν αὐτὸν ἀναιρεῖ, καὶ τὸ μὲν ἀδώνιδος αἷμα, κα-
ταρρεῦσαν τὴν ἀνεμώνην λευκὴν οὖσαν πρότερον ἐρυ-
θρὰν ἀπειργάσατο, περὶ γὰρ ἀνεμώνην πεσεῖν τὸν ἄδωνιν
ἔτυχεν, ἀφροδίτη δὲ τὸ πάθος μαθοῦσα γυμνοῖς παρα-
τρέχουσα τοῖς ποσὶν ἐλεεινὸν ὠλοφύρετο, ἀκάνθαις δὲ
αὐτὴ ῥοδωνιᾶς ἐμπαγεῖσα τῷ καταρρεύσαντι αἵματι.

Myrrhe histo-
ria

Smyrna

ἄδωνις

ἄδωνις υἱὸς
κινύρου

πελάγιος(?) βα-
θυαίδοιος

ὀρφεὺς
κυμόθων
ῥῆσος
λίνος

ἀνεμώνη ἐρυ-
θρά

ῥόδον ἐρυθρόν

χοῖνις
ἀρέντα
ξένη

τὸ ῥόδον ἐρυθρὸν ἀπειργάσατο. ./. χοῖνις, ἀρέντα, καὶ ξένη ἀφροδίτης ἐπίθετα, ὅτι ἡ χοῖνος βοτάνη μασωμένη τοὺς ὀδόντας μὲν καθαίρει κινεῖ δὲ πρὸς τὰ ἀφροδίσια. ἀρέντα δὲ ~~λέγ~~ λέγεται ὅτι δύο ξένους ἁρμόττει πρὸς μίαν συνάφειαν γαμικήν. ξένη δὲ ὅτι φιλοποιεῖ. ἡ δὲ σύνταξις οὕτως, ἐπόψεται ὁ μενέλαος τόδε καὶ τόδε καὶ τὸν τάφον τοῦ γαύαντος τοῦ μυοσφθάρτου περιφραστικῶς τὸν ἄδωνιν τὸν κλαυσθέντα καὶ γεννηθέντα τῇ ἀφροδίτῃ τῇ ποιάδε καὶ τοιάδε, ὅντινα ποτὲ ἄδωνιν ἔκτεινεν ὁ πέλας ἤτοι ὁ κάπρος ἐν κρατῆρι. ἤτοι ὀδόντι λευκῷ. ἐκ τοῦ [illegible] δὲ ὅτι ὄψεται τάφον ἀδώνιδος ἤτοι τὸν ἄδωνιν τὸν τόπον λέγει ἔνθα κεῖται ὁ ἄδωνις, καὶ ἐν τῇ κύπρῳ ἕτερος ἄδωνις ὁ κινύρου, ὅπερ ἀκριβῶς τινὲς οὐκ εἰδότες συγχέουσι τοὺς νέους τέως οἱ μὴ γινώσκοντες τὸν μύρρας ἄδωνιν βιβλίον εἶναι τὸν δ' οὖν ἕτερον κύπριον. νῆσον ἀδώνιδος τὴν κύπρον φασίν. ./.

ἐπόψεται δὲ τυρσίας κεφῖνδας
καὶ λαφρίου λάκτισμα, θερμαίου ποδός
λιονάς τε πέτρας κέμφος αἷς προσήλατο
δαιτὸς χατίζων, ἀντὶ θηλαστοῦ δέρην
τὸν χρυσόπατρον μόρφνον ἀρτάσας γνάθοις
τὸν ὑδατουργοῦ ἀρσενάφρυνος πέρι
πεφήσεται δὲ τοῦ θερισῆρος ξυρῷ
φάλαινα δυσμίσητος ἐξινωμένη
ἰσοβρότους ὠδῖνας ὀξάντου τόκων
τῆς δερμοτάλου μητροφόντιδος γαλῆς
ὃς ζωοπλαστῶν ἄνδρας ἐξ ἄκρου ποδός
ἀγαλματώσας ἀμφιγυιῶσαι πέτρων
λαμπτηροκλέπτης τριπλανοῦς ποδηγίαις

/ / / / / /

ἐπόψεται· θεάσεται δὲ τὴν αἰθιοπίαν, τυρσίας γὰρ κη-
φίδας τὰ τείχη καὶ τὰς πόλεις λέγει τοῦ κηφέως. ὁ δὲ κη-
φεὺς ὁ τῆς ἀνδρομέδας πατὴρ βασιλεὺς ἦν αἰθιόπων.
προσέχειν δὲ καὶ γράφειν κηφῶδας, οἱ μωροὶ λέγοντες
κηφῶδας τοὺς αἰθίοπας λέγεσθαι ἀλλὰ κηφίδας τύρσεις
ἀπὸ τοῦ κηφεὺς κηφέως κηφίδες ὡς χρυσονίδες. ὁ
ἡρόδοτος κηφῆνας καὶ ἀρταίους ἔθνη περσῶν εἶναι λέγει
οὐκ αἰθιόπων. καὶ λαφρίου· λάφριος ὁ φιλόξενος
λέγει δὲ τὸν ἑρμῆν. ἑρμῆς γὰρ φυλάττων ἐν αἰθιοπί-
ᾳ βουλῇ διὸς τὴν ἰνὼ ἵνα μὴ ὑπὸ τῆς ἥρας βλαβῇ, δι-
ψήσας ἐλάκτισε τὴν γῆν καὶ ἀνέδωκεν ὕδωρ ὅθεν ἐκεῖ ὁ
τόπος πτέρνα ἑρμοῦ καλεῖται ὡς πηγάσου κρήνη καὶ
σκάμανδρος ποταμός. ἑρμαίου· οἱ μὲν πάντες
δίφθογγον τὸ μαι γράφουσιν ὡς ἔοικεν οὐκ εἰδότες δι-
αφοράν. ἐγὼ δὲ ἕρμαιον τὸ εὕρεμα, καὶ ἡ γενικὴ τοῦ
ἑρμαίου τοῦ εὑρεθέντος δίφθογγον γράφω, ἑρμέου
δὲ τοῦ ποδὸς τοῦ ἑρμοῦ ψιλὸν ὅτι ἐκθλίψει τοῦ
ι γέγονεν. δισσάς τε πέτρας· κηφέως τῶν αἰθιόπων
βασιλέως καὶ κασσιεπείας γίνεται παῖς ἀνδρομέδα. ἐρι-
ζούσης τῆς κασσιεπείας πρὸς κάλλος τῇ ἥρᾳ ἢ καθ᾽ ἑτέρους
ταῖς νηρηίσιν ὁ ποσειδῶν αὐτῶν παρακλήσει ἔπεμψε
τὸ κῆτος ὃ τὴν αἰθιοπίαν ἐλυμαίνετο. χρησμῷ γὰρ ὁ
κηφεὺς τὴν ἑαυτοῦ παῖδα τὴν ἀνδρομέδαν πρὸς βο-
ρὰν ἔδωκεν ἐκριφῆναι τῷ κήτει καὶ παρὰ πόλιν αἰθιό-
πων ἰόππην δεσμοῖς σιδηροῖς δεσμοῦσιν αὐτὴν περί
τινας πέτρας. περσεὺς δὲ καταπτάμενος ἀπὸ γοργόνων
εἰς τούσδε τοὺς τόπους διήρχετο καὶ τὴν ἀνδρομέδαν οἰκ-
τείρας δεικνύει τὴν κεφαλὴν τῆς γοργόνης τῷ κήτει καὶ αἷ-
μα ἐκχύσας τὸ λοχοδρέπανον ὁ μὲν μέρος κήτους ἐποί-
ησε λίθον ὁ δὲ ἀπέκοψε. καὶ τὴν κόρην ῥυσάμενος ἔγημε.
ὅτι γὰρ περὶ ἰόππην τὰ κατὰ ἀνδρομέδαν ἐγένοντο,

κηφεὺς ἀνδρομέδας πατήρ

κηφῆνες

πτέρνα ἑρμοῦ καλεῖται τόπος ἐν αἰθιοπίᾳ

Andromedę fabula

ριστόδης τε καὶ Ἐμβλυρὸς καὶ Λιβάνιος καὶ Προμηθεὺς καὶ Ἰώση-
πος καί τις ἄλλος αὐτῶν οὕτω λέγων. πόλις Ἰόπη τῆς
Ἀνδρομέδας τὸ δεσμωτήριον. Ἄλλος δέ τις ταύτην φησὶ
ὅτι ἐκ τὴν Ἰὼ τοῦ Ἄργου νικήσασα ἀνθρώπου γέγονεν.
Ὁ κέπφος ζῷον ἐστὶ θαλάσσιον πτερωτὸν ἀφρόν, νῦν δὲ κα-
ταχρηστικῶς κέπφος τὸ κῆτος λέγει. Τὸν χρυσόπατρον
τὸν Περσέα, ἡ δὲ ἱστορία τοιαύτη. Ἀκρισίου τοῦ
Ἀργείων βασιλέως καὶ Εὐρυδίκης τῆς Εὐρώπης θυγατρὸς
γίνεται θυγάτηρ Δανάη, ἣν Ἀκρίσιος ὁ πατὴρ σιδηροῦν
ποιήσας θάλαμον ἐνέκλεισεν ὅπως τούτῳ τῷ τρόπῳ
μένῃ παρθένος· ἐκ χρησμοῦ γὰρ ἠκηκόει ἀναιρεθῆ-
ναι ὑπὸ τοῦ ἐξ αὐτῆς γεγεννημένου. Ζεὺς δὲ ὡς λέγουσιν
εἰς χρυσὸν μεταστρέψας ἑαυτὸν διά τινος ὀπῆς ἐμίγη αὐ-
τῇ. ἡ δὲ ἐν γαστρὶ ἔχουσα τὸν Περσέα. ὅπερ γνοὺς
ὁ πατὴρ ταύτης ἀνέμεινε ταύτην τεκεῖν καὶ τεκοῦσαν
σὺν τῷ βρέφει ἐμβαλὼν λάρνακι ξυλίνῃ, εἰς τὴν
ποχθμώνην ἔρριψε θάλασσαν ἥτις περὶ Σέριφον
νῆσον ἐξηνέχθη μίαν οὖσαν τῶν Κυκλάδων, ἧς ἐβα-
σίλευσε Πολυδέκτης υἱὸς Ποσειδῶνος καὶ Κυρεμίας
ἀδελφὸν ἔχων Δίκτυν. ὃς Δίκτυς ὡς ἴδιον παῖδα τὸν
Περσέα ἐπαίδευσε καὶ τῆς Δανάης ἐπεμελεῖτο. ὁ
δὲ Πολυδέκτης ἐβιάζετο τὴν Δανάην, μὴ δυνάμενος δὲ
συγγενέσθαι αὐτῇ τοῦ Περσέως ἤδη πρὸς ἥβην ἐλαύ-
νοντος πλάττεται ὡς ἕδνον χρῄζειν ἔχειν πρὸς γάμον
Ἱπποδαμείας τῆς Οἰνομάου, καὶ ἄλλον ἀγείρει τὸν φίλ-
λων. Περσέα δὲ πέμπει ἐπὶ Γοργόνας ἐκτεμοῦσαι
τὴν Μέδουσαν καὶ τὴν κεφαλὴν αὐτῷ ἐνεγκεῖν ὅπως τῇ
Ἱπποδαμείᾳ δοίη. τοῦτο δὲ ἐπραγματεύετο ὅπως τοῦ
Περσέως ὑπὸ Γοργόνων ἀναιρεθέντος αὐτὸς ἀδεῶς τῇ
Δανάῃ συγγίνοιτο. ταῦτα δὲ λῆρος. Πολυδέκτης
γὰρ τρεῖς γενεὰς πρότερος ἦν Ἱπποδαμείας. τὸ δ' ἀληθὲς

ἔχε. γρ. χυθεὶς

Persei fabulosa historia.

οὕτως ἔχει. τέως μυθικώτερον, ἀλληγορικώτερον. ἐπὶ κατ' ἀρχ
ὅτι μὲν ἐβιάζετο πολυδέκτης δανάην ἤδη οἶδε καὶ περσεὺς
ἐστὶ δὲ ἡ μέδουσα θυγάτηρ οὖσα φόρκου τῇ ἀθηνᾷ
πρὸς κάλλος ἀντήριζεν. ἀθηνᾶ δὲ τὸν περσέα κατ' αὐ
τῆς ἔπεμψεν ὑπογράψασα καὶ ὑποδείξασα τούτῳ
ἐν ζωγραφίαις τὴν γοργόνην περὶ πόλιν τῆς σάμου
δεικτήριον κληθεῖσαν ἀπὸ τοῦ ὑποδειχθῆναι ταύτην αὐ
τῷ. ἐλθὼν δὲ παρὰ τὰς φορκίδας πρῶτον τήν τε πεφ
ρηδὼ καὶ τὴν ἐνυὼ τὰς ἐκ γενετῆς γραῦς ἀδελφὰς δὲ τῶν
γοργόνων ἔλαβε παρ' αὐτῶν τὸν ἕνα ὀφθαλμὸν αὐτῶν
καὶ τὸν ἕνα ὀδόντα, ὃν μόνον εἶχον κατ' ἀμοιβὴν καὶ οὐ πρό
τερον αὐταῖς ταῦτα ἔδωκεν ἕως ὑφηγήσαντο αὐτῷ τὰς νύ
μφας, καὶ λαβὼν τὰ πτερωτὰ τῶν νυμφῶν πέδιλα καὶ κί
~~ἀπ~~ κίβισιν ἤτοι πήραν καὶ κιβωτὸν καὶ τὴν κυνέαν
τοῦ ἅδου καὶ παρὰ ἑρμοῦ ἀδαμαντίνην ἅρπην ἔχων
παρὰ τῆς ἀθηνᾶς κάτοπτρον πετόμενος ἦλθεν ἐπὶ γορ
γόνας αὐτὰς ἐπὶ ὠκεανοῦ οὔσας περὶ πόλιν ἰβη
ρίας τὴν ταρτησσόν, αἵτινες δρακοντοφολίδας εἶχον
κεφαλάς, συῶν μεγάλους ὀδόντας, χεῖρας χαλκᾶς καὶ
πτέρυγας αἷς ἐπέτοντο. οὕτω γοῦν πετόμενος ἐπὰν
τὰς ἐλθὼν καὶ κοιμωμένας εὑρὼν κατατέμνει τὴν με
δουσαν ἐν τῷ κατόπτρῳ βλέπων οὐ πρὸς αὐτήν. ἢ
γὰρ ἀπελιθώθη ταύτην ἰδών. αἱ δὲ λοιπαὶ αὐτῆς ἀδελ
φαὶ θρῆνον μὲν ἔκλαιον ἐκ τῶν πολλῶν ὀφιωδῶν αὐ
τῶν κεφαλῶν ἐκπέμπουσαι συριγμόν, ἐξ ὧνπερ ἀ
θηνᾶ κατὰ σύνθεσιν τὸν αὐλητικὸν καλούμενον πο
λυκέφαλον εὗρε νόμον. περσεὺς δὲ τῇ πήρᾳ τὴν κε
φαλὴν θεὶς καὶ ἐπὶ νώτων φέρων αὐτὴν ἐπορεύετο. ἐλθὼν
δὲ πρὸς αἰθιοπίαν ὡς ἔφην τὴν ἀνδρομέδαν τοῦ
κήτους ἐρρύσατο, καὶ λαβὼν γυναῖκα, ἐξ αὐτῆς ἔσχε
παῖδα, τὸν πέρσην καὶ καταλιπὼν παρὰ κηφεῖ, τὸν

In samo picture nota pro Theo-

~~γρ~~ γραῦς. Hesi-
πεφρηδὼ
ἐνυώ

ἅδου κυνῆν
ἅρπη ἑρμοῦ

:. f. ἔκλαιεν

πέρσης υἱὸς
περσέως

καὶ ~~Φινέα~~ Κηφέως ἀδελφὸν Φινέα, προμνηστευσάμενον Ἀν-
δρομέδαν, καὶ αὐτοῦ ἐπιβουλεύοντα ἀπελίθωσε δείξας
τὴν Γοργόνα. αὐτὸς δὲ σὺν Ἀνδρομέδᾳ ἦλθεν εἰς Σέριφ(ον)·
εὑρὼν δὲ τὴν μητέρα μετὰ τοῦ Δίκτυος προσπεφευγυῖαν
ἀνθ' ὧν τῷ ναῷ διὰ Πολυδεύκτην, ἐλθὼν πρεὶ τὴν Γοργόνα
πάντας ἐλίθωσε· τὴν δὲ βασιλείαν Δίκτυι δίδωσι. τὰ
δὲ τῶν νυμφῶν πέδιλα καὶ τὴν ἄδου κυνῆν Ἑρμῆς παρ'
αὐτοῦ λαβὼν ταῖς ἰδίαις δεσπόταις παρέδωκε, τὴν



τὴν κεφαλὴν τῆς Γορ-
γόνος Περσεὺς τῇ Ἀ-
θηνᾷ παρέσχε

δὲ κεφαλὴν τῆς Γοργόνος Περσεὺς παρέσχε τῇ Ἀθηνᾷ,
ἡ δὲ πρὸς μέσον τῆς ἰδίας ἀσπίδος ταύτην ἐνέπηξεν,
ἄλλοι δέ φασιν ἐπὶ τοῦ κόσμου οὗ περὶ τὸ στῆθος εἶχε
ταύτην ἐνέπηξε. ~~ἄλλοι δέ φασιν~~ ὅθεν ἀπὸ τῆς Γορ-
γόνος καὶ ὁ ἐπιστήθιος ἐκεῖνος τῆς Ἀθηνᾶς κόσμος Γοργό-
νιον ἐκλήθη. Περσεὺς δὲ σὺν Ἀνδρομέδᾳ καὶ τῇ μητρὶ
Δανάῃ ἔσπευδεν εἰς Ἄργος ἐλθεῖν πρὸς θέαν Ἀκρισί-
ου. Ἀκρίσιος δὲ τὸν χρησμὸν δεδοικὼς εἰς Πελασγί-
αν ἀνεχώρησεν. Τευταμίδου δὲ τοῦ βασιλέως Λαρι-
σαίων πένταθλον θέντος ἐπὶ τῇ τοῦ πατρὸς τελευτῇ
Περσεὺς ἀγωνιζόμενος δίσκῳ βαλὼν τὸν Ἀκρισίου
πόδα ἄκων αὐτὸν ἀναιρεῖ καὶ πενθήσας ἔθαψεν.
πρὸς δὲ μετὰ πένθος τὸν Προῖτον ἐλθὼν αὐτῷ μὲν
ἔδωκε τὴν ἰδίαν βασιλείαν τὴν Ἄργους ἀρχήν, αὐτὸς
δὲ ὁ Περσεὺς τὴν Τίρυνθα κατέσχε καὶ τὴν ἐκείνου βασι-
λείαν· προσέκτισε Μίδειαν καὶ Μυκήνας ἔνθα καὶ ἑτέρους
παῖδας γεννᾷ ἐξ Ἀνδρομέδας· Ἀλκαῖον καὶ Σθένε-
λον, Ἕλειον, Μήστορα, Ἠλεκτρύωνα καὶ Γοργοφόνην,
τοῦ ἑτέρου υἱοῦ αὐτοῦ Πέρσου καταλειφθέντος ὡς
εἴπομεν ἐν Αἰθιοπίᾳ παρὰ τῷ πάππῳ Κηφεῖ.
<u>τὸν χρυσόπατρον</u> εἶπον τὴν ἱστορίαν. <u>ἁρπάσας
γνάθοις</u> ληρεῖ. φλυαρεῖ. μὴ γινώσκων τί γράφει ὁ
καὶ τὸν ἡπατουργόν. οὐ γὰρ τὸν Περσέα τὸ κῆτος

κατέπιεν ὥσπερ ἡρακλέα. ὡς ἔοικε δὲ οἰνοβαρῶν ὁ λυκόφρων ἐκ τῶν πτολεμαίου ζυθῶν καὶ δωρημάτων τὴν ἡρακλέους ἱστορίαν καὶ τοῦ ~~κατὰ ἡσιόνην~~ κατὰ ἡσιόνην κήτους ἐπὶ περσέα καὶ ἀνδρομέδαν μετήνεγκε. ἄρσενα γενναῖον τὸν ἀρβυλόπτερον: ἐρρέθη ὅτι πτερωτὰ ὑποδήματα τῶν νυμφῶν εἶχεν. ἀρβύλη δὲ εἶδος ὑποδήματος. τῇ ῥείθρος ξυρῷ ἐρρέθη. τοὺς βροτοὺς ὠδῖνας ἠκριβάτο. μηδούσης γὰρ τῆς γοργόνος ὑπὸ περσέως ἐκ τοῦ τραχήλου αὐτῆς ἐξέθορεν ἄνθρωπος ὁ χρυσάορ, ἵππος ὁ πήγασος ὅπερ ἐστὶ λαθόμενοι ἐν τῷ οἰκείῳ λόγῳ φησίν. δρακοντώπιδος γαμῆς τῆς · ἢ παῖδας τικτούσης ἐκ τοῦ τραχήλου ἢ γὰρ θαλασσία γαμῆ ἐκ τοῦ τραχήλου γεννᾷ. νῦν μὲν τὴν μέδουσαν φησὶ γοργόνα διὰ τὸ μετὰ τὴν καρατομίαν τεκεῖν ὡς εἴπομεν καὶ χρυσάορα καὶ τὸν πήγασον· μαρμαρώπιδα δὲ διὰ τὸ ἀπολιθοῦν τοὺς ὁρῶντας αὐτήν. καὶ ταῦτα μὲν οὕτως. τὸ δὲ ἐνταῦθα σύμπαν χωρίον ἀνοήτως ἔγραψεν ὁ λυκόφρων εἰ μή τι μικρὸν ἡμεῖς αὐτῷ βοηθήσαντες τὸ δέον ἀναπληρώσαιμεν. σκοπείτω δὲ πᾶς ὁ βουλόμενος ὅπως ἔχει ἀκριβῶς ἡ γραφή. φησὶ γὰρ πρεὶ μὲν ἠλάου ἐπόψεται τεμπνίδας κηφίσους καὶ τὰ ἑρμοῦ λακτίσματα καὶ τὰς δίψας πέτρας ὅπου ὁ θαλάσσης κύων ἐξῆλθε χρῄζων φαγεῖν ἀνδρομέδαν. ἀντὶ δὲ τῆς ἀνδρομέδας ὑπεχώρησε λαβὼν τὸν ἥπατος οὐρσὸν τὸν ἀρβυλόπτερον, καὶ μέχρι τοῦ δεῦρο καλῶς πως ἔχει ὁ λόγος ~~πάλιν~~ δοκεῖ πάλιν καὶ ἐνταῦθοι ψεύδεσθαι, παραφθείρας τὴν ἱστορίαν. ἀπὸ δὲ τοῦ πεφήσεται μέχρι τοῦ στίχου τοῦ λέγοντος ἐπόψεται καὶ τὰς θειπόλους γύας πάντως πλαστὴ καὶ ἀνόητος ἐστὶν ἡ γραφή. καὶ πρόσχες ἐπόψεται ὁ μενέλαος τόπους ὅπου τόδε καὶ τόδε γέγονε καὶ ὅπου τὸν περσέα ἁρπάσας τὸ κῆτος ἔφη τότε. πεφήσεται δὲ ἡ φονευθήσεται νῦν τῷ ξυρῷ τῷ

Ebrius lycophro

ἀρβύλη

ἀνόητος λυκόφρων

περσεὺς καὶ τὸ πραγματικὸν λαοπλαστῶν ἄνδρας. ὁρᾶτε πῶς ἔχει τὸ ἐναντίον, φέρε δὴ καὶ ἡμεῖς ὡς δυνατὸν ἀνακαθάρωμεν τὴν βαθεῖαν τῆς γραφῆς κακίαν καὶ ἄχθον, καὶ ὡς οἷόν τε ἐξομαλίσωμεν, καὶ οὕτως τις τοῦτο συναφθέτω. ἐπόψεται δὲ ὁ μὲν λαὸς τοὺς τόπους ὅπου τάδε καὶ τάδε γέγονε καὶ ὅπου τὸν περσέα τὸν τοιόνδε καὶ τὸν τοιόνδε ἁρπάσας ὁ κέπφος. ἤγουν τὸ κῆτος ἔβη. περὶ οὗ αὐτοῦ ἐπεφήσατο. ἤγουν ἐφονεύθη ἡ φάλαινα ἡ δυσμισοῦντος ἤτοι τὸ κῆτος αὐτὸ ἐκκενωθὲν ἐν τῷ ξυρῷ. ἤγουν λοχοθρεπτάνῳ τοῦ περσέως αὐτοῦ δείξαντος. ἤγουν ἀνοίξαντος τὰς ἀπροβρώτους ὠδῖνας τῶν τόκων τῆς ἀρρόπαιδος καὶ μεθηφρόσιδος ἤγουν τοῦ ἀνελόντος τὴν γοργόνην καὶ ἐκ τῆς καρατομίας αὐτῆς ποιήσαντος ἐξελθεῖν χρυσάορα καὶ πήγασον. ὃς καὶ ὅστις περσεὺς ὁ λαμπτηροκλέπτης. ἤγουν ὀφθαλμοκλέπτης τῆς σιπλανοῦς ποδηγίας λαοπλαστῶν. ἤγουν μεταπλάστων ἀπὸ τῶν λάων τοὺς ἄνδρας ἤτοι τοὺς ἀνθρώπους. ἀγαλματώσας ἤγουν ἀντὶ τοῦ ἀγαλματώσαντος ἤτοι ἀγάλματα καὶ ἀνδριάντας ποιήσας ἐν τῇ ἀμφιβλήστρῳ. ἤγουν ἐπικαλύμματι τῶν πετρῶν. λαμπτηροκλέπτης. ὁ μὲν λυκόφρων φησὶ τῶν γοργόνων εἶναι τὸν ὀφθαλμὸν τὸν ὑπὸ περσέως κλαπέντα. ἐγὼ δὲ εἶπον ὅτι τῶν φορκίδων αἵτινες ἦσαν ἀδελφαὶ τῶν γοργόνων πεπλανημέναι γραῖαι τρεῖς ἐκ ποδίσω ἀλλήλαις ἐναλλὰξ ἕνα ἔχουσαι τὸν ὀφθαλμόν σιπλανοῦς ποδηγίας ὅτι μία παρ᾽ ἑτέρας ἐναλλὰξ χρωμένη τῷ ὀφθαλμῷ κατὰ πλάνην καὶ περιφορὰν τὰς

* τὰς λοιπάς.

Ἐπόψεται δὲ τὰς θερειλόπους γύας
καὶ ῥέεθρα Βύσαο καὶ χαμευνίδας
εὐνὰς δυσόσμους νεκροὶ συγκοιμώμενος

καὶ πάντα τλήσεθ' εἵνεκ' ἁρπυίας κυνὸς
τῆς θηλύπαιδος καὶ τριάνορος ἠθρης

θερμπότους γύας καὶ μετὰ προσγεγραμμένης ἄπται-
στον ἐστὶ τὸ μέτρον· κοινὴ συλλαβὴ γίνεται διὰ τὸ κεχηνός
καὶ χωλίαμβος ὃ ἣν δέχεται ἐν τῷ ἰαμβικῷ μέτρῳ
. γύας δέ· ἤ· χώρας θερμπότους λέγει τὴν αἴγυπτον
ὁ νεῖλος γὰρ ἐξερχόμενος ἐν τῷ θέρει ἀρδεύει αὐτήν,
οὗτος διήκει τὴν αἰθιοπίαν ἀπὸ λιβύης. τινὲς δὲ
φασὶ ἐν λιβύῃ εἶναι τὰς πηγὰς τοῦ νείλου ὡς δοκεῖ.
ἀσβύσται ἔθνος λυβικόν. καὶ χαμευνάδας δυσόδμ-
ους· ἤ· δυσόδμοις θηρσὶ συγκοιμώμενος. ἡ δὲ ἱστο-
ρία τοιαύτη. μενέλαος ἐξωσθεὶς περὶ αἴγυπτον πολὺν
χρόνον ἐκεῖ διέτριβεν, ἰδοῦσα δὲ αὐτὸν [ὡς] εἰδοθέα ἡ
τοῦ πρωτέως θυγάτηρ ἐν φάρῳ φησὶ πρὸς αὐτὸν μενέ-
λαε εἴπερ βούλει μαθεῖν τὸ περὶ σὲ πᾶν, ἔστι μοι ὁ πα-
τὴρ ἀθάνατος πρωτεύς, ἐκβαίνων οὗτος περὶ δείλην ἐκ
τῆς θαλάσσης συγκοιμᾶται ταῖς φώκαις, λαβὼν οὖν
καὶ σὺ παρ' ἐμοῦ δέρματα φωκῶν νεοδάρτων ὑποδύ-
σαι καὶ σὺ καὶ οἱ γενναιότεροι τῶν σῶν ἑταίρων καὶ συγκατα-
λέχθητε ταῖς λοιπαῖς φώκαις. ἐλθόντα δὲ πρωτέα κα-
τάσχετε καὶ μηδὲ πτοηθῆτε πρὸς πάντα τοῦτον ὁρῶντ-
ες μεταβαλλόμενον πρὸς ὕδωρ πρὸς πῦρ πρὸς ζῶ-
α παντοῖα, ἀλλὰ κατέχοντες ἐρωτήσατε καὶ ὡς ἐρεῖ ὑ-
μῖν περὶ πάντων σαφέστατα. συγκοιμηθέντες οὖν
ταῖς φώκαις καὶ τὰ λοιπὰ πάντα ποιήσαντες ἔμαθον
παρὰ τοῦ πρωτέως περί τε ἀπόπλου καὶ περὶ πάν-
των ὧν ἐχρῆζον, διὰ δὲ τὸ δυσῶδες τῆς φώκης ὄν-
τος εἶπε τὸ δυσόδμους. δυσόδμοις θηρσί. τλήσε-
θ' εἵνεκα ἰωνικῶς καὶ αἰολικῶς ἐκεῖνοι γὰρ οἵ τε ἴωνες
καὶ οἱ αἰολεῖς πάντες ψιλοῦσιν, ὡς τὸ λεύκιππος

γύας. τὸ γυ· κοινὴ συλλαβή

νείλου πηγαί

ἀσβύσται

περὶ τοῦ μενελά-
ου συγκοιμη-
θέντος ταῖς
φώκαις ἱστορία

...mendo à
θάνατος ex
odyssee δ̄ ex
ta rhapsodia
homeri un
de haec omnia
sumpta.
ἀθάνατος
πρωτεὺς
αἰγύπτιος
ὅς τε θαλά-
σσης &
c.

ἀπηλιώτης καὶ τὰ ὅμοια. ταῦτα γὰρ παρ' ἡμῶν δασέως ἐκ-
φέρονται, λεύκιππος καὶ ἀφηλιώτης. οἱ δὲ Ἀττικοὶ δασύνου-
ἕνεκα σιν· ἐδασύνθη γὰρ ἀττικῶς τὸ ἕνεκα. Τῆς θηλύπαιδος·
Homer τῆς Ἑλένης ~~ὅτι~~ ὡς καὶ Ὅμηρος φησὶν Ἑλένῃ μὴ τεκεῖν υἱὸν
Hermio(ne) ἀλλὰ θυγατέρα Ἑρμιόνην, Δοῦρις δὲ καὶ Ἰφιγένειαν
Helene filij ἐκ Θησέως. ἄλλοι δὲ φασὶ καὶ Νικόστρατον καὶ Αἰθιόλαν τεκεῖν
Duris ἐκ Μενελάου. ἐκ δὲ Ἀλεξάνδρου οἱ πλείους φασὶ τέσσα-
Iphige ρα τετοκέναι. Βούνικον. Κόρινθον. Ἄγαυν. καὶ Ἰδαῖον.
Theseu Πενταλέκτρου· τῆς πολυάνδρου, ὡς ὄπισθεν πεντάλεκτρον
Nicostrat
Κόρη Aetholas αὐτὴν ἔφησεν. Κόρη κυρίως ἡ παρθένος, ὅπερ καὶ
Bunicus νῦν δηλοῖ. οὐ γὰρ θηλύπαιδα καὶ πολύανδρον λέγει ἀλλὰ
Corinth καὶ εὔμορφον αὐτὴν δηλοῖ.
Asas
Ideus

Ἥξει δ' ἀλήτης εἰς Ἰαπύγων στρατὸν
καὶ δῶρ' ἀνάψει παρθένῳ σκυλητρίᾳ
Ταμάσιον κρατῆρα καὶ βοάγριον
καὶ τὰς δάμαρτος ἀσκέρας εὐμαρίδας

~~[illegible]~~ Ἥξει δ' ἀλήτης· παραγενήσεται ὁ Μενέλαος πλανώ-
μεσαπυγία μενος εἰς τὴν χώραν τῶν Ἰαπύγων ἤτοι τῶν Καλαβρῶν·
ἰαπυγία ἡ γὰρ Μεσαπυγία καὶ Ἰαπυγία, ὕστερον Σαλεντία, εἶτα Κα-
σαλεντία λαβρεία ἐκλήθη καθά φησιν ὁ ἱστορικὸς Δίων ὁ τὰς Ῥω-
καλαβρεία Dion μαίων πράξεις συντάξας. κεῖται δὲ ἡ Καλαβρεία περὶ
τὸν Ἰόνιον κόλπον καὶ τὸν Ἀδρίαν. Καὶ δῶρ' ἀνάψει
καὶ τῇ σκυλητρίᾳ ἤτοι τῇ σκυλευτικῇ καὶ πολεμικῇ Ἀ-
θηνᾷ καθιερώσει ἀναθήματα κρατῆρα χαλκοῦν ἀπὸ
Τεμέση πόλις Τεμέσης πόλεως Καλαβρίδος, καὶ τὸν ἑαυτοῦ θυρεὸν ἤ-
τοι τὸ σάκος καὶ τῆς Ἑλένης ὑποδήματα πέδιλα. Ταμά-
σιον· Τεμέση πόλις Καλαβρεὶς ἀριστόχαλκος· περὶ
ἧς φησιν Ὅμηρος· ἐς Τεμέσην μετὰ χαλκὸν ἄγω
δ' αἴθωνα σίδηρον. ταύτην δὲ οἱ βάρβαροι Καλαβροὶ

τε καὶ ἕτεροι τέμεσαν ἔτι καλοῦσιν ὥσπερ αἰδούμενοι,
μεταποιῆσαι καθολοκληρίαν τὴν τοῦ ὁμήρου φωνήν·
ὃν τὴν περὶ τὸν ποιητὴν βαρβάρων αἰδῶ λογισάμενος
βαρβαρώτερος ἐκείνων φανεὶς καὶ κατὰ τὴν παροιμίαν· κριὸς
τὰ τροφεῖα διδοὺς τάμασαν τὴν τέμεσαν ἐκάλεσεν.
βοάγριον ἀσπίδα ἐκ δέρματος βοὸς ἀγρίου γεγονυῖαν
ἀσκέρας ἐμβάδας οὗτος ἀσκέρας τὰ ὑποδήματα
λέγει οὐ καλῶς· ἐμβάδας δὲ τὰς εὐμαρῶς καὶ εὐ-
κόλως ὑποδυομένας περὶ τοὺς πόδας· ἀσκέραι δὲ κυ-
ρίως τὰ ἐν τοῖς ποσὶ πιλία ἤτοι ὀρτάρια λέγεται· οὗ-
τος δὲ ὁ λυκόφρων καὶ περὶ τὰ αἰσχύλου κλέπτων λέξεις
τινὰς ἐξ ἱππώνακτος δὲ πλέον ἢ ἐπιλήσμων ὢν ἢ
μὴ νοῶν ταύτας ἄλλην ἄλλως ἐκτίθει· ἀλλ᾽ ἀναμνήσω
τοῦτο ἐγὼ τὸν σοφὸν ποιητήν· οὐκ οἶσθα ὦ λυκόφρον
ὅτι σὺ τὴν ἱππώνακτος κατέδεις βίβλον καὶ τὸ πᾶν
σου ἐξηκὼς ἐσῶ ἑώρων, σὺ τὰς αὐτοῦ λέξεις ἀναλεγόμε-
νος καὶ τὸ ἀσκέρας ~~αὐτοῦ~~ ἐκ εἴρηκας καὶ οὕτω τέθηκας
μὴ προσχὼν μηδὲ νοῦν ἔχοντα ῥητά, ἀλλ᾽ ἄκουε τί
φησιν ὁ ἱππῶναξ καὶ μάθε ὅτι ἀσκέραι οὐ τὰ ὑποδή-
ματα ἀλλὰ πιλία ἤτοι τὰ ὀρτάρια εἰσί· ἐμοὶ γὰρ "
οὐκ ἔδωκας οὔτε χλαῖναν δασεῖαν ἐν χειμῶνι φάρμα- "
κον ῥίγους οὔτ᾽ ἀσκέρασι τοὺς πόδας φησὶ ἔκρυ- "
ψας ὥς μή μοι χίμετλα ῥήγνυται, ἔγνως ὅτι διὰ τὸ "
ῥιγεῖν δασείας τὰς ἀσκέρας τὰ ὀρτάρια φησίν, ἢ χρεί-
α σοι καὶ ἑτέρας μαρτυρείας ὦ φίλε ἑρμῆ μαιαδεῦ κυλλή-
νιε καὶ μετά τινα φησί δὸς χλαῖναν ἱππώνακτι καὶ κυ- "
πασίσκον καὶ σαμβαλίσκα κασκερίσκα καὶ χρυσοῦ μοι "
δὸς στατῆρας ἑξήκοντα τοῦ τέρου τοίχου· ἔγνως πάντ- "
ως νῦν ὅτι ἀσκέρα τὰ ὀρτάρια λέγονται, ἰδοὺ γὰρ
καὶ ἐν τῷ αὐτῷ ἑνὶ στίχῳ περὶ ὑποδημάτων φωνῇ καὶ
περὶ ἀσκέρων λέγει · / · /

παροι(μία)

κριὸς τὰ τροφεῖα διδούς.

ἀσκέραι ἐμβάδες

Fur & obliviosus lycophro(n)

πιλία ἤτοι ὀρτάρια

ἥξει δὲ σῖριν καὶ λακινίου μυχούς
ἐν οἷσι πόρτις ὄρχατον τεύξει θεᾷ
ὁπλοσμίᾳ, φυτοῖσιν ἐξησκημένον
γυναιξὶ δ' ἔσται τεθμὸς ἐγχώροις ἀεὶ
πενθεῖν τὸν ἐννάπηχυν αἰακοῦ τρίτον
καὶ δωρίδος πρηστῆρα δαΐου μάχης
καὶ μήτε χρυσῷ φαιδρὰ καλλυνεῖν ῥέθη
μὴ θ' ἁβροπήνους ἀμφιβαλέσθαι πέπλους
κάλχῃ φορυκτοὺς οὕνεκα θεὸς θεᾷ
χέρσου μέγαν στόρθυγγα δωρεῖται κτίσαι

σῖρις — σῖρις, ποταμὸς ἰταλίας καὶ πόλις, ἡ δὲ πόλις σῖρις νῦν πολίειον λέγεται ἀπὸ πόλεως καὶ τῶν ἐμπόρων. λακινίου μυχούς

λακίνιον — τὸ λακίνιον ἀκρωτήριον κρότωνός ἐστιν, οὗ φησὶ καὶ θεόκριτος· καὶ τὸ ποταμὸν τὸ λακίνιον ὅπερ ὁ πύκτας αἴγων ὀγδοήκοντα μόνος κατεδύσατο ἅμαξας. λακίνιον δὲ ἐκλήθη ἀπὸ λακινίου κρότωνος τινός. ἐν οἷσι πόρτις ἐν οἷς τόποις περὶ κρότωνα, δηλονότι, ἡ θέτις κῆπον τῇ ἥρᾳ ἀνθήσει. αἱ δὲ γυναῖκες αἱ ἐγχώριαι ἐκ νόμου ἀεὶ ἔσονται μελανοφόροι καὶ τὸν ἐννεάπηχυν ἀχιλλέα δακρύουσαι, οὗτινος ἕνεκα, ἡ θεὸς ἡ θέτις, τῇ θεᾷ ἥρᾳ δωρεῖται, ἤγουν ἀνατίθησι τὸν μέγαν στόρθυγγα τῆς χέρσου ἐν τῷ κτίσαι ὄρχατον εἰς κήπου τάξιν. διὰ δὲ τοῦ φυτῶν ἐξησκημένον, ἤγουν κεκοσμημένον φυτοῖς ὄρχατον τὸν κῆπον λέγει. ὁπλοσμία·

ὁπλοσμία ἥρα — ἐπίθετον ἥρας τιμωμένης ἐν ἤλιδι πελοποννήσου καὶ λυκοφρ. τεθμὸς ὁ νόμος ἐκ τοῦ τέθεμαι, τέθεσαι, τέθεται, τεθμός. ἐννάπηχυν. ἐννέα πηχῶν

ἐννέα πηχῶν μέγεθος ἀχιλλέ. Verg. nũ q̃ntus achilles — λέγει μέγεθος ἔχειν αἰακοῦ τρίτον καὶ δωρίδος. τὸν ἔγγονον τοῦ αἰακοῦ καὶ δωρίδος. αἰακοῦ γὰρ καὶ ἐνδηΐδος πηλεύς, πηλέως καὶ θέτιδος ἀχιλλεύς, καὶ πάλιν

μητρός. Δωρίδος καὶ νηρέως θέτις, θέτιδος δὲ καὶ πηλέως
ἀχιλλεύς. // στρηνῆρα μάχης τὸν σφοδρὸν καὶ διά
πυρ᾽ ἄνεμον τοῦ πολέμου. ῥέθη κυρίως τὰ πρό
σωπα παρὰ τὸ ῥᾶον τὰ ἤθη αὐτοῦ φαίνεσθαι, καὶ
δὲ καταχρηστικῶς πάντα τὰ μέλη ῥέθη. ἀβροπήμο
νας. ξυφθοσήμονας. πλουσίους. σηρικούς. Καλ
χυφορυκτοὺς πορφυροβεβαμμένους κυρίως, καὶ
δὲ τοὺς ἁπλῶς βεβαμμένους καὶ πλουμαρικοὺς λέγει
γοργύνα, ὀξύτητα. ἄκρα τοῦ κρότωνος, λέγει
δὲ τὸ λακίνιον. ~~Ἥξει δὲ Ταυ~~ //

Ἥξει δὲ Ταύρου Γυμνάδας χαλκοζύγους
πάλης κονίστρας, οὔτε κωλῶτις τέκνου
Ἀλεντίου κρέουσα λογγούρου μυχῶν
ἅρπης κρόνου πήδημα κογχίας ὕδωρ
κάμψας. Γονοῦσάν τ᾽ ἠδὲ σικανῶν πλάκας
καὶ θηροκλαίνου σηκὸν ὀμβρίου λύκου
ὃν κρηθέως ἄμναμος ὁρμίσας σκάφος
ἔδειμε πεντήκοντα σὺν ναυηγέταις
Κρόνοι δὲ μινυανθὲν λιπῆς λεισόματα
τηροῦσιν ἅλμης οὐδὲ φοιβάζων κλύδων,
οὐδ᾽ ὀμβρεία σμήχουσα, νωθροὶ νιφάς

Ἥξει δὲ Ταύρου Γυμνάδας παραγενήσεται δὲ ὁ μένη...
ος καὶ περὶ τὴν σικελίαν ὅπου αἱ παλαίστραι τοῦ
ἔρυκος τοῦ ξενοκτόνου τοῦ υἱοῦ ἀφροδίτης καὶ ποσει
δῶνος ἀφ᾽ οὗ καὶ ὁ τόπος ἔρυξ ἐκλήθη. παλαιστὴν
αὐτὸν ὄντα ἢ πένταθλον καὶ οὕτω τοὺς ξένους ἀναι
ροῦντα, ἡρακλῆς δὲ διερχόμενος καὶ πενταθλήσας, ἂν
τὸν ἄξας μετέωρον κατεκρήμνισε καὶ οὕτως ὁ τόπος
ἔρυξ ἐκλήθη, ταῦρον δὲ τὸν ἔρυκα φησὶ διὰ τὸ

ῥέθη
ἀβροπήμον
Καλχυροφορυκτους

ἔρυξ ξενοκτόνος

κωλῶτις ἀφροδίτη
q̃m puto esse eandē cū colyade

μυθικὸν καὶ γενναῖον, κωλῶτις ἡ ἀφροδίτη. κωλῶτις δὲ ἐκλή
θη ὅτι νεανίας ὑπὸ λῃστῶν ἢ ὑπὸ τυράννου προσταχθεὶς
ἐκ τῶν κώλων ἤτοι τῶν ἀκρωτηρίων καὶ τῶν χειρῶν ἐδέθη.
ἡ δὲ θυγάτηρ ἢ τοῦ ἀρχιλῃστοῦ ἢ τοῦ τυράννου ἐρασθεῖ
σα αὐτοῦ ἀπέλυσεν αὐτὸν μιχθεῖσα τούτῳ. ὁ δὲ ἀφρο
δίτης ἱερὸν κωλώτιδος ἱδρύσατο εἰς εὐχαριστίαν αὐτῆς
ὅτι δεδεμένον ὄντα ἐκ τῶν κώλων ἐρρύσατο. κωλὶς δὲ
λέγεται καὶ ἡ ἄορνις γῆ. ἀγεντία ἡ ἐν ἀγέντι πο

ἀγεντία

ταμῷ κολοφῶνος τιμωμένη· ἐκεῖ γὰρ ἱερὸν αὐτῆς
ἐστί. λογγοῦρος. λίμνη σικελίας. ἅρπη ἤτοι δρέ
πανον καὶ ἡ φαλακία κέρκυρα, καὶ ἡ σικελία. καὶ ἡ μὲν
κέρκυρα λέγεται δρέπανον ὅτι ἦν κεκρυμμένον τὸ δρέ
πανον μεθ' οὗ ὁ ζεὺς τὸν κρόνον ἐξέτεμεν, ἢ τὸ δρέπα
νον ὅπερ ἡ δημήτηρ ἔλαβε παρ' ἡφαίστου τέμνειν τοὺς
στάχυας. δρέπανον δὲ ἡ σικελία ὅτι ἐκεῖ ἦν τὸ δρέπα
νον μεθ' οὗ τὸν οὐρανὸν ὁ κρόνος ἐξέτεμε, καθάπερ ὁ λυ
κόφρων φαίνεται καὶ τὸ δρέπανον τὸ κρότομον λέγει. τὸ
δρέπανον παρὰ σικελιώταις ζα λέγεται. γόννου
σαν ἐστὶ μὲν πόλις θετταλική καὶ δὲ σικελίας λίμνη
καὶ θηρόχλαινον σηκόν. ἀπὸ κοινοῦ τὸ κάμψας
ἤτοι παρελθὼν ὁ μενέλαος καὶ τὸν σηκὸν ἢ τὸν ναὸν

σηκὸς ἢ ναός

τοῦ θηροχλαίνου ἡρακλέους ἤτοι τοῦ ἐνδεδυμένου τὴν
* λεοντῆν. τῷ γὰρ ἡρακλεῖ ναὸν περὶ σύρτιν ἐμπεσόντες
διὰ τὸ εἶναι ἀβαθῆ τὴν θάλασσαν καὶ μὴ δύνασθαι
πλεῖν αὐτοὺς ἄραντες ἐπ' ὤμων τὴν ἀργὼ. ιβ. ἡ
μέρας ἐπορεύοντο διὰ τῆς ἐρήμου λιβύης ὥς φησι
πίνδαρος. δωδεκάτῃ δὲ πρὸς ἑτέραν θάλασσαν ἐλ
θόντες καθῆκαν αὐτὴν καὶ ἀγωνισάμενοι καὶ λουσά
μενοι περὶ τὴν ἐκεῖ θάλασσαν ναὸν ἔκτισαν ὃν δὲ
πομένω τῷ ἡρακλεῖ, ἐν ᾗ θαλάσσῃ ἀποπλυνθεὶς ὁ
ἱδρὼς τῶν ἀργοναυτῶν ἐν ταῖς ἄμμοις μέχρι καὶ

περὶ τοῦ
ἱδρῶτος τῶν
ἀργοναυτῶν

δίκλω θάλαιου ςίλβει. μήτε ὑπὸ τοῦ τῆς θαλάσσης κλύ-
δωνος μήτε ὑπὸ ὄμβρων καθαιρόμενος. Οὐ κρηθέ-
ος ἀμύναμος. οὔτινα ναὸν τοῦ ἡρακλέους ἔδειμε. ἤγουν
ἔκτισε σὺν τοῖς πεντήκοντα ἀργοναύταις ὁ ἀμύναμος [ἀμύναμος]
ἤγουν ἀπόγονος τοῦ κρηθέως ἰάσων ὁρμίσας. ἤγουν ἐμπελμένι-
σας ἐκεῖ δηλονότι τὸ σκάφος ἤτοι τὴν ναῦν τὴν ἀργώ. ἀμύ-
ναμος δὲ ἤγουν ἀπόγονος κρηθέως ὁ ἰάσων οὕτως. σαλ- [Salmoneus]
μωνεὺς καὶ ἀλκιδίκης θυγάτηρ τυρώ, τυροῦς καὶ ποσει- [Alcydice]
δῶνος πελίας καὶ νηλεύς. τυροῦς δὲ καὶ τῆς αὐτῆς καὶ κρη- [Tyro] [Pelias]
θέως αἴσων. ἀμυθάων. φέρης. αἴσονος καὶ πολυ- [Neleus]
μήδης τῆς αὐτολύκου ἤ κατά τινας ἀρνης ἢ σκαφ- [Jasonis mater.]
ης ἰάσων. τὴν τῶν ἀργοναυτῶν ἱστορίαν πλατέως λίαν
εἶπον ἐν τῇ ἀρχῇ. Κρόκαι. οἱ αἰγιαλοὶ ἀπὸ τοῦ [Κρόκαι]
κρύος κύειν, ψυχροὶ γάρ ἤπερ ὁ βυθός. κρόκαι
δὲ καὶ μινυῶν οὕτω συντάσσεται. ὅντινα ναὸν σὺν τῶν
πεντήκοντα ἔδειμεν. αἱ κρόκαι δὲ ἤγουν αἱ ψάμμοι
καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης δηλονότι τῆς ἐκεῖ τηροῦσι. ἤγουν
φυλάσσουσι τὰ ἀλείπτη. ἤγουν λιπαρὰ ςελίσματα, ἀπὸ
τοὺς ῥύπους τῶν μινυῶν ἤγουν ἀργοναυτῶν. Οὐδὲ φοιβά-
δει. ἤγουν πλύνει ὁ κλύδων οὐδ᾽ ὀμβρεία ςαγών. σμή-
χουσα. ἤγουν καθαίρουσα. δηναιόν. ἤγουν πολυχρονίως
μινυῶν τῶν ἀργοναυτῶν ὅτι πλείους αὐτῶν ἐξ ὀρ- [μινύαι οἱ ἀρ-]
χομενοῦ τοῦ μινυοῦ ἦσαν. δύο δὲ ὀρχομενοί ὅ τε ἐν [γοναῦται πολλ.]
βοιωτίᾳ οὗτος ὁ μινύειος καὶ ὁ πολύμηλος ἐν ἀρκα-
δίᾳ. ὁ δὲ τόπος ὀρχομενὸς ~~μιν~~ μινύειος οὕτως ἐκλή-
θη ἀπὸ μινυοῦ τοῦ ποσειδῶνος παιδὸς καὶ καλλιρρό-
ης τῆς ὠκεανοῦ θυγατρός, οὗπερ μινύου καὶ ζιγούσας
τῆς αἰόλου οἱ πλείους τῶν ἀργοναυτῶν, ἄριςοι
ἱππικοὶ οἱ ὀρχομένιοι. ἐργῖνος ἱππέων θηβαίους [Erginus orchom. R. thebanos tributarios fecit]
νικήσας φόρῳ ὑποτελεῖς ἔθηκεν, ἡρακλῆς δὲ αὐτοὺς
ἠλευθέρωσε. ἀλείπτη ςελίσματα. ςελίδες γάρ [ςελίδες]

περὶ ἀντήνορος υἱῶν

τὰ ξίπλευρα οἷς ἐν τοῖς βαλανείοις ξυόμενοι τὸν ῥύ-
πον ἐκξέομεν. πολλὰ δ' εἰπὼν περὶ μενελάου ὁ λυκόφρων
περὶ τῶν ἀντήνορος υἱῶν οὐκ ἐμνημόνευσε· γλαύκου
φημὶ καὶ ἐρυμάνθου, οἳ μετὰ μενελάου πλέοντες ναυα-
γήσαντες ἐξῆλθον περὶ κρήτην καὶ οὐκέτι ἐπανῆλθον ~~εἰς~~
ἐκείνῳ συμπλεῦσαι ἀλλ' ᾤκησαν ἐν κρήτῃ τὸν ὑπ' αὐτῶν
ἀντηνοριδῶν λόφον κληθέντα. λυσίμαχος δὲ ἐν τῷ πρώ-
τῃ τῶν νόστων οὕτω πού λέγει. γλαῦκος, ἀκάμας, ἱπ-
πόλοχος οἱ ἀντηνορίδαι παρ' ἀκαμαντι βασιλεῖ λιβύ-
ων ᾤκησαν μὴ βουλόμενοι συνοικεῖν τοῖς τὸ ἴλιον πορ-
θήσασιν, οἳ μεθ' ἱκανὸν χρόνον τὸν μεταξὺ κρήνης καὶ θα-
λάσσης ἀντηνοριδῶν λόφον ᾤκησαν καὶ ἔκτισαν

ἄλλους δὲ θῖνες οἵ τε τὴν κάφραν πέλας
μύρμηκες αὐλίζουσιν ἐκβεβρασμένους
ἔρημον εἰς ἄπλαντος οἰκητήριον
θρυλιγμάτων δέλφαξι προσσεσηρότας
μόψον τιταιρώνειον ἔνθα ναυάται
θανόντα ταρχύσαντο, τύμβον δ' ὑπὲρ
κρηπῖδ' ἀνεστήσαντο ἀργῴου ῥοὸς
κλασθὲν πέτευρον νερτέρων κειμήλιον
ἀνοῖδα, κίνυφος ἣν τέγγων ῥόος
νασμοῖς λιπαίνει. τῷ δὲ νηρέως γόνῳ
τρίτωνι κόλχις ὤπασεν δάνος γυνὴ
χρυσῷ πλατὼν κρατῆρα κεκροτημένον
δείξαντι πλατὼν οἶμον ᾗ διὰ στενῶν
μύρων γέννησε τῖφυς ἄθραυστον σκάφος,
γραικοὺς δὲ χώρας τουτάκις λαβεῖν κράτη
θαλασσοπαῖς δίμορφος αὐδάξει θεός,
ὅταν παλιμπουν δῶρον ἄγραυλος λεὼς
ἐκνόστ' ὀρέξῃ νοσφίσας πάτρας λίβυς.

ἄργους δ' ὀχθῆρες περὶ τῶν θαλασσῶν φησί. σώσεις. προδόσου
ἢ εὐρυπύλου, ὅτι τοὺς ἄργους δὲ ἀλάζουσιν ὀχθῆρες. ἤγουν
οἱ αἰγιαλοί. οἵ τε μύρμηκες ἤγουν αἱ παραθαλάσσιαι πέ-
τραι αἱ πέλας. ἤγουν πλησίον τῶν τευχήρων ἥτις ἐστὶ πό-
λις ~~λιβυ~~ λιβύης. θρηνήσουσι δ' αὐτοὺς τε πεσόντας
ἐκβεβρασμένους. ἤγουν ἐκριφέντας ὑπὸ τῆς θαλάσσης εἰς τὸ
ἔρημον οἰκητήριον τοῦ ἄτλαντος ἤτοι τὴν λιβύην.
ἐκριφέντας δ' ὁποταπούς. προσερηρότας. ἤγουν διεσπασμένους
δένδροισι. ἤγουν σώμασι θρυλισμάτων. ἤγουν συντριμμάτων
ἀντὶ τοῦ εἰπεῖν θρυλίσμασι. ἤγουν συντρίμμασι δένδρων
ἤγουν σωμάτων ἀντιστρόφως εἶπε. μόψον τιταιρώνιον
ἔνθα ποτὲ θανόντα τὸν ἀπὸ τιταρῶνος πόλεως, ταρ-
χύσαντο οἱ ἀργοναῦται, ἀνεστηλώσαντο. ἤγουν δίκην στήλης
ἔστησαν τυμβείαν κρηπῖδα ἀργοῦς. ξύλου πέταυρον ἢ,
ἤγουν σανίδα κλασθὲν ἤτοι κώπην τεθλασμένην. ἀνεστή-
λωσαν δὲ αὐτὸ κειμήλιον ἤγουν δώρημα νεκρῶν. ποῦ δὲ
ἀνεστήλωσαν; περὶ τὴν ~~αυτ~~ αὐσίγδα, ὅπου παραρρεῖ
ὁ κίνυφος ποταμός. τὸ δὲ νηρέως τόνῳ. οὕτω σύντα-
ξον, ἔνθα ποτὲ τὸν μόψον οἱ ἀργοναῦται ἔθαψαν καὶ ἡ
κολχὶς μήδεια τῷ νηρέως υἱῷ ~~τρ~~ τρίτωνι παρέσχε πλα-
τὺν κρατῆρα κεκροτημένον. ἤγουν εἰργασμένον χρυσῷ. τί-
νος δὲ χάριν παρέσχε τῷ τρίτωνι; δείξαντι τὸν πόρον
ἤγουν ἤγουν ὅπου διὰ τῶν στενῶν πέτρων ὁ ~~τι~~ τῖφυς κυβερνήτης
ὢν τῆς ἀργοῦς ἄθραυστον αὐτὴν διαβιβάσει. τουτάκις
δ'. ἤγουν τότε ἀντλάξει. ἤγουν ἐπειδὴ θαλασσόπαις δίμορφος,
θεός. ἤγουν ὁ τρίτων τοὺς ἕλληνας τὰ κράτη λαβεῖν τῆς χώ-
ρας. ἤγουν κυριεῦσαι τῆς λιβύης, ὅταν ἀργῷος λιβυκὸς
λαὸς παλίμπουν. ἤγουν ἀντίστροφον τὸ δῶρον ἤτοι τὸν κρα-
τῆρα ὀρέξει. ἤγουν παράσχῃ τοῖς ἕλλησι νοσφίσας. ἤγουν ἐκ-
βαλὼν καὶ στερήσας τῆς πατρίδος ἤτοι τῆς λιβύης. τὰς
δ' εὐχὰς ἤτοι τοὺς λόγους τοῦ τρίτωνος φοβούμενοι οἱ

τευχήρων· πό-
λις λιβύης

λίβυες κρύπτουσι τὸ κτέαρ. ἢ τὸ κτῆμα, ἤτοι τὸν κρατῆρα
ἐν χθονὸς ἐσχάτοις μυχοῖς ἄφαντον. ἐν ἡ κυφαίων ἐν
ἡ γῆ λιβυκή. γοσωνέα. πρόδοον. καὶ εὐρύπυλον ὁ βο-
ρρᾶς πνέων ἐκβράσει σὺν τοῖς αὐτῶν ναύταις. ἄλλους

ἀπολλωνία πό(λις).
Τεύχειρα πό(λις).

δέ τινες τῆς κυρήνης πόλεις ἀπολλωνίαν καὶ τεύχειρα.
ἡ δὲ κυρήνη χωρίον τῆς λιβύης ἐστὶν ὡς καὶ φάρος.
ἄτλαντος οἰκητήριον τὴν λιβύην λέγει. ἄτλας γὰρ μα-
θηματικὸς ἦν λίβυς ἀνήρ. ὃς εἰς ὄρος ὑψηλὸν ἀνερχό-
μενος πρὸς ἀκριβεστέραν κατασκοπὴν τῶν ἀστέρων πο-
τὲ καταφανὴς κατέπεσεν ἀπ' αὐτοῦ εἰς τὴν ὑποκει-
μένην θάλασσαν καὶ ἀνῃρέθη, ὅθεν ἀπ' αὐτοῦ τό τε

ἄτλαντος ἱστορία

ὄρος καὶ τὸ πέλαγος ἀτλαντικὸν ἐκλήθησαν. πολύιδος
ὁ διθυραμβικὸς τὸν ἄτλαντα τοῦτον ποιμένα λιβ-
ύων φησὶν οὐ μαθηματικόν, ἀπολιθωθῆναι δ' ὑπὸ
περσέως δείξαντος αὐτῷ τὴν γοργόνην διὰ τὸ μὴ ἐᾶν αὐ-
τὸν διελθεῖν ἀπερωτᾶν αὐτὸν τίς εἴη. τοῦτον δὲ τοῦ
ἄτλαντος υἱὸς ἦν ἑσπέριος κατὰ τοὺς λοιποὺς οὐ κα-
τὰ τὸν πολύιδον. ἔρημον δὲ τοῦ ἄτλαντος οἰκητήριον
φησὶν ὅτι ἔρημος ἡ λιβύη. μόψον τιταιρώνιον. ὁ
μόψος οὗτος εἷς τῶν ἀργοναυτῶν ἦν υἱὸς ἀμπυκοῦ καὶ
χλωρίδος τῆς ὀρχομενοῦ, ὁ δὲ ἄμπυκος υἱὸς ἦν τιται-

De Mopso Ampyci

ρωνος ἀφ' οὗ καὶ πόλις ὡς καὶ ἡσίοδος μόψον τ' ἀμπυ-
κίδην τιταρήσιον ὄζον ἄρηος. οὗτος ὁ μόψος τοῖς ἀργο-
ναύταις συμπλέων ἀνῃρέθη ὑπ' ὄφεως ἐν λιβύῃ, ὃν
θάψαντες αὐτὸν οἱ ἀργοναῦται ἔπηξαν ἐπάνω
τοῦ τάφου αὐτοῦ κώπην καὶ σανίδα ἐκ τῆς ἀργοῦς καὶ
ὁ μὲν μόψος οὗτος ὁ τοῦ ἀμπυκοῦ καὶ χλωρίδος ἐν λι-
βύῃ κεῖται εἷς ὢν τῶν ἀργοναυτῶν. ὁ δὲ τοῦ ἀπόλλωνος

De Mopso altero

υἱὸς μόψος καὶ μαντοῦς τῆς θυγατρὸς τοῦ τειρεσίου ἐν κολο-
φῶνι τῆς ἀσίας. τινὲς δέ φασιν ἐν κιλικίᾳ. ἀργῷον δο-
ρὸς ἀργὼ δὲ ἐκλήθη ἡ τοῦ ἰάσονος ναῦς ἢ ὅτι ἐν

ἀργὼ ἐναυπηγήθη ὥς φησιν ἡγήσανδρος ὁ σαλαμίνιος
ὑπὸ ἄργου. αὔσιγδα πόλις λιβύης ἣν παραρρεῖ
ὁ κίνυφος ποταμός. νηρέως γόνῳ τρίτωνι. ἀλέξανδρος
φησὶν εὐρύπυλον καὶ τρίτωνα ποσειδῶνος καὶ κελαινοῦς
εἶναι παῖδας. ὁ δ' εὐρύπυλος γήμας τὴν στερόπην ἡλί
ου πασιφάης δὲ ἀδελφὴν γεννᾷ λυκάονα καὶ λεύκιπ
πον. ὁ δ' εὐρύπυλος βασιλεὺς ἦν κυρήνης. ὁ δὲ τρίτων
τὰ μὲν ἄλλα ἄνω μέχρι τῶν λαγόνων ἄνθρωπος ἦν
τέλειος χεῖρας τε ἔχων καὶ τὰ λοιπά, τὰ δὲ ἐκ λαγόνων καὶ
κάτω δελφίς, ἔχων δύο μόνους ἐμπράκτους πόδας
ἀμφιτρίτης καὶ ποσειδῶνος ὢν παῖς [illegible] καὶ τοὺς λοι
πούς. ἔστι δὲ καὶ τρίτων ποταμὸς λιβύης. οὗτος ὁ τρίτων
ὁμοιωθεὶς εὐρυπύλῳ τῷ λεχθέντι κυρήνης βασιλεῖ καὶ
θαμενεκλῆς καὶ πίνδαρος ἱστορεῖ ὑπέδεξε τοῦ πλοίου
καὶ βῶλον ἔδωκε τοῖς ἀργοναύταις ἣν εὔφημος ὁ πρω
τεὺς τῆς ἀργοῦς ἐδέξατο, υἱὸς ὢν καὶ αὐτὸς ποσειδῶνος
καὶ μηκιόνης ἢ δωρίδος τῆς εὐρώπης θυγατρὸς γαμβρός
δ' ἀλκμήνης ἐπὶ λαονόμῃ θυγατρί, ὃν εὔφημον ἀσ
κληπιάδης φησὶ δῶρον ἔχειν παρὰ ποσειδῶνος τὴν θάλασσαν 6
ἀπημάντως ὡς διὰ γῆς πορεύεσθαι. ὡς γοῦν ἐκ τῆς
κολχίδος διὰ τὸ ἔξωθεν θαλάσσης καὶ τοῦ ἀδρίου τὸν πλο
ῦν ἐποιήσαντο διὰ τοῦ φάσιδος ὃς εἰς τὸν ὠκεανὸν ἐν
έβαλε δώδεκα πρότερον ἡμέρας ἐξ αὐτοῦ ὠκεανοῦ φέ
ροντες ἐν τοῖς νώτοις τὴν ἀργὼ διὰ τῆς ἐρήμου τῆς λιβ
ύης. ἐκεῖ δὲ περὶ κυρήνην ἐδέξαντο τὴν βῶλον παρὰ
τοῦ τρίτωνος ὡς ἔφην, ὁμοιωθέντος εὐρυπύλῳ. ἐρρήθη δὲ,
ἡ βῶλος περὶ κύθηρα βραχεῖσα ἐκ τῷ πλοίῳ. μαντεύ
εται ἡ μήδεια τοῖς ἀργοναύταις, τοὺς ἀπ' εὐφήμου ἐπ
τακαιδεκάτῃ γενεᾷ στεῖλαι ἀποικίαν εἰς λιβύην ἐκ τῆς
κυθήρας ἡ δὲ καλλίστη πρότερον ἐλέγετο ὃ καὶ γέγονεν. εὔφη
μος γὰρ ἐν λήμνῳ λαμάχῃ μιγεὶς λευκοφάνην γε
ννᾷ

ἀργὼ ναῦς πρώτη

τρίτωνος ἱστορία

al. θήραν. ex apollonio in quarto circa finez

al. θήρας

n. Tansoa lege apollonij interprete in quarto

Argo dicta ab argis civitate

βάτος

βάττος πολ.

..scribo ἀριστοτέλη ex interpretibus apollonij in quarto argonauticon & item pindari in pythijs

ἔξω οὖν κατάγεται βάττος ὁ κτίστωρ κυρήνης, ὃς διὰ στάσιν ἐκ
τῆς θήρας χρησμῷ εἰς λιβύην μεταβὰς καὶ οὕτω κτίσας
τὴν κυρήνην ὥς φησι μνησικλῆς. βάττον δὲ οἱ μὲν αὐτὸν φα
σὶ διὰ τὸ βατταρίζειν καὶ κεκομμένην ἔχειν τὴν φωνὴν ἀρι
στοτέλην καλούμενον. ἄλλοι δέ φασιν ὅτι τὸ βάττος λιβυκῶς βα
σιλεὺς λέγεται. οὕτω μὲν πίνδαρος καὶ οἱ λοιποί. οὓς δὲ
ἱστορικοὶ τὸν τρίτωνα καὶ ποσειδῶνος υἱὸν λέγουσι καὶ δοῦναι
βῶλον γῆς τοῖς ἀργοναύταις ἐξ ἧς αὐτοῖς ἐμαντεύσατο
ἡ μήδεια, ἐκ τῆς ~~θήρας~~ εἰς τὴν λιβύην γενέσθαι ἀ
ποικίαν. ὁ δὲ λυκόφρων οὗτος τὸν τρίτωνα καὶ νηρέως υἱὸν
λέγει ἴσως παρὰ τὴν νῆξιν τὸν αὐτὸν εἶναι τῷ ποσειδῶ
νι, καὶ λαβὼν παρὰ μηδείας μέγιστον χρυσοῦν κρατῆρα ἀν
θ' ὧν ἀπέδειξε τὴν ὁδόν, καὶ τοῦτό φησι μαντεύσασθαι τοῖς
λίβυσιν ὅτι δεσπόσουσιν οἱ ἕλληνες λιβύης ὅταν κρατῆ
ρα τις λάβῃ ἕλληνι πάλιν ἀνδρὶ πράξῃ, διὸ φοβηθέντες
λέγει τοὺς λίβυας ὀρύγμασι γῆς κρύψαι τὸν κρατῆρα.
Κολχὶς ἡ μήδεια. οἱ δὲ κόλχοι οἱ καὶ λαζοὶ λεγόμενοι.

Κόλχοι

αἰγυπτίων ἄποικοί εἰσι πλησίον οἰκοῦντες ἀβασγῶν
τινῶν καὶ ἀβασανῶν καλουμένων. λέγονται δὲ οἱ κόλχοι,
καὶ σκύθαι ἀσιανοὶ καὶ λευκόσυροι, οἰκοῦσι δὲ ἐν τοῖς με
ρεσι τῆς ἀσίας περὶ φᾶσιν ποταμόν. ἡ δὲ εὐρωπία,
σκυθία περὶ μαιῶτιν καὶ τάναιν. ἰώσηπος δὲ ὁ ἑβραῖ
ος καὶ τοὺς ἀλανοὺς εὐρωπαίων ~~σκ~~ σκυθῶν γένος φησὶν
οἰκοῦντες περὶ τὴν αὐτὴν μαιῶτιν καὶ τάναιν κατὰ τὴν
ὑρκανίων πρόοδον καὶ σκυθῶν ἣν ἀλέξανδρος ὁ βασι
λεὺς σιδηραῖς πύλαις κλεισθῆναι ἐποίησε. ὤπασε

ὤπασε. τὸ σε. κοινὴ συλλαβή

τὸ σε. κοινὴ συλλαβὴ καὶ ἔστι μακρόν. τῖφυς ἀθραυ
στον σκάφος καθ' ὃ ἀφῆκε κυβερνήτην τῆς ἀργοῦς τὸν
τῖφυν, ὃς υἱὸς ἦν ἁγνίου. τότε γὰρ ὁ τῖφυς τελευτήσας
ἦν. ἐκυβέρνα δὲ ἀγκαῖος ὁ λυκούργου ἢ κατά τινας
ποσειδῶνος ὥς φησιν ἀπολλώνιος ὁ ῥόδιος ὁ τὰ ἀρ

Tiphys agnij filius

ἰοναυτικὰ γράψας καὶ ἀπολλόδωρος ὁ ἀθηναῖος ἱστορικός. πίνδαρος δὲ πολλῷ παλαιότερος ὢν ἀμφοτέρων τὸ εὔφημον ὡς εἶπον λέγει ἐκ τῆς πρώρας τῆς ἀργοῦς δέξασθαι τὴν βῶλον. ἐπεὶ δὲ πρωρεὺς ἦν ὁ εὔφημος. κατά τινάς τε κυβερνήτης οὐκ ἔχω λέγειν τὸ ἀληθές, πλὴν οὕτω πως φησὶν ὁ πίνδαρος. εὔφημος πρώραθε καταβὰς δέξατο βώλακα δαιμονίαν. Λίβυς λιβύη ἡ χώρα λέγεται ἀπὸ λιβύης τῆς ἐπάφου ἢ μεμφέως θυγατρὸς καθὰ σχεδὸν οἱ πάντες ἱστορικοί φασιν. ἄνδρων ὁ ἁλικαρνασσεὺς ὠκεανόν φησι γῆμαι δύο γυναῖκας παμφολύγην καὶ παρθενόπην ἐξ ὧν τέσσαρας θυγατέρας γεννᾶν τῆς μὲν ἀσίαν καὶ λιβύην, τῆς δὲ εὐρώπην καὶ θρᾴκην, ἀφ᾽ ὧν λέγει κληθῆναι τὰς χώρας./

ex

Libya. asia europa & thracia unde dicte

Ἰχνὰς δὲ σημαίνοντες ἀσβύσται κλέαρ
κρυπτοῦ πέφαντον ἐν χθονὸς νέροις μυχοῖς
ἐν ᾗ κυφαίων δύσμορον στρατηλάτην
ναύτας συνεκβράσουσι βορραῖαι πνοαί
τὸν τεκτάρχην ἔχθρον τερθρηδόνος
ἀφρουσίων σκηπτοῦχον εὐρυαμπίων
καὶ τὸν δυνάστην τοῦ πεσόντος λύκου
ἀποινοδόρπου καὶ πάλιν τυμφρηστίων
ὧν οἱ μὲν αἰγώνειαν ἄθλιοι πάτραν
ποθοῦντες κἠχῖνον ἠδὲ τίταρον
ἶρόν τε καὶ ζίγναν καὶ περραιβικῶν
γόνον φάλανναν τ᾽ ἠδ᾽ ὀλοοσσόνων γύας
καὶ κασθαναίαν ἀκτέριστοι ἐν πέτραις
αἰῶνα κωκύσουσιν ἠλοκισμένοι
ἄλλην δ᾽ ἐπ᾽ ἄλλῃ κῆρα κινήσει θεός,
λυγρὴν πρὸ νόσου συμφορὰν δωρούμενος

/ / / / /

ἀσβύσται
Κύφος
*
Ἄφρυσος ποτα.
Ζωρύναμπος πό.
π. λύκου
Peleus in uenatione inuitus occidit actorē acasti filiū
περὶ τοῦ πηλέως ἱστορίας

ἀσβύσται ἔθνος ἐστὶ λιβυκόν. ἐν ᾗ κυφαίων. κύφος πό-
λις ἐστὶ θετταλίας ὅθεν ἦν γουνεὺς ὡς καὶ ὅμηρος. γουνεὺς
δὲ ἐκ κύφου ἦγε δύο καὶ εἴκοσι νῆας. παλαύθρα πόλις
θεσσαλονική. ἔκγονον τὸν υἱόν, πάντες γράφουσι κ.
τοῦ δὲ υἱοῦ υἱὸν γάμμα. ἐγὼ δὲ ἀντιστρόφως τὸν τοῦ υἱ-
οῦ υἱὸν ἐκ τοῦ γόνου γόνον λέγω. μᾶλλον δὲ τὰ δύο διὰ
.κ. ἐκφέρω. ἔγγονον δὲ ἴσθι τὸν γονὴν ἔχοντα ἤγουν
καὶ τέκνον ἢ δυνάμενον γονοποιεῖν. ἔκγονον μετὰ τοῦ .κ.
γράφεται. ἔκγονον δὲ τενθρηδόνος ἤτοι τὸν υἱὸν τὸν πρό-
θοον λέγει ὡς καὶ ὅμηρος μαγνήτων δ' ἦρχε πρόθοος
τενθρηδόνος υἱός. ἀφρυσίων. ἄφρυσος γὰρ ποταμὸς
μαγνησίας. ζωρυναμπίων τῶν μαγνήτων ἀπὸ πόλεως
ζωρυνάμπου λεγομένης. καὶ τὸν δυνάστην τοῦ πρω-
τοθέντος λύκου τὸν εὐρύπυλον λέγει ὃς ἐβασίλευ-
σε τῶν ἐν θετταλίᾳ τόπων ὅπου ἐστὶ πεδίον λυκίας
καλούμενον τὸ νῦν λεγόμενον λυκοστόμιον. ἐκλήθη δὲ
λύκου πεδίον οὕτω. πηλεὺς ἐν κυνηγεσίῳ ἄκων
ἀνεῖλεν ἄκτορα τὸν ἀκάστου υἱόν, ἔπεμψε δ' ἀκάστῳ
ἄποινα τοῦ φόνου τοῦ παιδὸς βόας καὶ πρόβατα, ἃ
λύκος διέφθειρεν, ὃν ἡ θέτις ἀπελίθωσεν ἐν οἷς εἴπο-
μεν τόποις. ἄλλοι δὲ φασὶν ὅτι τελαμὼν καὶ πηλεὺς
ὥσπερ κατ' ἀρχὰς εἶπον τοῦ βιβλίου τὸν αὐτοῦ ἀ-
δελφὸν φῶκον υἱὸν δὲ ψαμάθης τῆς νηρηΐδος ὄντα
φθονοῦντες ἀνεῖλον, ἡ δὲ ψαμάθη ἔπεμψε τοῖς
βουσὶ τοῦ πηλέως καὶ τοῖς ποιμνίοις λύκον ὃς ἐκεῖ-
να ἐλυμαίνετο. θέτιδος δὲ δεηθείσης ἀπελίθωσε τοῦ-
τον πάλιν ἡ ψαμάθη περὶ οὓς εἴπομεν τόπους. ζήτει
δὲ εἰς τὴν ἀρχὴν τοῦ βιβλίου καὶ ἀκριβῶς πλατύτερον
ἀποινοδόρπου τοῦ λύκου κατὰ τὸν λυκόφρονα τοῦ
φαγόντος τὰ ἄποινα τοῦ πηλέως ὡς εἴπομεν καὶ ὁ μὲν
λυκόφρων γουνέα, πρόθοον καὶ εὐρύπυλον εἰς λίβυν

λιπὼν τὰς ἑαυτοῦ ναῦς ἐλθὼν ἐπὶ Κίνυφα ποταμὸν κατῴκησεν ὥς φησιν οὗτος φησί. Μέγας πρόθοος ἐν Εὐβοίᾳ περὶ τὸν Καφηρέα σὺν πολλοῖς ἑταίροις διαφθείρεται. Νεοπτόλεμος δὲ μετὰ δύο ἡμέρας εἰς Μολοσσοὺς ἀπῆλθε μετὰ Ἑλένου καθόδου τάξας τὸν Φοίνικα. τοῦ δὲ Προθόου περὶ τὸν Καφηρέα ναυαγήσαντος οἱ σὺν αὐτῷ Μάγνητες εἰς Κρήτην ῥιφέντες ᾤκησαν. Τυμφρηστὸς ὄρος Μηλικόν. Αἰγώνεια πόλις Μηλιέων. Ἐχῖνος πόλις Θετταλίας. Τίταρος ὄρος ἢ πόλις Μηλιέων. Ἶρος τόπος Θετταλίας ἢ Ζηχίνα ὁμοίως. Γόνος ἡ λεγομένη Γονοῦσα. ἔστι δὲ ἡ πόλις Περαιβῶν. οἱ δὲ Περαιβοὶ ἔθνος ἠπειρωτικόν. Φάλανος ἢ Ὀλοοσσὼν πόλεις ἢ ὄρος ἢ Θετταλίας. ἡ δὲ Ὀλοοσσὼν νῦν Ἐλασσὼν λέγεται. Γύας χώρας ἀγρούς. τὸ δὲ γύης μετὰ τοῦ ι ἢ χωρὶς τοῦ ι γραφόμενον ἄπταιστον ἐν τῷ μέτρῳ ἐστί. Κασανάια πόλις Μαγνησίας τῆς Θετταλικῆς.

Τυμφρηστός
Αἰγώνεια
Ἐχῖνος
Τίταρος
Ἶρος
Ζηχίνα
Γόνος
Περαιβοί
Φάλανος
Ὀλοοσσών
Κασανάια

Τὸν τ' Αἰσάρου τε ῥεῖθρα καὶ βραχύπτολις
Οἰνωτρίας γῆς Κεγχρίνη βεβρωμένον
Κρίμισα φῖτρον δέξεται μιαιφόνον
αὐτὴ γὰρ ἄκρον ἄρδιν ἐκθυμῷ χεροῖν
σάλπιγξ ἀποψάλλουσα Μαιώτην πλόκον
Σύρα παρ' ὄχθαις ὅς ποτε φλέξας θρασὺν
λέοντα ῥαιβῶν γρᾶς ὥπλισε σκύθη
δράκοντ' ἀφύκτων γομφίων λυροκτύπων
Κρᾶθις δ' ὁ τύμβους ὄψεται δεδουπότος
εὐρὰξ Ἀλαίου Παταρέως ἀνακτόρων
Ναύαιθος ἔνθα πρὸς κλύδων' ἐρεύγεται

Τὸν δ' Αἰσάρου τε ῥεῖθρα· τὸν Φιλοκτήτην τὸν φονέα τοῦ Ἀλεξάνδρου δέξονται τὰ ῥεῖθρα τοῦ Αἰσάρου ποταμοῦ

Αἴσαρος ποταμός.

Κρίμισα
Crotō

τοῦ Κρότωνος. καὶ ἡ Κρίμισα ἡ μικρὰ πόλις τῆς Οἰνωτρίας καὶ Ἰταλικῆς γῆς. μετακληθεὶς γὰρ ἐκ Λήμνου Φιλοκτήτης τῶν Ἑλλήνων κατὰ μὲν Ὀρφέα ὑπὸ Μαχάονος ἰᾶται τῇ ὀφιώδει πληγῇ, κατὰ δὲ ἑτέρους καὶ Διονύσιον ὕπνον αὐτῷ ἐνέβαλεν Ἀπόλλων λουσαμένῳ, καὶ οὕτω τεμὼν αὐτὸν ὁ Μαχάων καὶ ἐπικλύσας οἴνῳ ἐπιθεὶς βοτάνην ἐποίησεν ὑγιῆ. ἐκεῖ δὲ ἐν Λήμνῳ πρώην δηχθεὶς ὑπὸ ὄφεως ὕδρας τοῦ Ἐγχύδρου λεγομένου ὅτε ἐκάθαιρεν ἐν Χρύσῃ τὸν κεχωσμένον βωμὸν τῆς Ἀθηνᾶς. οἱ δέ φασιν ὅτι Χρυσή νύμφη τις ἠράσθη ἐκεῖ τοῦ Φιλοκτήτου. μὴ πεισθέντος δὲ αὐτοῦ συγγενέσθαι αὐτῇ, τῇ ταύτης ὀργῇ ὑπὸ τοῦ λεγομένου ὕδρου ἐδήχθη. γενομένου δὲ τοῦ Πριάμου παιδὸς ὄντος καὶ μόνου αὐτομολήσαντος τοῖς Ἕλλησι καθά φησιν Ὀρφεύς τε καὶ Πυθόδωρος, ἢ ὥς φησι Σοφοκλῆς ἐνεδρευθέντος καὶ κατασχεθέντος ὑπὸ Ὀδυσσέως, καὶ εἰπόντος μὴ ἄλλως τοὺς Ἕλληνας πορθῆσαι τὴν Τροίαν εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνέγκωσι καὶ τὸν υἱὸν Ἀχιλλέως Νεοπτόλεμον καὶ τοῦτον τὸν Φιλοκτήτην, ἤγαγον ἅπαντας. οὗτος δὲ ὁ Φιλοκτήτης ἀντιστάντα αὐτῷ Ἀλέξανδρον πρὸς τόξα ἀντιτοξεύσας αὐτὸν πρῶτον μὲν κατὰ λαιὰν χεῖρα, εἶτα τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν ἐκβαλών, καὶ τρίτον τοὺς πόδας βαλὼν ἀνεῖλε. μετὰ δὲ τὴν Ἰλίου πόρθησιν Μενεσθεύς, Φείδιππός τε καὶ Ἄντιφος καὶ Ἐλεφήνωρ καὶ Φιλοκτήτης μέχρι Μίμαντος κοινῇ ἔπλευσαν. εἶτα Μενεσθεὺς μὲν εἰς Μῆλον ἐλθὼν βασιλεύει τοῦ ἐκεῖ βασιλέως Πολυάνακτος τελευτήσαντος. Ἄντιφος δὲ ὁ Θεσσαλοῦ εἰς Πελασγοὺς ἐλθὼν καὶ τὴν χώραν κατασχὼν Θεσσαλίαν ἐκάλεσε. Φείδιππος δὲ μετὰ Κῴων ἔξωθεν περὶ τὴν Ἄνδρον, εἶτα περὶ Κύπρον ἐκεῖ κατῴκησεν. Ἐλεφήνορος δὲ ἀποθανόντος ἐν Τροίᾳ οἱ σὺν

Chrysa urbs lemni

Φιλοκτήτου ἱστορία

Helenus priami f. grecorū partes secutus

Necessaria ad troie euersionem
Ossa pelopis
Neoptolemus
Philoctetes

Μενεσθεύς
Ἄντιφος
Φείδιππος
Ἐλεφήνωρ

Thessalia unde sic dicta

Polyanax rex

Δ Melos una ex cycladibus · lege Steph.

αὐτῷ ἐξελθόντες περὶ τὸν ἰόνιον ἀπολλωνίαν ὤκησαν
τὴν ἐν κύπρῳ. καὶ οἱ τοῦ τληπολέμου προσίασι κρή-
τῃ, εἶτα ὑπ' ἀνέμων ἐξωσθέντες περὶ τὰς ἰβηρικὰς
νήσους ὤκησαν. ἐν δὲ πινδάρου ἱστορίαις εὗρον ὅτι
οἱ τοῦ τληπολέμου ἀπεσώθησαν εἰς ῥόδον τὴν αὐτοῦ
πατρίδα καὶ ἡ γυνὴ τληπολέμου φιλοζόη μεγάλως δα-
κρύουσα ἀγῶνας ἐπὶ τῷ ταύτης ἀνδρὶ ἔθετο καὶ παῖ-
δες ἠγωνίζοντο καὶ οἱ νικῶντες φύλλοις ἐστέφοντο. Οἱ
τοῦ πρωτεσιλάου εἰς πελλήνην ἀπερρίφησαν πλησί-
ον πεδίου κανάθεος. φιλοκτήτης δὲ ἐξωσθεὶς εἰς ἰταλίαν
πρὸς καμπανοὺς καὶ πολεμήσας λευκανοὺς πλησίον
κρότωνος καὶ ⊡ θουρίου κρίμισαν κατοικεῖ. καὶ παυ-
θεὶς τῆς ἄλης ἀλαίου ἀπόλλωνος ἱερὸν κτίζει, οὗ
καὶ τὸ τόξον αὐτοῦ ἀνέθετο ὥς φησιν εὐφορίων. οὗτοσὶ
δὲ ὁ φιλοκτήτης. πρὸ γὰρ τοῦ πορθηθῆναι εἰς ἴλιον, ἐκ
πελλήνης ἀχαϊκῆς πόλεως τινὲς ἐλθόντες εἰς ἰταλίαν
κατῴκησαν, μετὰ δὲ τὴν ἰλίου πόρθησιν πλέοντες οἱ
ῥόδιοι ἦλθον ἐκεῖ καὶ ἐπολέμησαν πρὸς τοὺς ἐκ πελλή-
νης μετοίκους. οἷς ῥοδίοις βοηθῶν φιλοκτήτης ἀναιρεῖ-
ται. Οἰνωτρίας γῆς ἔνθα νῦν ἡ ῥώμη ἐστὶ χωρίον ἦν πρῶ-
τον λεγόμενον οἰνωτρία καθὰ διονύσιος καὶ δίων καὶ κοκκεια-
νὸς οἱ τὰ ῥωμαίων γράψαντες ἱστοροῦσι. Κεγχρίνη
βεβρωμένον. τὸν φιλοκτήτην τὸν δηχθέντα ἐν χρύ-
σῃ καὶ λήμνῳ ὑπὸ ὄφεως ὕδρας, εἶδος ὄφεως εἶπεν ἀν-
τὶ εἴδους. καὶ γὰρ εἶδος ὄφεως καὶ ὁ ὕδρος καὶ ὁ κεγχρῖνος ὁ-
μοίως ὅντινα ὁ λυκόφρων καὶ κεγχρίνην ὠνόμασεν. ὅτι
δὲ ταῦτα εἴδη ὄφεών ἐστι νίκανδρος λέγει. ὕδρον μιν κα-
λέουσι μετεξέτεροι δὲ χέλυδρον καὶ πάλιν μετὰ τοῦ κεγ-
χρίνου δήεις κεγχρίνῳ δολιχὸν τέρας ὄντα λέοντα, ἀντ-
εδέξαντο πτερίσιχον θηλύδεσσι. Φιξοῦ μιαιφόνον τὸν
φονέα τοῦ ἀλεξάνδρου καὶ ἐρρέθη. φίξον δὲ τὸν ἀλέξαν-

Apollonia cypri
ιγ οἱ τοῦ τληπολεμ
Pindari historiae
Philozoe Tlepolemi u
οἱ τοῦ πρωτεσιλάου
Halaei apollinis templum
ἀναιρεῖται
puto corrigendum πορθηθῆναι τὴν ἴλιον
φιλοκτήτου τελευτή.
ὕδρος
κεγχρῖνος

⊡ emendo θουρίου ex Stephano. cuius uerba κρίμισα φρου[ριον] πόλις ἰταλίας πλησίον κρότωνος καὶ θουρίου.

διὰ τὸν δαλὸν τὸν φανέντα τῇ ἑκάβῃ φησί. αὕτη γὰρ
ἡ ἀθηνᾶ, τὴν ἄρδιν ἡ σάλπιγξ. ἡ πολεμική τὴν
ἄρδιν. ἢ τὸ βέλος τοῦ φιλοκτήτου λέγει ὥς καὶ
τοῦ ἀλεξάνδρου λέγει ὅτι ἐν χεροῖν αὐτὸ ψάλλ-
ουσα. ἢ κινοῦσα τὸν μαιώτην πλόκον. ἢ τὴν

ψάλλουσα

νευρὰν τοῦ τόξου τοῦ φιλοκτήτου ὅπερ τόξον ὁ σκύ-
θης ὁ τεύταρος τῷ ἡρακλεῖ ἐχαρίσατο κατὰ τὸν λυ-
κόφρονα, διδάξας αὐτὸν καὶ τὴν τοξικήν. ὁ δὲ φιλοκτή-

Scytha teutarus

της καύσας καὶ θάψας τὸν ἡρακλῆν πλησίον τοῦ δύρα
ποταμοῦ ζαχινῖ ἔλαβεν αὐτὸ εἰς ἀμοιβὴν τοῦ χθ[illegible]
που. τὴν δὲ περὶ τοῦ θανάτου ἡρακλέους ἱστορίαν ἐν τῷ
ὄπισθεν πλατέστερον. δύρα παρ' ὄχθαις. οὕ-
τως συντακτέον. ὅς ὁ φιλοκτήτης περὶ τὰς ὄχθαις τοῦ
δύρα ποταμοῦ φλέξας. ἢ καύσας τὸν θρασὺν λέ-
οντα. ἢ ἡρακλέα τὸν λυροκτύπην. ἢ τοξικὸν δίκην
λύρας τὴν νευρὰν τοῦ τόξου κτυποῦντος ὥπλισε
τὰς χεῖρας αὐτοῦ ἐν τῷ ῥαιβῷ σκυθικῷ δράκοντι. ἤ-
τοι τὸ τόξον τῶν ἀφύκτων γομφίων ἢ βελῶν οὐ γὰρ
ἤσχυνε ποτέ. ἢ δίχα τοῦ. ν. λυροκτύπῳ συντακτέ-
ον ὥπλισε δὲ τὰς χεῖρας ἐν τῷ ῥαιβῷ σκυθικῷ δρά-
κοντι τῷ λυροκτύπῳ τῶν ἀφύκτων γομφίων. ῥαιβὸν
λέγει διὰ τὸ ἀγκύλον τοῦ τόξου, δράκοντα διὰ
τὸν συριγμὸν τῶν βελῶν. γόμφοι κυρίως οἱ μυλαῖοι ὀδ-
όντες καὶ οἱ ἧλοι, νῦν δὲ τὰ βέλη φησιν. κρᾶθις ἐκ
πλαγίου πλευρᾶς καὶ ἐξ αὐτοῦ κρᾶθις. ἀλαίου τό-
πον. παταρέως ἢ πατρέως τὸ αὐτὸ ἐστὶ γραφόμενον
καὶ οὔτε ἔννοια οὔτε μέτρον λυμαίνεται. ναύαιθον
ναύαιθος ποταμὸς ἰταλίας. ἐκλήθη δὲ οὕτω κατὰ
μὲν ἀπολλόδωρον καὶ τοὺς λοιπούς. αἱ λαομέδοντος
θυγατέρες πριάμου δὲ ἀδελφαί. αἴθυλλα. ἀστυόχη
μηδεσικάστη μετὰ τῶν λοιπῶν αἰχμαλώτων ἐκεῖ

δύρας ποταμοῦ

ῥαιβόν

γόμφοι

κρᾶθις

γεγονέναι τῆς ἰταλί(ας) τὰ σκάφη ἐνέπρησαν, ὅθεν ποταμὸς ναύ-
αιθος ἐκλήθη καὶ αἱ γυναῖκες ναυπρήστιδες. οἱ δὲ σὺν αὐ-
ταῖς τρῶες εἰς τὰ σκάφη ἐκεῖ κατῴκησαν. πλούταρχος
δὲ λέγει ῥώμην εἶναι αἰχμάλωτον τρωϊκὴν συμβουλεύσα-
σαν ταῖς λοιπαῖς καῦσαι τὰς τρώων ὁλκάδας. ὁ δὲ λυ-
κόφρων οὗτος σίταιαν εἶναι ταύτην φησί

ναύαιθος πο-
ταμός

Κτενοῦσι δ' αὐτὸν αὔσονες ~~αὔσονες~~ πελλήνιοι
βοηδρομοῦντα, λινδίων στρατηλάταις
οὓς τῆλε θερμύδρου τε καρπάθου τ' ὀρῶν
πλανῆτας αἴθων θρακίας πέμψει κύων
ξένην ἐποικήσαντας ὀθνείαν κόνιν
ἐν δ' αὖ μακάλλοις σηκὸν ἔγχωροι μέγαν
ὕπερ τάφων δείμαντες αἰανῆ θεὸν
λοιβαῖσι κυδανοῦσι καὶ θύσθλοις βοῶν

αὔσονες πελλήνιοι οἱ ἐν ἰταλίᾳ οἰκήσαντες ἐκ πελλήνης
ὡς εἶπον. βοηδρομοῦντα, λινδίοις συμμαχοῦντα, ὡς εἶπον
τοῖς ῥοδίοις. λίνδος γὰρ ἰήλυσος καὶ κάμειρος πόλεις εἰσὶ
ῥόδου ἀπὸ τῶν ἐγγόνων ἡλίου καὶ ῥόδης καὶ ποσειδῶνος. θερ-
μύδρου. θέρμυδρος ~~ἀπὸ~~ λιμὴν ῥοδίων, κάρπαθος πό-
λις ῥόδου, πλανῆτας ἐνταῦθα γράφειν δεῖ καὶ οὐ πλανήτας,
τὸ γὰρ ας μακρόν, ὡς βραχὺ κατὰ κλινὴν συλλαβήν. αἴ-
θων θρακίας κύων. λέγει δὲ τὸν βορρᾶν ἐπεὶ καθ' ὅμηρον ἐκ
τῶν ἀρκτικῶν μερῶν τῆς θράκης πνεῖ. φησὶ γὰρ βορέας καὶ ζέ-
φυρος τώ τε θρήκηθεν ἄητον ~~ἄητον~~, ὁ δὲ περιηγητὴς δι-
ονύσιος καὶ τὸν τόπον τῆς θράκης φησὶν ὅθεν ὁ βορρᾶς πνεῖ,
τὴν ἴσμαρον ἤτοι τὴν μαρώνειαν αὐτὴν λέγων. λέγει γὰρ οὕτω
οἱ ἰσμαρικοῦ πνοιῇσιν ἐλαυνόμεναι ὀρθὸν φυσιόωντος
ἐπεὶ κατέναντι κεῖται. μάκαλλα πόλις ἰταλική ὅπου
τάφος καὶ ἱερὸν φιλοκτήτου ἀξιενόμενος παρὰ τῶν

λίνδος
ἰήλυσος
κάμειρος
θέρμυδρος
κάρπαθος

μάκαλλα

* τῶν ἐγχωρείων καὶ θυσίας βοῶν γινομένας παρὰ τῶν ἐγχωρείων
ὥσπερ ὁ θεὸς αἰώνιος ὑπῆρχεν

ὁ δ' ἱπποτέκτων λαγαρίας ἐν ἀγκάλαις
ἔγχος πεφρικὼς καὶ φάλαγγα δουρίαν
πατρῷον ὅρκον ἐκτίνων ψευδώμοτον
οὗ ἀμφὶ ~~μήλων~~ μήλων τοῦ δορυκτήτου τάλας
φύρκου κομαιθοῦς συμπεφρασμένων στρατῷ
στερρῷ ξυνευνῶν οὕνεκεν νυμφευμάτων
ἀλοιτὶν ἔτλη τὴν κυδωνίαν θρασὼ
ὁρκωμοτῆσαι τοῦ τε κρησάνης θεοῦ
κανδάου ἢ μάμερτος ὁπλίτην λύκον
ὁ μηδὲ ἐντὸς δελφύος στυγνὴν μάχην
στήσας ἀραγμοῖς πρὸς κασίγνητον χεροῖν
οὔπω τὸ τιτοῦς λαμπρὸν αὐγάζων φάος
οὐδ' ἐκφυγὼν ὠδῖνας ἀλγεινὰς τόκου
τοιγὰρ πόποι ψύξουσιν ἤνδρωσαν γόνον
πύκτην μὲν ἐσθλὸν πτῶκα δ' ἐν κλόνῳ δορὸς
καὶ πλεῖστα τέχναις ὠφελήσαντα στρατὸν
ὃς ἀμφὶ χεῖριν καὶ κυναιστάρνου γένος
ἔπηλυς οἴκους τηλεβάσεται πάτρας
τὰ δὲ ξυλεργὰ τοῖσι τεξύνας βρέτας
τεύξει ποτ' ἐγχώροισι μισητὸν βλάβην
καθιερώσει μυνδίας ἀνακτόροις

Ὁ δ' ἱπποτέκτων. ὁ νοῦς οὕτως ἔχει. ὁ δὲ ἐπειὸς ὁ τὸν δούρειον ἵππον κατασκευάσας τοῖς ἕλλησιν εἰς πόρθησιν τῆς ἰλίου ὁ δειλὸς ὁ ἄνανδρος γεγονὼς διὰ τὸ ψευδορκῆσαι τὸν πατέρα αὐτοῦ πανοπέα τὴν ἀθηνᾶν καὶ τὸν ἄρεα ὅτε συνεστρατεύετο ἀμφιτρύωνι ἐπὶ τηλεβόας τοὺς διὰ τὸ πρὸς
* ἀλκμήνην τοῦ ἀμφιτρύωνος. ὁ τόδε καὶ τόδε ποιήσας πα-
νοπεύς

καὶ διὰ τοῦτο γεννήσας δειλὸν τοῦδε τὸν ἐπειὸν πύκτην δὲ ἄρι
στον καὶ μηχανικόν, οὗτος ὁ ἱπποτέκτων ἐπειὸς τὴν λαγ
αρίαν πόλιν οἰκήσας πλησίον τοῦ κυλιστάρνου ποτα
μοῦ τὰ δὲ ἐργαλεῖα καθιερώσας τῷ ναῷ τῆς ἰλαγικῆς
ἀθηνᾶς, ἐκεῖνα τὰ ἐργαλεῖα μεθ' ὧν κατασκευάσας
τὸν δούρειον ἵππον ἐκεῖν τοῖς ἐγχωρείοις φωσὶ ποιήσας
βλάβην, καὶ κασάνδρα ἢ ὁ λόγος ὡς ἀπὸ τῆς κασάνδρας
τοῦτο φησί. ἡ δὲ σύνταξις οὕτως. ὁ δὲ ἱπποτέκτων ἐ
πειὸς, ὃς καὶ οὗτος ἀμφὶ κίριν καὶ λυκιστάρνου γάνος. ἤγουν ὕ
δωρ ἔπηλυς. ἤγουν ξένος, νάσσεται. ἤγουν κατοικήσει οἰκοῦντι — Ἐπ — Epeus phocensis quod
λε τῆς πατρίδος αὐτοῦ φωκίδος ~~ἐν ταῖς λαγαρίαις~~ — & theocritus affirmat
~~πόλει~~ ἐν ταῖς λαγκάραις τῆς πόλεως λαγαρίας ἤτοι ἐν — in [illegible]
τῇ λαγκαρίᾳ πόλει, τὰ δὲ βρανθα καθιερώσει τοῖς
ναοῖς τῆς μύνδης ἤτοι τῆς ἀθηνᾶς. ποῖα βρανθα; ἐν οἷς
τεύξει ποτὲ τοῖς ἐγχωρείοις μοῦ φωσὶ μέμψον βλάβην.
τί ποιήσας τεύξει βλάβην. τεχνάνας γυπώσας καὶ — βρέτας
κατασκευάσας τὸ βρέτας ἤγουν τὸ εἴδωλον ἤτοι τὸν δούρει
ον ἵππον ὁ ἱπποτέκτων. ἤγουν ἐπειὸς ὁ ποδαπός; ὁ
πεφρικὼς ὁ φοβούμενος τὸ ἔγχος καὶ τὴν φάλαγγα τὴν
θουρίαν, διὰ τί δὲ πεφρικὼς ταῦτα καὶ δειλὸς ὑπῆρχεν;
ἐκτίνων. ἤγουν ἀποδιδοὺς τοῦ πατρὸς αὐτοῦ πανοπέως τὸν
ψευδόρκον ὅρκον, ὅντινα ὅρκον ὁ πατὴρ ἔτλη ὁρκωμοτῆσαι
εἰς τὴν ἄζοιτιν κυδωνίαν θρασὼ τὴν ἀθηνᾶν, ἧς τῶν τῆς
κρηστώνης τε θεοῦ ἄρεα τὸν τοῦδε καὶ τόνδε, ἤγουν ἀμφὶ τῶν
πάλας τῶν δορυκτήτων μήλων, ποίων μήλων καὶ προ
βάτων τῶν ὑπαρχόντων ἀπὸ τῶν πύργων τῆς κυμαιθοῦς
συμπεφυρμένων. ἤγουν ἐπικοίνων τῷ στρατῷ. γενομένων
δὲ τῶν προβάτων ἐπικοίνων τῷ στρατῷ ἤτοι ληϊσθέντων
ἕνεκα τῶν νυμφευμάτων τοῦ ἀμφιζύγωνος τῶν στερρο
ξωνεύνων. ἤγουν πόθον ἐχόντων πρὸς τὴν ξύνευνον ἀλκμ
ήνην. ἔτλη ὁρκωμοτῆσαι τίς; αὐτὸς ὁ πανοπεύς

ὁ αὐτῇ ἱστορεῖ τὸν μῦθον πρὸς τὸν ἀδελφὸν αὐτοῦ κρίσον ἀν
τιπλήξασας χερσὶ πρὸ τοῦ γεννηθῆναι καὶ ἰδεῖν τὸν ἥλιον
τοιγὰρ καὶ διὰ τὸ ὁρκ [illegible] οἱ θεοὶ τὸν ~~πρὸς~~
ἄνδρον υἱὸν αὐτοῦ ἐπειὸν ἀνδρώσαν ἄνδρα ἐποίησε
ξύφηλιν δειλὸν τυχεῖν μὲν καὶ πύγμαχον ἐσθλόν. πτω
κας δὲ δειλὸν ἐν κλόνῳ μάχη δορὸς καὶ πάντα
ὠφελήσαντα τὸν στρατὸν ἐν τέχναις καὶ μηχαναῖς. ἔχεις
δὲ τὴν σύνταξιν, λεκτέον δὲ καὶ τὴν ἱστορίαν, ἱπποτέκτων
ὁ πανοπέως υἱὸς ἐπειὸς ἐποίησε τὸν δούρειον ἵππον εἰς
ὃν πεντήκοντα, καὶ χίλιοι [illegible] ἄνδρες ἐλθόν
τες ἥρωες ἐκάθηντο. ἑλκυσθέντος δὲ τοῦ ἵππου παρὰ τῶν
τρώων ἔσω τοῦ τείχους νυκτὸς ἐξελθόντες καὶ φρυκτὸν δείξαν
τες τοῖς λοιποῖς ἥρωσιν οὖσιν ἐν τενέδῳ ἐλθοῦσι ἦλθον
τὸ ἴλιον πορθοῦσι. λαγαρία πόλις ἰταλική. ἔχθος πε
φρικὼς δειλὸς γὰρ ἦν ἐπειὸς, ἄριστος δὲ πύγμαχος
ταξεῶν ὀρχηστὴν ἐκτίνων ἀποδιδοὺς ποινὴν διὰ τὴν ψευ
δορκίαν τοῦ πατρὸς αὐτοῦ πανοπέως. ἡ δὲ ἱστορία τοιαύ
τη. μήστορος καὶ λυσιδίκης τῆς πέλοπος θυγατρὸς
ἱπποθόη, ἧς καὶ ποσειδῶνος τάφιος καὶ τηλεβόας. τῆς
πατρίδος τοὺς ὑπ' αὐτοῦ ὄντας ἐν ταῖς ἐχινάσι νήσοις
τηλεβόας ὠνόμασε. ταφίου δὲ υἱὸς πτερέλαος, ὃν ἀθά
νατον καὶ ἀπαθῆ ἐποίησε ποσειδῶν ἐὰν ἐν τῇ
κεφαλῇ αὐτοῦ ἡ χρυσῆ θρὶξ πεπαρμένη καὶ οὐ τμηθῇ
ἣν αὐτῷ ἐχαρίσατο. τούτου τοῦ πτερελάου θυγάτηρ ὑ
πῆρχε κυμαιθὼ καὶ ἄρρενες παῖδες χρόμιος, τύρα
ννος. ἄμπηλος. χερσιδάμας. μήστωρ. εὐήρης.
ἠλεκτρύωνος δὲ βασιλεύοντος σὺν τῇ γυναικὶ ἀναξοῖ τῶν
μυκηνῶν ἦν καὶ παῖδες ἀλκμήνη μὲν θυγάτηρ, υἱοὶ
δὲ στρατοβάτης, γοργοφόνος. φυλόνομος. κελαινεφής
καὶ ἕτεροι, καὶ λικύμνιος νόθος ἀπὸ μηδείας φρυγίας,
ἦλθον πρὸς αὐτὸν τὸν ἠλεκτρύωνα εἰς μυκήνας τάφιοι

Teleboae populi echinadu insularum

[Margin notes:]
ξύφηλις
Κλόνος
ἐπειός
Mnestor ex lysidice
Hippothoē
Taphius
De bello Amphitryonis contra Teleboas & eorum regem pterela historia
Pterelas rex Taphij f.
Cymetho
Chronnius
Torannus
Ampelus
Chersidamas
Mnestor
Eueres
Electryō
Alcmene
Strobatē
Gorgophonus
Philonophus
Celenephes
Medea phrygia lycimnij mater

καὶ πτερέλου παῖδες ἀπαιτοῦντες τὴν βασιλείαν μυκηνῶν,
ἠλεκτρύωνος δὲ μὴ προσέχοντος αὐτοῖς ἐλάσαντες βόας
αὐτοῦ ἀπήρχοντο, συμβαλόντων δὲ τῶν ἠλεκτρύωνος παί
δων ἀλλήλοις, πάντες ἀνῃρέθησαν σωθέντες ἐκ μὲν τῶν ἠ
λεκτρύωνος παίδων λικύμνιος, ἐκ δὲ τοῦ πτερέλου εὐ
ήρης. οἱ δὲ τάφιοι τοὺς βόας πολυξένῳ τῷ ἠλείων παρέ
θεντο βασιλεῖ. ἀμφιτρύων δὲ παρὰ πολυξένου λαβὼν — ἀμφιτρύων
ἦκεν εἰς μυκήνας. ἠλεκτρύων δὲ θέλων ἐκδικῆσαι τοῖς
παισὶ παραδοὺς ἀμφιτρύωνι θυγατέρα καὶ τὴν βασιλεί
αν στρατεύειν ἔμελλε ἐπὶ τοὺς τηλεβόας, ἐν δὲ τῷ αὐ
τὸν παραλαμβάνειν τὰς βοῦς μιᾶς ἐπανισταμένης, ἀ
φεὶς ἐπ' αὐτὴν ῥόπαλον ἀμφιτρύων, ἀνεῖλεν αὐτόν. ἀπο — ἀμφιτρύων ἀνεῖλε ἠλεκτρύωνα
κρουσθέντος ἐκ τοῦ κέρατος τοῦ ῥοπάλου καὶ πλήξαντος
αὐτόν. ὅθεν καὶ σθένελος μυκηνῶν διώξας αὐτὸν τὸν ἀμ
φιτρύωνα βασιλεύει μυκηνῶν καὶ τίρυνθος, αὐτὸς δὲ — σθένελος
ὁ ἀμφιτρύων παρὰ κρέοντι ἐν θήβαις τοῦ φόνου καθ
αίρεται. καθαρθεὶς δὲ σὺν κρέοντι καὶ κεφάλῳ καὶ πα
νοπεῖ κατὰ λυκόφρονα, καὶ σὺν ἑτέροις τὰς ταφίων
νήσους πολεμῶν ἑλεῖν οὐκ ἠδυνήθη ἕως ἐρασθεῖσα
ἀμφιτρύωνος ἢ κεφάλου κομαιθὼ ἡ θυγάτηρ πτερέλου
ἀπέτεμε τὴν τοῦ πτερέλου τοῦ πατρὸς αὐτῆς χρυσῆν
τρίχα, καὶ ἀνεῖλεν αὐτόν, σχὼν δὲ ἀμφιτρύων τὰς νήσους — Cephalenia insula unde dicta
κεφάλῳ δίδωσιν ὃς οἰκήσας ἐν ταύταις κεφαληνίαν
αὐτὴν ἐκάλεσεν, ἐν τοσούτῳ τὴν πρὸς τοὺς ταφίους
μάχην πρὸ τῆς συμβολῆς τοῦ πολέμου φησὶν ὁ
πᾶσιν ἱστορικοῖς ἐναντιούμενος λυκόφρων ὅτι ὥρκωσε
ἅπαντας ἄρεα καὶ ἀθηνᾶν μηδὲν ἀποκρύψαι τῶν
λαφύρων, μόνος δὲ παραβὰς τοὺς ὅρκους ὁ πανο
πεὺς καὶ κρύψας τι τῶν λαφύρων τούτου ἕνεκα δει
λὸν παῖδα τὸν ἐπειὸν ἐγέννησε. ἀγροῖτις. κυδω
νία καὶ θρασώ. ἐπίθετα ἀθηνᾶς καὶ ἀρτέμιδος.

δίκτυννα
ὀρθωσία
Κρηστώνη
Κανδάων

δικτύννα παρὰ κρησίν ἡ τῆς παρὰ θραξίν, ὀρθωσία παρὰ ἀρ-
κάσιν ἀπὸ ὄρους ὀρθωσίου ἀρκαδικοῦ. Κρηστώνης
θεοῦ Κρηστώνη ἡ θράκη, ὅθεν θρακικὸς ὁ ἄρης, ὅτι τὸ
παλαιὸν ~~ἄρεα~~ πολεμικοὶ οἱ θρᾶκες. Κανδάων ἐστὶ
θετὸν ἄρεος παρὰ τὸ καίνειν καὶ δαίειν. μάμερτος ὁ
ἄρης ἐστίν, ἡ δὲ λέξις ῥωμαϊκή ὁ δὲ βάρβαρος οὗτος
λυκόφρων οὐ κορεσθεὶς τοῖς λοιποῖς καὶ ῥωμαϊκοῖς γράφει.
ῥωμαῖοι γὰρ τοὺς πολεμικοὺς μαμερτίνους καλοῦσιν,
ὡς ἱστορεῖ που καὶ διόδωρος καὶ δίων οὐ γὰρ ἀκριβῶς με-
μνημαι γράφων οὕτω πως, μεσσηνίους κατακόψαντες
ὑποδεξαμένους αὐτοὺς κατέσχον μεσσήνην καὶ μαμερτίνους
ἑαυτούς ὠνόμασαν τουτέστι πολεμικούς. μάμερτος
γὰρ ὁ ἄρης παρὰ ῥωμαίοις καλεῖται καὶ πυρῖνος παρὰ
τοῖς αὐτοῖς ὥς φησι πλούταρχος. Λαγαρία πόλις
ἰταλίας ἀπὸ λαγάριδος κομέως ἐκεῖ νέμοντος. ὁ μι-
κρὸς αὐτὸς ὁ πανοπεὺς ὁ αὐτὸς τῆς μηζικῆς δελφύος
ἡ μήτρας συλλαβὼν μάχην τῷ ἀδελφῷ αὐτοῦ κρίσῳ.
οὗτοι γὰρ φώκου καὶ ἀστεροδίας ὄντες υἱοὶ ἐν τῇ μήτρᾳ
καὶ γαστρὶ διεμαχέσαντο ὡς καὶ ὁ φάρες καὶ ὁ ζαρὰ καὶ
προῖτος καὶ ἀκρίσιος οἱ ἄβαντος, ἴτους τῆς μήτρας
ὥς φησι καλλίμαχος. πόποι οἱ θεοί ἡ λέξις δρυ-
όπων. Κύλις καὶ κυλίσρανος ποταμοὶ ἰταλίας
βρέτας τὸ ἀνθρώπινον εἴδωλον καὶ ἡ εἰκὼν παρὰ τῷ βρο-
τῷ ὅμοιον εἶναι. οὗτος δὲ βρέτας κατασκευάσας τὸν
δούρειον ἵππον εἶπεν.

μαμερτινοί. i.
martij

μαμερτὸς ἄρης
παρὰ ῥωμαίοις
καλεῖται. hoc est
mars

δελφύς. ἡ. μήτρα

πόποι. οἱ. θεοί
pro homero & alijs

Κύλις
Κυλίσρανος
Βρέτας

Ἄλλοι δ' ἐνοικήσουσι σικανῶν χθόνα
πλακτοὶ μολόντες ἔνθα λαομέδων ζεύγλας
ναύταις ἔδωκε φοινοδάμαντος κόρας,
ταῖς κητοδόρποις συμφοραῖς δεδειμένος
τυχοῦ προθεῖναι θηρσὶν ὠμισταῖς βοράν

μολόντες ἐς γῆν ἕσπερον λαιστρυγόνων
ὅπου συνοικεῖ δαψιλὴς ἐρημία

Σικανοὺς τοὺς σικελοὺς ἐδέξαντο πάντες. ἄλλοι δὲ μέρος τι σικελῶν τὴν σικανὴν πόλιν φασὶν οὖσαν περὶ ἀκραγαντίνους κειμένην. Φοινοδάμαντος ἕδρας. Φοινοδάμας τις γέρων περὶ οὗ ~~περὶ οὗ~~ καθ' ἀρχὰς ἔφημεν συνεβούλευσε τοῖς τρωσὶν ἐκθεῖναι ~~τοῖς τρωσὶν~~ τὴν ἡσιόνην τῷ κήτει. ὀλιγωρούμενος περὶ τῶν θυγατέρων αὐτοῦ τῶν τρωῶν μὴ αὐτὰς ἐκθῶσι, καὶ ἐπίσης τοῦτο πεποιηκέναι, ὁ δὲ λαομέδων μηνιῶν τῷ φοινοδάμαντι ἔδωκε τὰς θυγατέρας ἐκείνου ναύταις ἐν σικελίᾳ θηρσὶ βοράν. οὗ γενομένου κατὰ γνώμην ἀφροδίτης ἐσώθησαν. ὧν τῇ μιᾷ ἐν μορφῇ κυνὸς ὁ κριμισὸς ποταμὸς ἐμίγη καὶ ἐγέννησε τὸν ἔγεστην, ὃς ἔκτισε τρεῖς πόλεις ἐν σικελίᾳ, τὴν ἀφ' ἑαυτοῦ ἔγεσταν καὶ ἔρυκα, καὶ ~~ἔρυκα~~ εὔξυλλαν ἢ καὶ ἄταμαν ἀπὸ τῆς γυναικὸς τῆς ἐκεῖσε. Ταῖς κητοδόρποις συμφοραῖς ταῖς θλίψεσι τῷ ἕνεκα τοῦ μέλλειν δίδοσθαι τὴν ἡσιόνην δόρπον. ἤτοι δεῖπνον τῷ κήτει. ὅτε γὰρ καὶ οὐ κατεβρώθη ἀλλ' οὖν ἐξετέθη ἡρακλῆς δὲ αὐτὴν ἔσωσεν ἀνελὼν τὸ κῆτος.
Λαιστρυγόνων. λαιστρυγόνες οἱ νῦν λεοντῖνοι, φασὶ δὲ ἐν σικελίᾳ, ὡς ληροῦσι ὑπάρχοντες ἀνθρωποφάγοι διὰ τὸ ἀνελεῖν τοὺς ὀδυσσέως ἑταίρους, οὐ γὰρ ἦσαν ἐθισμένοι ξένους ἀποδέχεσθαι

Φοινοδάμαντος ἱστορία

Κριμισός

ἔγεστα
ἔρυξ
εὔξυλλα. ἢ
ἄταμα

περὶ λαιστρυγόνων ὡραῖον

αἱ δ' αὖ τριπαισοῦ μητρὸς ζημιωθεῖσαι
σηκὸν μέγαν δείμαντο ζωστηρίᾳ θεᾷ
μόρον φυγοῦσαι καὶ μονοικήτους ἕδρας
ὧν δὴ μίαν κριμισὸς ἰνδαλθεὶς κυνὶ
ἔζευξε λέκτροις ποταμός, ἡ δὲ δαίμονι
τῷ θηρομίκτῳ σκύλακα γενναῖον τεκοῦσα

ζιντῶν συνοικιστῆρα, καὶ κτίστην τόπων
ὃς δὴ ποδηγῶν πόρθμον Ἀγχίσου γόνον· γ. νόθον
ἄξει Ζίδηρον νῆσον εἰς Λυκτηρίαν
τῶν Δαρδανείων ἐκ τόπων ναυσθλούμενον

παγαιστοῦ ὁ Ἔρυξ ὡς ἑπόμενον υἱὸς ἦν Ἀφροδίτης καὶ Ποσειδῶνος, παγαιστὴς καὶ πένταθλος, καὶ στρέψας ὅπη θεῖν μάνθανε. τὸ δὲ ἑξῆς οὕτως. αἱ δὲ τῆς μητρὸς τοῦ Ἔρυκος Ἀφροδίτης ναὸν ἔκτισαν. ζηρανθεῖσαι τῆς θρακικῆς καὶ μονοικήτους ἕδρας καὶ τὰς καθέδρας, ἤ· διαιτῶσαι τὰς ἐρήμους ἐν ᾗ μόναι τὴν οἴκησιν εἶχον. ἢ ὧν ἡ μονόκοιτοι τὰ δίχα συζυγίας ἀνδρῶν εἶχον τὴν κοίτην. ἤ· τὴν εὐνήν. σκύλακα γενναῖον τεκνοῦ. τὸν ἐλέγων γεννᾷ. ζιντῶν συνοικιστῆρα ζῆς γὰρ πόλεις ἔκτισεν ἐν τῇ Σικελίᾳ, ἔλεξαν. Ἔρυκα. καὶ ἀ‑ τάσαν ὡς πρώην ἔφην. ὃς δὴ ποδηγῶν ὅστις ἐλέ‑ της ἐλθὼν εἰς Δαρδανίαν νόθον Ἀγχίσου παῖδα Ἔλυ‑ μον καλούμενον ἤγαγεν εἰς Σικελίαν. ἄξει Ζίδηρον νῆσον. Ζίδηρον τὴν Σικελίαν λέγει ἣν καὶ Θρινακίαν καλοῦσι διὰ γὰρ ἀκρωτήρια ἔχει. Λιλύβαιον, πά‑ χυνον. καὶ πελωρίδα. εἰς Λυκτηρίαν εἶπεν ὅτι νῆσος ἡ Σικελία. αἱ δὲ νῆσοι ἀπὸ θαλάσσης περιέχονται καὶ λύτην δοκοῦσιν ὑπὸ ταύτης περιεχόμεναι .·.

Ἔλυμος νόθος Ἀγχίσου παῖς

Ζίδηρος Σικελία

Ἔλεξα τλῆμον σοὶ δὲ δαιμόνων φραδῇ
πένθος μέγιστον καὶ δι' αἰῶνος πάτρας
ἔσται πυρὸς ῥιπαῖσιν ἠθαλωμένης
μόνη δὲ πύργων δυστυχεῖς κατασκαφὰς
νύπαυστ' ἀλάζουσα καὶ γοωμένη
δαρὸν στενάξεις, πᾶς δὲ λυσσαίων λεὼς
ἐσθῆτα πρὸς ζόπαιον ἠχλαινούμενος

αὐχμῷ πινώδης λυπρὸν ἐμπρέψει βίον
Κρᾶθος δ' ἄκουρος ταῖσι πημοναῖς φθίνει
μνήμην παλαιῶν τηλόθεν ὀδυρμάτων
πολλοὶ δὲ Σῖριν ἀμφὶ καὶ Λευταρνίαν
ἄρουραν οἰκήσουσιν, ἔνθα δύσμορος
Κάλχας ὀλύνθων Σισυφεὺς ἀνηρίθμων
κεῖται παραὶ μάστιγι Γοργύλη τυπείς
ῥεέθροισιν ὠκὺς ἔνθα μύρεται Σῖρις
ἄρδων βαθεῖαν Χωνίας παγκληρίαν
πόλιν δ' ὁμοίαν Ἰλίῳ δυσδαίμονες
δείμαντες ἀλγυνοῦσι Λαφρίαν κόρην
σαλπιγγα δηώσαντες ἐν ναῷ θεᾶς

ἔξεσα τλήμων· ἡ ἔξεσα πόλις Σικελίας ἢ κατά τινας ἀκράγας καλουμένη, ἥτις συνεχῶς ὀδύρεται τὰς συμφορὰς τῆς Τροίας μόνη ὑπὲρ τὰς λοιπὰς ἐκ τῆς πόλεως· πρὸς αὐτὴν γὰρ τὴν ἔξεσαν πόλιν ἀποστρέφει τὸν λόγον. ἄκουρος· ἄκουροι γὰρ ἦσαν καὶ ἐκόμων ἀεὶ ἐν λύπῃ ὄντες. μνήμην παλαιῶν τηλόθεν ὀδυρμάτων· τρέφουσα καὶ αὔξουσα τὴν μνήμην παλαιωθεῖσαν τῷ χρόνῳ τῆς Τροίας ὀδυρμάτων. πολλοὶ δὲ Σῖριν· Σῖρις καὶ Λευταρνία πόλεις Σικελίας, ἔνθα οἱ κατάλοιποι τῶν ἐξ Ἰλίου φυγόντων ᾤκησαν καὶ πάντα κατὰ μίμησιν τῆς Τροίας ἐποίησαν καὶ ἔκτισαν πόλιν ὁμοίαν Τροίᾳ, ἣ καὶ πρώην μὲν ἐκαλεῖτο Πολίειον, ὕστερον Ἡράκλειον. ἔστι Σῖρις ἔνθα Κάλχας οὐχ ὁ Θέστορος ἀλλ' ὁμώνυμος αὐτῷ μάντις ὑφ' Ἡρακλέους ἀνῃρέθη, ἔστι μῦθος ὅτι αὐτοῦ ἡ γοργεία ὑποκάτω κεῖται. Σισυφεύς· ὁ σοφὸς ἀριθμητής, ἐπεὶ καὶ ὁ Σίσυφος σοφὸς καὶ πανουργότατος. ὀλύνθων· διαφορὰν ὀλύνθων, φηλίκων, σύκων καὶ ἰσχάδων ὄπισθεν εἶπον. Κάλχας ὀλύνθων

ἔξεσα πό. ἀκράγας καλουμένη

σῖρις λευταρνία

ν. 5.

πλὴν ἀνακόλουθα ληρωδῶς γράφων. οὗτος γὰρ ὁ κάλχας ὃν
λέγει ὁ μόψος ἐστὶν υἱὸς ὢν ἀπόλλωνος καὶ μαντοῦς τῆς τει-
ρεσίου θυγατρὸς οὐχ ὁ ἀργοναύτης μόψος ὁ τοῦ ἀμπύκου
καὶ χλωρίδος τῆς ὀρχομενοῦ θυγατρὸς ὃς δηχθεὶς ὑπὸ ὄφεως
ἐν λιβύῃ τελευτᾷ καὶ παρὰ τῶν ἀργοναυτῶν θάπτεται. οὗτος
οὖν ὁ μόψος ὃν λέγει ἀπόλλωνος υἱὸς καὶ μαντοῦς ἐν κο-
λοφῶνι ἀσίας ᾤκει ἢ κατά τινας ἐν κιλικίᾳ, οὐ μὴν ἐν
ἰταλίᾳ ὡς οὗτός φησιν. ἀλλὰ περὶ μὲν τῆς τούτου παλιῳδ-
ίας οὐ διαμάχομαι, ὅτι δὲ ἀνακολούθως καὶ ἐναντίως φη-
σὶν οὐ μόνον τοῖς λοιποῖς ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ οὐ μικρῶς
τὸν ἄνδρα αἰτιῶμαι καὶ γράφομαι παρόντι. πρὶν μὲν γὰρ
εἶπε τὸν θέστορος κάλχαντα παρὰ μαντικοῦ ἡττηθῆναι καὶ
ἀποθανεῖν ἐνταῦθα φασίν. μετὰ γὰρ τὴν ἰλίου πόρθησιν
κάλχας. λεοντεύς. πολυποίτης καὶ ποδαλείριος ἐν ἰλίῳ
τὰς αὐτῶν ναῦς ἀπολιπόντες πεζῇ πορεύονται εἰς κολο-
φῶνα καὶ κιλικίαν καὶ καταντῶσι περὶ τούτῳ τῷ μόψῳ. ὅπου
καὶ ἡττηθέντα μαντικῶς τὸν κάλχαντα θάπτουσι. ἐρινεοῦ
γὰρ ἐρωτήσας κάλχας τῷ μόψῳ εἶπε πόσους ὀλύνθους
ἔχει ὁ δὲ ὥσπερ εἶχε τὸ ἀληθὲς εἶπε μυρίους ὀλύνθους
καὶ ἔχει καὶ μέδιμνον εἶναι καὶ ὄλυνθον εἶναι, μόψος δὲ ὑὸς
ἐπιτόκου ἐρωτήσας ἤρετο πόσους χοίρους ἔχει κατὰ γαστρὸς
καὶ πότε τέξει, κάλχαντος δὲ οὐκ ἀποκριναμένου αὐτὸς ὁ
μόψος πάλιν εἶπε δέκα χοίρους ἔχει ὧν ὁ εἷς ἄρρην
τέξεται δὲ κατὰ τὴν αὔριον, οὗ γενομένου κάλχας ἀ-
θυμήσας τελευτᾷ, πολυποίτης δὲ καὶ λεοντεὺς μετὰ τὸ
θάψαι αὐτὸν μετ' ὀλίγον εἰς ἑλλάδα ἀνεχώρησαν. ὕστε-
ρον δὲ καὶ ἀμφίλοχος ὁ ἀλκμαίωνος ὑπὸ χαμῶνος ἐξω-
θεὶς κατά τινας καὶ κατὰ τοῦτον τὸν λυκόφρονα πρὸς
τοὺς τόπους οὗ ἦν ὁ μόψος οὗτος ἀπερρίφη καὶ ὑπὲρ
τῆς βασιλείας καὶ τῆς ἀρχῆς τῆς μαντικῆς ὥς φασι μονο-
μαχήσαντες ἀλλήλους ἀπέκτειναν καὶ ἐτάφησαν παρὰ

μόψος ἀργοναύτης

μόψος μάντις

Κάλχαντος καὶ μόψου ἱστορία

Κάλχαντος τελευτή

κατωτέρου μέρους τῆς μεγάλου πόλεως. ἄλλοι δὲ φασὶν ὅτι
ἀμφίλοχος τὸ κληθὲν ἄργος ἀμφιλοχικὸν πλησίον ἀ-
καρνάνων κατῴκησε, ταῦτα μὲν εἶπε περὶ τοῦ μόψου
ὅτι ἦν μετὰ τὴν ἀγαμέμνωνος ἰλίου πόρθησιν καὶ
αἴτιος τελευτῆς γέγονε τῷ κάλχαντι, αὐτὸς δὲ μονομαχή-
σας ~~ἀπ~~ ἀμφιλόχῳ ἀνῃρέθη, νῦν δὲ φλυαρῶν ὑφ' ἡ-
ρακλέους φησὶν αὐτὸν ἀναιρεθῆναι, πῶς γοῦν ὑφ' ἡρα-
κλέους ἀναιρεθεὶς πάλιν ζωοῦται καὶ αἴτιος γίνεται τῆς
κάλχαντος τελευτῆς καὶ αὐτὸς συναναιρεῖται ἀμφιλόχῳ
τῷ ἀλκμαίωνος παιδί. ταῦτα πάντα ἐναντία, πρὸ
γὰρ τῆς στρατείας ἀγαμέμνονος πολλῷ πρότερον ἔτη
ἐτελεύτησεν ὁ ἡρακλῆς ἐν οἴτῃ. ὅμως οὗτος ὁ λυκόφρων μὴ
ὅλως τῆς ἀληθείας ἢ κἂν τοῦ πιθανοῦ φροντίσ-
ας οὕτω φησὶ τὴν ἱστορίαν. ἡρακλέους γὰρ γηρυόνου
βοῦς ἐξ ἐρυθείας ἐλαύνοντος καὶ ἰδόντος τὸν κάλχαντα,
τοῦτον δηλονότι τὸν μόψον ὑπό τινα ἐρινεὸν καθή-
μενον συνέβη ἐρωτῆσαι πόσους ὀλύνθους ἔχει ἡ ἐρινε-
ός. τοῦ δὲ εἰπεῖν δέκα καὶ μέδιμνον ἕνα, καὶ ἕνα ὄλυν-
θον ὥστε μὴ δύνασθαι χωρῆσαι ἐπιτιθέμενον τῷ με-
δίμνῳ, τοῦ δ' ἡρακλέους πολλὰ βιαζομένου τὸν πε-
ρισσὸν ὄλυνθον ἐπιθῆναι τῷ μεδίμνῳ καὶ μὴ δυναμέ-
νου ὁ κάλχας αὐτοῦ κατεγέλα, ὃν πατάξας κονδύλῳ
ἀπέκτεινεν καὶ ἔθαψαν αὐτὸν περὶ τὸν ἐρινεόν. ἐρι-
νεὸς δὲ ἐρρέθη καταχρηστικῶς ἡ ἄλεια συχνὴ ἀπὸ ἐρι-
νεοῦ πόλεως δωρικῆς φαῦλα σῦκα ἐχούσης, ἡ γὰρ
δωρὶς ἓξ πόλεις ἔχει. κύτινον. βοιόν. λίλαιον. καρ-
φαίαν. δρυόπην. καὶ τὴν <u>ἐρινεόν</u>. ἄλλως καὶ ἡ πλησίον τῶν
φαύλαις συκαῖς. περὶ δὲ τοῦ ποσοῦ τοῦ μέτρου καὶ
τῶν φαύλων ὀλύνθων ὄπισθεν εἶπον, κἂν σχολιογρά-
φοι τινὲς μὴ εἰδότες δέκα μεδίμνους εἶπον αὐτοὺς
<u>τῷ κονδύλῳ</u> τοῦ γρόνθῳ. ὧν συγγεγραμμένων τῶν

:: emendo ὁ δέκα μεδίμνους καὶ ἕνα ὄλυνθον

ἐρινεὸς πόλις φαῦλα σῦκα ἔχουσα

Erineos ·V·

δακτύλων δίδοι

Τοὺς πρόσθ' ἔδεθλον ξουθίδος ὠκηκότας
γλώσσαις δ' ἄγαλμα, ταῖς ἀναιμάκτοις μύσει
ξυνὴν ἀχαιῶν εἰς ἰάονας βλάβην
λεύσσον φόνον τ' ἔμφυλον ἀγραύλων λύκων
ὅταν θανὼν λήταρχος ἱερεὺς σκύλαξ
πρῶτος κελαινῷ βωμὸν αἱμάξει βροτῷ

Τοὺς πρόσθ' ἔδεθλον. ἴωνες ἤτοι ἀθηναῖοι πρὸ τῶν τρωικῶν ἐλθόντες εἰς ἰταλίαν ᾤκησαν σῖριν· μετὰ δὲ τὴν ἰλίου πόρθησιν φυγόντων καὶ τῶν ἑλλήνων εἰς ἰταλίαν κροτωνιᾶται βοηθήσαντες τοῖς ἐν ἰταλίᾳ τούτοις φυγοῦσι ἕλλησι στρατεύουσι κατ' αὐτῶν κατὰ σίριδος καὶ πάντας τοὺς ἴωνας τῷ τῆς ἀθηνᾶς ναῷ καταφεύγοντας ἀνεῖλον, μεθ' ὧν συνανεῖλον καὶ τὸν τῆς ἱερείας παῖδα γυναικείαν ἐσθῆτα ἐνδεδυμένον· διὸ ἀθηνᾶ ὀργισθεῖσα ἔμυσε. ξυνὴν ἀχαιῶν εἰς ἰάονας βλάβην λεῦσσον. ἀχαιοὺς λέγει τοὺς κροτωνιάτας οἵτινες συνεμάχησαν τοῖς ἕλλησι καὶ ἀνεῖλον τοὺς περὶ κατοικηθέντας ἐν τῷ σίριδι ἴωνας, οὓς καὶ ἐμφυλίους εἶπεν ἐπειδὴ οἱ σιρίδες καὶ οἱ κροτωνιᾶται ἀμφότεροι ἕλληνες.

ἄλλοι δὲ πρῶνας δυσβάτους τυλησίους
λίνου θ' ἁλιπλήκτοιο δειράδας ἄκρας
ἀμαζόνος σύγκληρον ἀρσοῦνται πέδον
κλήτης γυναικὸς ζεῦγλαν ἐνδεδυμένοι
ἣν χαλκομίτρου θῆσσαν ὀτρηρῆς κόρης
πλανῆτιν ἄξει κῦμα πρὸς ξένην χθόνα,
ἧς ἐκπνεούσης λοῖσθον ὀφθαλμὸς τυπεὶς
πιθηκομόρφῳ πότμον αἰτωλῷ φθορὸν
τεύξει ζαβίκῃ φοινίῳ τετμημένος

Τυλλησίους· Τυλλήσιον ὄρος καὶ πόλις καὶ δρυμὸς ἐν ἰταλίᾳ. Τυλλήσιον
Λίνος καὶ λίνον, διαφέρει οὐδέτερον ἀκρωτήριον τῆς ἰταλίας Λίνον
ἀμαζόνος σύγκληρον πέδον· τὴν κληρωθεῖσαν πόλιν καὶ
γῆν τῇ ἀμαζόνι κλήτῃ ἐκλήθη. ἡ δὲ κλήτη ἀμαζὼν
τροφὸς ἦν πενθεσιλείας ἥτις μαθοῦσα, ὅτι τέθνηκεν ἐν τῇ τροίᾳ
ἡ πενθεσίλεια, ἔπλευσε κατὰ ζήτησιν αὐτῆς, ἐξωσθεῖσα
δὲ ἀνέμοις ἦλθεν εἰς ἰταλίαν κἀκεῖ κτίσασα πόλιν ἐβα-
σίλευσε τῶν τόπων. ἀπὸ δὲ ταύτης αἱ ἐκεῖ βασιλεύου-
σαι κλῆται ἐλέγοντο. μετὰ πολλὰς γενεὰς ἐπιστρατεύ-
σαντες οἱ κροτωνιᾶται ἀνεῖλον τὴν τότε βασιλεύουσαν κλή-
την τὴν ὕστερον. ἣν ~~κα~~ χαλκομίτρου ἥντινα κλήτην πρότερον
πλανῆτιν ἄξει κῦμα, πρὸς ξένην γῆν θοῦσαν ὑπάρχουσαν θοῦσαν
τῆς ἠέρης. ἤγουν φυλαξός τῆς ὀξηρῆς. ἤγουν τῆς πενθεσιλείας
τροίας πενθεσιλείας; τῆς χαλκομίτρου. ἤγουν πολεμικῆς χαλκομίτρου
ἧς τινος πενθεσιλείας λοίσθον. ἤγουν ἔσχατον πνεούσης ὀφ-
θαλμὸς πλήξας τεύξει. ἤγουν κατασκευάσει τῷ ἐξ αἰτωλί(ας)
θερσίτῃ τῷ μιμοῦς μορφὴν ἔχοντι; τί τεύξει; πότμον
φθόρον. ἤγουν πόθον φθαρτικὸν ἢ θάνατον φθαρτικὸν τετ-
μημένῳ. ἤγουν συγκοπέντι αὐτῷ τῷ θερσίτῃ ἐκ ζάφηκι ζάφηξ
ἤγουν ἀκοντίῳ φονικῷ. ζάφηξ δὲ κυρίως ἐστὶν ἡ πλατεῖα
σανὶς ἔνθα καὶ τοὺς νεοζύμους ἄρτους τιθέασιν, ὀξηρῆς
ἠέρης φυλαξός, ἤγουν τῆς πενθεσιλείας ἧς ἐκπνεούσης
λοίσθον μετὰ θάνατον τῆς πενθεσιλείας. οἱ μὲν ἄδοντες φα-
σὶν ἐρασθῆναι αὐτῆς ἀχιλλέα καὶ τοὺς ὀφθαλμοὺς ὁ θερ-
σίτης λαβὼν ἐξώρυξεν, ὁ δ' ἀχιλλεὺς ὀργισθεὶς ἀνεῖλεν
αὐτὸν καὶ τοῦτον μὲν πλήξας δόρατι κατέκτεινε· δὲ καὶ τοὺς λοι-
ποὺς κονδύλῳ ἤτοι γρόνθῳ μὴ δὲ διὰ τὸ ἐξορύξαι τοὺς
ὀφθαλμοὺς ἀλλ' ὅτι κατ' ἀχιλλέως αἰσχροὺς λόγους ἀπε-
ρρίπτεν ὡς δῆθεν ἐρῶντα συγγενέσθαι νεκρᾷ τῇ πεν-
θεσιλείᾳ, ἀντιμαχησάμενος γὰρ ἀχιλλεὺς ἐκείνῃ καὶ πολ-
λάκις ὑπ' αὐτῆς ἡττηθεὶς μόλις δέ ποτε περιγενόμενος

καὶ ἀνελὼν αὐτὴν θαυμάζων ἐκείνης τὴν ῥώμην ὁμοῦ καὶ τὸ κάλλος καὶ τὸ νεαρὸν τῆς ἡλικίας ἐδάκρυσε καὶ τοὺς Ἕλληνας παρεκάλει ταφῆς ἀξιοῦν τὴν νεανίδα. ἐφ' οἷς Θερσίτης συμπλάττων καὶ λέγων μίξεις ἀθέσμους καὶ ἔρωτας γρόνθῳ ὑπ' αὐτοῦ πληγεὶς ἀναιρεῖται. Διομήδης δὲ ἀνεψιὸς ὑπάρχων Θερσίτου χολωθεὶς ἕνεκα τούτου ἐκ τοῦ ποδὸς ἑλκύσας τὴν Πενθεσίλειαν εἰς τὸν Σκάμανδρον ἔρριψεν. πιθηκομόρφῳ δυσμόρφῳ Θερσίτῃ· πίθηκος γὰρ ἡ μιμώ, καὶ ὁ λεγόμενος παρ' ἰδιώταις ἀρκοβυζιανός

μιμώ
ἀρκοβυζιανός

Κροτωνιᾶται δ' ἄστυ πέρσουσί ποτε
Ἀμαζόνος φθέρσαντες ἄζωνον κόρην
Κλήτην ἄνασσαν τῆς ἐπωνύμου πάτρας
πολλοὶ δὲ πρόσθεν γαῖαν ἕξουσιν ὀδὰξ
δάξουσι πρηνιχθέντες οὐδ' ἄτερ πόνων
πύργους διαρραίσουσι Λαυρήτης γόνοι
οἱ δ' αὖ Τέρειναν ἔνθα μυδαίνει ποτοῖς
Ὠκίναρος γῆν φοῖβον ἐκβράσσων ὕδωρ
ἄλῃ κατοικήσουσι κάμνοντες πικρά
τὸν δ' αὖ τὰ δεύτερ' ἆθλα κἀπιζευμάτων
λαβόντα καὶ τὸν ἐκ Λυκορμαίων ποτῶν
στρατηλάτην σὺν ~~καρτερῷ~~ καρτερῷ Γόργης τόκον
πρὶν μὲν. Λίβυσσαν ψάμμον ἄξουσι πνοαὶ
θρῇσσαι ποδώτοις ἐμφορούμεναι λίνοις
πρὶν δ' ἐκ Λιβύσσης αὖθις ἐμπίπτων νότος
εἰς Ἀργυρίνους καὶ Κεραυνίων νάπας
ἄξει βαρὺ πρηστῆρι κυμαίνων ἅλα,
ἔνθα πλανήτην λυπρὸν ὄψεται βίον
Λακμωνίου πίνοντες Αἴαντος ῥοάς
Κράθις δὲ γείτων ἠδὲ Μυλακῶν ὅροις

χῶρος σ' ἀποίκους δέξεται κηλχῶν πόλαις
μακύρας οὓς θυγατρὸς ἔστειλε βαρύς
ἄλας κορίνθου τ' ἀρχὸς ἀθλίας πόσις
τὴν νυμφαγωγὸν ἐκκωνήσετων βόσιν

Κροτωνιᾶται ἀπολοῦσιν· ὅτι ὑστέροις χρόνοις ποτὲ Κροτωνιᾶται ἐπιστρατεύσαντες τῇ Κλήτῃ πόλει ταύτην πορθοῦσι καὶ τὴν τότε βασιλεύουσαν Κλήτην ἀνεῖλον τῶν ὕστερον. πολλοὶ δὲ πρόσθεν· ἤγουν πρότερον τὴν γαῖαν τοῖς ὀδοῦσι δάκοιεν τουτέστιν ἐπὶ πρόσωπον πέσοιεν. ἐκχύνης· ἐξ ἐκχύνης. πρηνιχθέντας· ἤτοι συγκοπέντας καὶ ἀναιρεθέντας. οὐδ' ἄτερ πόνων· οὐδὲ χωρὶς πόνων καὶ κόπων διαραίσουσι· ἤγουν πορθήσουσι δηλονότι τὸν πύργον τῆς Κλήτης οἱ γόνοι τῆς Λαυρήτης ἤτοι οἱ Κροτωνιᾶται. Λαύρη γὰρ πόλις Κρότωνος ἀπὸ Λαύρης θυγατρὸς Λακινίου ἀδελφοῦ Λακινίου τοῦ ἐν Ἰταλίᾳ ἀκρωτηρίου. αὕτη ἡ Λαύρη γυνὴ ἦν Κρότωνος ἀδελφοῦ καὶ πόλις Κρότωνη. οἱ δ' αὖ Τέρειναν· ὕστερον ὁ τὴν Τέρειναν πόλιν Ἰταλίας κατοικήσουσιν ἐν πλάνῃ πικρᾷ ταλαιπωρούμενοι ἔνθα πέλει τὴν Τέρειναν μυδαίνει· ἤγουν ἀρδεύει τὴν γῆν ὁ Ὠκίναρος ποταμὸς ἐκβράσσων· ἤγουν ἐκρέων ὕδωρ φοῖβον· ἤγουν καθαρόν. τὸν δ' αὖ τὰ δεύτερα τοῦ Νηρέως, τοῦ χαροποῦ Μαγλαίας υἱὸν φέροντα πρὸς κάλλος τοῦ Ἀχιλλέως καὶ τὸν Θόαντα τὸν Ἀνδραίμονος καὶ Γόργης τῆς Οἰνέως θυγατρὸς παῖδα τὸν ἀπὸ τοῦ Λυκόρμου ἤγουν Εὐήνου ποταμοῦ Αἰτωλικοῦ ὑπάρχοντα, πνέων ὁ Βορρᾶς πνέων εἰς τὴν Λιβύην ἄξει, ἐκ Λιβύης δὲ πάλιν ἀντιπνέων ὁ Νότος ἄξει εἰς Ἀργυρίνους καὶ εἰς τὰ Κεραύνια ὄρη ἔνθα οἰκήσουσι πεῖ τὸ Λακίνιον ὄρος καὶ τὸν Αἴαντα ποταμόν. ὁ κράτης δὲ ὁ γείτων τοῦ Αἴαντος ποταμοῦ καὶ ὁ χῶρος ὁ γείτων τοῖς ὅροις

πρηνιχθέντ
Λαύρη
Λακίνιον
Κρότων
μυδαίνει
Ὠκίναρος
φοῖβον
Νηρεύς
Θόας
Αἴας ποταμός

ἢ δὲ ὀροθεσίοις τῶν μυλάκων δέξεται συνοίκους ἐν τῷ πόλαισι
πόλεις τὰς κτισθείσας ὑπὸ κόλχων. ποίων; οὓς ἐμηλαφή-
τας ἔστειλε τῆς ἑαυτοῦ θυγατρὸς μηδείας ὁ αἰήτης ὁ βαρὺς πολέ-
μων τῆς αἴας πόλεως τῆς κορίνθου τε ὁ αἰήτης ἀνὴρ τῆς
~~ἀδύλ~~ ἀδύλας. ἀδύλα, ζάρμητυρ ἦν μηδείας, τὴν νυμφαίω-
τον ναῦν ἤτοι τὴν ἀργὼ θηρώμενος καὶ ἀναζητῶν. οἵτινες κόλ-
χοι κατῴκησαν πλησίον δίζηνοῦ ποταμοῦ παραρρέοντος
τὰς πόλεις. δευτερεῖα καλλιστευμάτων ὅτι εὐτελὴς ὁ νι-
ρεὺς ὡς ἐν τῇ βοιωτίᾳ ὅμηρος λέγει, νιρεὺς δ' ἐκ σύμη-
θεν ἄγε τρεῖς νῆας ἐίσας, νιρεὺς δ' ἀγλαΐας υἱὸς χαρόποιο
τ' ἄνακτος, νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ ἴλιον ἦλθε τῶν
ἄλλων δαναῶν μετ' ἀμύμονα πηλείωνα, ἀλλ' ἀλαπαδνὸς
ἔην παῦρος δέ οἱ εἵπετο λαός. αὖ. λίβυσσαν ψάμμον·
εἰς τὴν λιβύην περιφραστικῶς, ἀμμώδης γὰρ ἡ λιβύη καὶ
ἐκκεκαυμένη θάλπει ἡλίου. τὸ δὲ ψάμμος καὶ ἄμμος διὰ ἑνὸς

ψάμμος
ἄμμος

μ. γράφεται, αἰολικῶς μόνον διὰ δύο. ποδωτοῖς τοῖς

ποδωτοῖς

χοινίοις τοῖς τοῦ ἀρμένου ἐσχάτοις μέρεσι. εἰς ἀργυρίνους
ὁ μὲν ποιητὴς οὗτος καὶ οἱ σχολιασταὶ σφάλλονται, ὁ μὲν
τοὺς ἀργυρίνους λέγων διὰ τὸ συντετηκέναι τὰ μέτρα, οἱ δὲ

ἀργύριον πόλις σι-
κελίας

ἠπειρωτικὸν ἔθνος αὐτοὺς καλοῦσι. οὐκ εἰδότες ὅτι τὸ ἀργύριον
πολίχνιον σικελίας ἐστίν, ὅθεν ἦν ὁ συγγραφεὺς διόδωρος. ἀλλὰ
μήπου οὐδὲ αὐτὸς τὴν ἑαυτοῦ πατρίδα ἐγίνωσκεν ὅπως

κρᾶθις ποταμός

καλοῖτο. κρᾶθις ποταμὸς σικελίας τῶν λουομένων πυρ-
σαίνων τὰς χαίτας καθάπερ ἡσίοδος ἱστορικῶς φησί, σω-
τίων τε καὶ σαββοαθένης οἱ φιλόσοφοι καὶ εὐριπίδης ὁ τρα-
γωδὸς οὑτωσὶ λέγων ὃν ὑγραίνει καλλιστεύων ὁ ξανθὰν
χαίταν πυρσαίνων κρᾶθις. μυλάκων ὅροις· μύλακες
ἔθνος ἰλλυρικὸν ὥς φασί τινες. κόλχων πόλαι· πόλις ἐστὶν
ἠπείρου ὑπὸ κόλχων κτισθεῖσα τῶν καταδιωξάντων
τὴν μήδειαν καὶ μὴ καταλαβόντων αὐτὴν καὶ διὰ φόβον αἰήτου
ἐνταῦθα κατοικησάντων καὶ κτισάντων πόλιν ἥτις τῇ κόλ-
χων

φωνῇ πόλαι καλοῦνται. τὸ δὲ πόλαι κοινῶς φυλά
δα σημαίνει ὥς φησι καλλίμαχος. αἴας κορίνθου γὰρ
χθὼν αἶα, πόλις κορίνθου. κόρινθος δὲ πόλις πελοπο
ννήσου ὧν ἀμφοτέρων ἄρχοντα, λέγει τὸν αἰήτην ὡς φησὶν
ὁ εὔμηλος ὁ ποιητὴς οὗ τὰ ἔπη οὗτοις ὄπισθεν εἴρηκ
εν καὶ πᾶσαν τὴν ἱστορίαν. ὅτι ἥλιος αἰήτῃ καὶ ἀλωεῖ τοῖς
παισὶ τὴν ἀρχὴν διενείματο καὶ τὴν μὲν ἀρκαδίαν ἀλω
εῖ δέδωκε τὴν δὲ κορίνθου βασιλείαν βουνῷ ἑρμοῦ υἱῷ
παρέδωκε φυλάσσειν ἕως οὗ ἢ αὐτὸς ἢ ἐξ αὐτοῦ τις
ἔλθῃ ἐν κορίνθῳ. ἰδυίας πόσις ἰδυίας τῆς ὠκεανοῦ
θυγατρὸς ἀνὴρ αἰήτης ὡς μύσελα καὶ ἄψυρτος. νυμφα
γωγὸν ζόπιν ζόπις λέγεται τὸ ὑποκάτω τοῦ πλοί
ου ξύλον ὃ καὶ στεῖρα λέγεται ὡς στερεώτατον τῶν λοιπῶν
καὶ συνέχον τὰ πάντα, νῦν δὲ ζόπιν λέγει τὸ ὅλον πλοῖ
ον τὴν ἀργὼ ἀπὸ μέρους τὸ πᾶν. νυμφαγωγὸν δὲ αὐ
τὴν εἶπεν ὅτι νύμφην οὖσαν σὺν τῷ ἰάσονι ἐκόμι
ζεν ἰωλκόν

Divisio regni solis inter eius filios

ζόπις στεῖρα

οἱ πρὸς βαθὺν δ' ἄσαντο διζυροῦ πόρω
ἄλλοι μελίτην νῆσον ὀρθρωνοῦ πέλας
πλαγκτοὶ κατοικήσουσιν ἣν πέριξ κλύδων
ἔμπλην παχύνου σικανὸς προσμάσσεται
τοῦ σισύφου παιδὸς ὀχθηρὰν ἄκραν
ἐπώνυμον ποθ' ὑστέρῳ χρόνῳ γραφὴν
κλεινόν θ' ἵδρυμα παρθένου λογγάτιδος
ἕλωρος ἔνθα ψυχρὸν ἐκβάλλει ποτόν
πατροκτόνος δ' ὀρθρωνὸν οἰκήσει λύκος
τηλοῦ πατρῷα ῥεῖθρα κωκυτοῦ ποθῶν
ὃς ἐν θαλάσσῃ χοιράδων βεβὼς ἄπο
ῥήξας πολίταις τὰς στρατοπλώτους ἐρίδας
χέρσου πατρῴας, οὐ γὰρ ἂν φονῆ ποσί

ἔμπλην ἢ πλησίον

ψαῦσαι μέλαν στήμωνα, μὴ πεφευγότα
δίκης ἐάσῃ Τάργυος Τελφουσία,
Λάδωνος ἀμφὶ ῥεῖθρα ναίουσα, σκύλαξ
ὅθεν πεφευγὼς ἑρπετῶν δισσῶν μάχην
δρακοντομόρφων ἐς Ἀδαμαντίαν πόλιν
πλώσει, πέλας δὲ τῆς Ἀτιντάνων μολὼν
πράκτιν παρ' αὐτὴν αἰπὺ ναιεται λέπας
τοῦ Χαονίτου νᾶμα, πολυάνθου δρέπων

Λίξηρος
Μελίτη
Ὀρθρωνός

Λιξηροῦ πόρῳ· Λίξηρος ποταμὸς πλησίον πόλεως τῆς ὑπὸ Πελασγῶν κτισθείσης. Μελίτην νῆσον Ὀρθρωνοῦ πέλας· Ὀρθρωνὸς νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας· ταύτῃ νῆσος παράκειται Μελίτη, ἥτις προβέβληται τοῦ Παχύνου ἀκρωτηρίου τῆς Σικελίας, ἢ ὁ Ὀρθρωνὸς πρὸ τοῦ στόματος τοῦ Ἀδρίου. Τοῦ Σισύφου παιδὸς τοῦ Ὀδυσσέως· ἅπτεται δὲ τὴν ἱστορίαν τοῦ Σισύφου. Περὶ δὲ τοῦ λεγομένου Ὀδυσσείου ἀκρωτηρίου τῆς Σικελίας λεκτέον ἀνθ' ὧν Ὀδυσσεὺς ἐν Χερρονήσῳ πρῶτον ἀπήρξατο βάλλειν λίθοις τὴν Ἑκάβην· ἐν Σικελίᾳ πλανώμενος καὶ ἀθύπνους ἐδειματοῦτο, ἀφ' οὗ ἱερὸν Ἑκάτης ἱδρύσατο καὶ κενοτάφιον Ἑκάβης, ὅτι ἡ Ἑκάτη φαντασμάτων αἰτία, φοβερὰ καὶ σκυλακόπους οὖσα καὶ ὀφιώδης καὶ τερατώδης, καὶ ἀφ' ἑαυτοῦ Ὀδυσσείαν ἄκραν ἐκάλεσε. Παπποκτόνος Ἐλεφήνωρ ὁ Χαλκώδοντος παῖς καὶ Μηλανίππης

Elephenor avum occidit

ἄβαντα τὸν ἑαυτοῦ πάππον, οὗ ἦν ἡ ἐλαία, ἰδὼν ἀμελῶς κρατούμενον παρ' οἰκετῶν, ἀφεὶς ῥάβδον ἐπὶ τὸν οἰκέτην ἀνεῖλεν αὐτόν, καὶ διὰ τοῦτο φυγὴν κατεδικάσθη. ἐνστάσης δὲ τῆς εἰς Τροίαν στρατείας ἔξωθεν τῆς πατρίδος αὐτοῦ Εὐβοίας ἤτοι Εὐρίπου στὰς ἐπὶ πέτρας συνεστράτευσε τὸν λαόν· οὐ γὰρ ἦν θέμις αὐτῷ διὰ τὸν φόνον ἐπιβῆναι τῆς πατρίδος· οὕτω

f. συνεκάλεσε

Ἰοῦ συγκαλεσάμενος τὸν λαὸν στρατεύει καὶ ἀναιρεῖται ὑπὸ Ἐλεφήνορος ἐν Τροίᾳ, μετὰ δὲ τὴν Τρωικὴν ἅλωσιν οἱ τοῦ Ἐλεφήνορος περὶ τὸ Ἰόνιον ἐκριφέντες ᾤκησαν παρὰ Ἀπολλωνίαν ~~πα~~ τῆς Ἠπείρου, οὗτος δὲ ἀνασπᾷ τοὺς τεθνηκότας τοῖς λόγοις γράφων ὀρθρωνοὺς καὶ μετοικήσας εἰς πάλιν. φόβῳ δρακόντων εἰς Ἀμαντίαν πόλιν. ῥίζας πολίταις ~~[illegible]~~ λαοὺς ποδαπούς. στρατοπλώτους. ἤγουν παρακελευομένους τὸν στρατὸν πλέειν πρὸς Τροίαν. φονῆ τὸν φονέα κατὰ συναίρεσιν ἀττικήν, οὐ γὰρ ἂν ἐάσῃ τὸν φονέα ἡ τάρροθος ἤγουν ἔκδικος τῆς δίκης, σκύλαξ ἡ Τελφουσία. ἤγουν Ἀρκαδική ἤτοι ἡ Ἐρινὺς ἡ ναίουσα ἀμφὶ τὰ ῥέεθρα τοῦ Λάδωνος ποταμοῦ οὐκ ἐάσει τὸν φονέα, τί ποιῆσαι; ψαῦσαι ποσὶ τῆς χέρσου τῆς πατρῴας μὴ πεφευγότα τὸν μέσον ~~πα~~ πλειῶνα. ἤγουν χρόνον. ἡ τὸ χέρσου πατρῴας συντακτέον ὡς εἶπον πρώην τοῖς ποσὶ τῆς χέρσου τῆς πατρῴας καὶ ἀπὸ κοινοῦ τοῦτο καὶ εἰς τὸ ψαῦσαι τῆς χέρσου τῆς πατρῴας, μέσα πλειῶνα μὴ πεφευγότα. νόμος γὰρ ἦν τὸν βλασάμενον φόνον, φεύγειν ὅλον ἐνιαυτὸν μὴ ψαύοντα τῆς πατρίδος. Τελφουσία πόλις ἐν Ἀρκαδίᾳ ἔνθα ἡ Ἐρινὺς τιμᾶται. σκύλαξ δὲ ἡ χαρακτική ὅθεν πεφευγώς, ὅθεν ἀπὸ ὀρθρωνοῦ φυγὼν τοὺς ὄφεις κατὰ τοῦτο ὁ πρὶν θανὼν Ἐλεφήνωρ κατὰ μὲν νῶν δ' ἐλθὼν ἦλθεν εἰς τὴν ἐξ αὐτοῦ κληθεῖσαν Ἀβαντίαν καὶ ἀντὶ τῶν Ἀβάντων Ἄμαντες μετωνομάσθησαν. Ἀμαντὶς δὲ πόλις τῆς Ἠπείρου. καὶ Ἀντιτάνες ἔθνος Ἠπειρωτικόν.

Ὁ δ' Αὐσονίων ἄγχι Κάλχαντος τάφων
δισσοῖν ἀδελφοῖν ἅτερος ξενώσεται
ξένην ἐπ' ὀστέοισιν ὀγκώσας κόνιν
δοραῖς δὲ μήλων τύμβον ἐγκοιμωμένοις

Τελφουσία πόλις Ἀρκαδίας ἔνθα ἡ Ἐρινὺς τιμᾶται

ἀμάντις

χρήσει κατευθύνων πᾶσαν νημερτῆ φάτιν
νόσων τ' ἀκεστὴς δαυνίοις κληθήσεται
ὅταν κατικμαίνοντες ἀλθαίνου ῥοαῖς
ἀρωγὸν αὐδήσουσιν ἠπίου γόνον
ἀστοῖσι καὶ ποίμναισι πρευμενῆ μολεῖν

Ὁ δαυσονίων περὶ ποδαλειρίου τοῦ υἱοῦ ἀσκληπιοῦ
φησὶν ὅτι τεθρύλληται ἐν ἰταλίᾳ πλησίον τῶν κενοταφίων
τοῦ κάλχαντος τοῦ ὑφ' ἡρακλέους ἀναιρεθέντος κατ' ἄλλω
τέθαπται ὅπου ὁ κάλχας ἐν ἄργει, κενοτάφιον δὲ αὐτοῦ ἐστὶ
ἐν ἰταλίᾳ ἐνταῦθα, οὐ λέγει τὸν ποδαλείριον τεθάφ-
θαι, νῦν δέ φησι ψευδοτάφιον εἶναι τὴν ἐκεινεὸν αὐτὸν
δὲ κεῖσθαι ἐν ἄργει. ἵνα τοὺς μυρίους θανάτους τούτου κάλ-
χαντος ὃς ἀπέθανεν ὑπὸ τούτου τοῦ λυκόφρονος ἐά-
σω. οὕτω γοῦν ὁ λυκόφρων ψεύδεται καὶ περὶ ποδαλει-
ρίου λέγων αὐτὸν ἐν ἰταλίᾳ τελευτῆσαι, ὡς ὄπισθεν
αὐτὸς ἔγραψα. ἀπὸ ἰλίου εἰς κολοφῶνα πεζοὶ ἦλ-
θον ἀμφίλοχος. κάλχας. λεοντεύς. πολυποίτης
καὶ ὁ ποδαλείριος. θάψαντες δὲ ἐκεῖ τὸν κάλχαντα τοῦ
θέστορος ὑπὸ τοῦ μόψου ἀνῃρημένον ᾧ προέφημεν
τρόπῳ. πολυποίτης καὶ λεοντεὺς μετ' ὀλίγον εἰς ἑλλάδα
ἀνεχώρησαν. ἀμφίλοχος δὲ κατά τινας συναναιρεῖ-
ται καὶ τῷ μόψῳ τούτῳ περὶ τῆς ἀρχῆς τῆς μαντικῆς
μαχήσας, κατά τινας δὲ εἰς τὴν ἑλλάδα ὑποστραφεὶς
τὸ ἀμφιλοχικὸν ἄργος ἔκτισεν. ὁ δὲ ποδαλείριος
ὁμοίως εἰς ἄργος ὑποστραφεὶς ἐμαντεύετο ἐν δελφοῖς
ποῦ κατοικήσει. χρήσαντος δὲ τοῦ θεοῦ οἰκῆσαι πό-
λιν οὗ περιέχοντος οὐρανοῦ οὐδὲν δεινὸν πείσεται
τῆς καρικῆς χερρονήσου τὸν πέριξ οὐρανὸν ὄρεσι κυ-
κλουμένων ᾤκησε. Δυοῖν ἀδελφοῖν ἕτερος τῶν
δύο ἀδελφῶν ὁ ἕτερος ἤτοι τοῦ μαχάονος καὶ πο-
δαλειρίου

περὶ ποδαλει-
ρίου

ὁ μὲν γὰρ Μαχάων κατὰ κόϊντον ἀνήρηται αὐτῷ πολέ-
μῳ ὑπ' Εὐρυπύλου, ὁ γὰρ παλαιὸς Ὀρφεὺς καὶ μετὰ
θάνατον Εὐρυπύλου ζῶντα παρεισάγει τὸν Μαχάο-
να ἰώμενον τὸν Φιλοκτήτην. ὁ δὲ Ποδαλείριος κατὰ
μὲν τὸν Λυκόφρονα ἐν Ἰταλίᾳ τελευτᾷ, κατ' ἐμὲ δὲ
τὴν Καρικὴν Χερρόνησον ᾤκησεν. φλυαρεῖ δὲ καὶ κατὰ
τοῦτο. ἐκεῖνος γὰρ ἐν ἡλικίᾳ ἢ κατά τινας ἐν Κολο-
φῶνι κεῖται. ὁ δ' Ἀργοναύτης μόνος ἐν Ἰταλίᾳ. δοραῖς
δὲ μήλων εἰώθασιν οἱ Δαύνιοι ἤτοι Καλαβροὶ ἐν μη-
λωταῖς καθεύδειν ἐν τῷ τάφῳ τοῦ Ποδαλειρίου καὶ
καθ' ὕπνους λαμβάνειν χρησμοὺς ἐξ αὐτοῦ. εἰώ-
θασι δὲ καὶ ἐν τῷ πλησίον Ἀλθαίνῳ ποταμῷ ἀπο-
λούεσθαι αὐτοί καὶ τὰ θρέμματα αὐτῶν καὶ ἐπικαλεῖ-
σθαι τὸν Ποδαλείριον καὶ ἰᾶσθαι, ὅθεν καὶ ὁ ποταμὸς
ἔσχε τὴν ὀνομασίαν ὡς ἀλθαίνων κατὰ Τίμαιον
καὶ θεραπεύων τῶν λουομένων ἁπάντων ζώων τὰ τραύ-
ματα· ὡς κατὰ μέθοδον τὸν ἰατρὸν ὁ ἀδελφὸς τῆς Ἀρ-
καδίας ποταμὸς ἰᾶται τοὺς ἀδελφούς. καὶ κατὰ βρί-
γλον ποδαλγοῦντας ὁ κύκνος. ἠπίου γόνος ὁ Ἀσ-
κληπιὸς ἐκλήθη ἢ ἀσκληροποιός τις ὢν ὁ μὴ ἐῶν
σκληρεσθαι ἤτοι ξηραίνεσθαι καὶ νεκροῦσθαι ὑπὸ νό-
σων τοὺς ἀνθρώπους.

ἀλθαίνος πο-
ταμός

Ἔσται ποτὲ πρέσβευσιν Αἰτωλῶν φάτος
αἰκὴς γοργὸν καὶ πανέχθιστον φανέν
ὅταν Σαλαγγῶν γαῖαν Ἀγγαίσων θ' ἕδη
μολόντες αἰτήσωσι κληρούχων γύας
ἐσθλῆς ἀρούρης πῖαρ ἐγκλήρων χθονός
τοὺς δ' ἐς ἐρεμνὸν ζῶντας ὠμησταὶ τάφον
κρύψουσι κοίλης ἐν μυχοῖς διασφάγος
τοῖς δ' Αἰτωλέεις σήμα, Δαυνῖται νεκρῶν

ξ. ι.

στήσουσι χώστῳ ζοχάλῳ κατηρεφῆς
χώραν διδόντες ἥνπερ ἔχρησεν λαβεῖν
τοῦ κρατοβρῶτος ἀζέστου κάπρου

ἔσται ποτὲ πρέσβευσιν. ἤγουν πολλάκις τὴν ἰσοθεΐαν τοῦ τε διομήδους καὶ δαύνου καὶ τῶν αἰτωλῶν καὶ περὶ τῶν συγχωσθέντων δύο ἀνδρογύνων ἐν μέσῃ τῇ ῥώμῃ ἐπὶ φαβίου τοῦ ἀκροχορδωνώδους, ἣν ὁ λυκόφρων ἂν δαυνίαν ἤτοι καλαβρείαν λέγει ταῦτα γενέσθαι, καὶ αἰτωλοὺς εἶναι τοὺς συγχωσθέντας· μνησθέντων δὲ τῶν δαυνίων καὶ ἐξελθόντων ἐπὶ τὸν λεγόμενον διομήδους κλῆρον καὶ οὕτως ἀπάτῃ βληθέντων εἰς ὀρύγματα τῆς. ὅταν ~~[...]~~ σαγάρτων γαῖαν. σάγαρτες καὶ ἀρκαισοὶ ἔθνη ἰταλίας. αἰτίζωσι ζητοῦσι παραγωγὴ ἀττική. ἀττικὸν τὸ σχῆμα, αἰτῶ αἰτίζω ὡς τὸ πελάω πελάζω. τοῦ κρατοβρῶτος παιδὸς τοῦ τυδέως υἱοῦ διομήδους. κρατοβρὼς δὲ ὁ τυδεὺς οὕτω λέγεται. ἐν τῷ θηβαϊκῷ πολέμῳ ὁ τυδεὺς ὑπὸ μελανίππου τοῦ ἀστακοῦ παιδὸς ἐβλήθη, ὑφ' ἧς πληγῆς ὕστερον ἀπέθανεν· ἔτι δὲ ζῶντος τοῦ τυδέως ἀμφιάραος ὁ μάντις ἀνῃρηκὼς τὸν μελάνιππον ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ τῷ τυδεῖ. καὶ ὃς κακείνως δακνόμενος ὑπὸ τῆς πληγῆς διασχίσας ἐκείνου τὴν κεφαλὴν ἀπερρόφησε τὸν ἐγκέφαλον ὅθεν καὶ ἐμίσησεν αὐτὸν ἡ ἀθηνᾶ. ἄζεστον κάπρον τὸν αὐτὸν τυδέα, λέγει διὰ τὸ σθένος καὶ διὰ τὸ χρῆσθαι αὐτὸν περιβολαίῳ τῷ τοῦ καλυδῶνος συὸς δέρματι

τῶν ναυβολέων δ' εἰς τέμεσαν ἐκγόνων
ναῦται καταβλάξουσι, ἔνθα λαμπέτης
ἱππωνίου πρηῶνας εἰς τηθὺν κέρας
σκληρὸν νένευκεν. ἀντὶ δὲ κρίσσης ὅρων
κροτωνιᾶτιν ἀντίπορθμον αὔλακα.

ἀνδρόγυνοι συγχωσθέντες ἐν μέσῃ τῇ ῥώμῃ

Σάγαρτες
ἄρκαισοι

παραγωγὴ ἀττική

Tydei historia q3 & Statius m̄r in thebaide nō omisit

Nauboli filii ~~folx~~ iphitus & iphiti schedius & epistrophus

καταβλώξουσι

βρωνὰ προξενοῦσιν ὀλκαίω πτερῷ
πάραν λιλαίαν κἀνεμωρείας πέδον
ποθοῦντες ἀμφισσάν τε καὶ κλεινὰς ἄβας

Τῶν ναυβολίων δ' ἐς Τέμεσαν ναυβόλου παῖς ἴφιτος οὗ παῖδες σχέδιος καὶ ἐπίστροφος φωκέων ἡγεμόνες οἵτινες ἀνῃρέθησαν ἐν εὐβοίᾳ. μετὰ δὲ τὴν ἅλωσιν οἱ σὺν αὐτοῖς περὶ τὴν ἰταλίαν ἐξώσθησαν καὶ ᾤκησαν τὴν Τέμεσαν. Τέμεσα δὲ πόλις ἰταλίας [illegible] χρυσοῦν ἔχουσα ἥτις νῦν Τέμψα καλεῖται ἣν ὁ λυκόφρων οὐκ αἰσθάνεται ποτὲ μὲν Τέμασαν ὅτε δὲ Τέμεσαν καλῶν περὶ τοῦ [illegible] ἔγραψα πολλάκις πῶς γράφεται. λαμπέτης ἰταλίας ἀκρωτήριον περὶ Τέμεσαν. ἱππώνιον δὲ ἰταλίας πόλις καὶ ὄρος, ἡ δὲ σύνταξις, ἔνθα κρίσσα, πόλις φωκίδος κληθεῖσα παρὰ κρίσου τοῦ πανοπέως ἀδελφοῦ, ἔστι δὲ ἀντίπορθμος κρότωνος ἡ μὲν κρίσα ὡς φασιν ἀνατολικὴ οὖσα [illegible] αὐτὴν ἡ δὲ κρότων δυτική. Ὀλκαίω πτερῷ τῷ ἄκρῳ τοῦ ἀρότρου τῇ ὕνῃ παρὰ τὸ ἕλκεσθαι. πάραν λιλαίαν λίλαια καὶ ἀνεμώρεια. ἀμφισσα καὶ ἄβα πόλεις εἰσὶ φωκίδος

σήταια τλῆμον σοὶ δὲ πρὸς πέτραις μόρος
μίμνει δυσαίων, ἔνθα γυιούχοις πέδαις
οἴκτιστα χαλκέῃσιν ὠργυιωμένη
θανῇ πυρὶ φλέγουσα δεσποτῶν στόλον
ἔκβλητον αἰάζουσα κράθιδος πέλας
Τόργοισιν αἰώρημα φοινίαις δέμας
σπιλὰς δ' ἐκείνη σῆς φερώνυμος τύχης
πόντον προσαυγάζουσα φημισθήσεται

σήταια τλῆμον σύτη ἡ σήταια μία τῶν τρωάδων ἦν

σχέδιος καὶ ἐπίστροφος. φωκέων ἡγεμόνες

Τέμεσα ἡ νῦν Τέμψα

ἱππώνιον

Κρίσσα

λίλαια
ἀνεμώρεια
ἄμφισσα
ἄβα

γρ. Τόργαισιν

.ξ. 2.

De Troianis captiuis que naues exusserunt

ἥτις αἰχμάλωτος αἰρομένη ὡς ἐγένετο περὶ σύβαριν συνεβούλευσε ταῖς λοιπαῖς γυναιξὶ καταφλέξαι τὰς ναῦς τῶν δεσποτῶν ὑποτεμένη τὰ ἐν ἑλλάδι μέλλοντα συμβήσεσθαι αὐταῖς κακά, καὶ τούτου γενομένου οἱ ἕλληνες λαβόντες αὐτὴν ἀνεσταύρωσαν καὶ προσήλωσαν πρὸς πέζαν, καὶ ὁ μὲν λυκόφρων σήταιαν λέγει τὴν τοῦτο συμβουλεύσασαν. ἀπολλόδωρος δὲ τὰς λαομέδοντος θυγατέρας αἴθυλλαν, ἀστυόχην, μηδεσικάστην. ὁ δὲ πλούταρχος ῥώμην τινά, μίαν τῶν αἰχμαλώτων ἀφίησι φησὶ κατά τινας καὶ τὴν πόλιν ῥώμην κληθῆναι. γυιούχαις πέδαις ταῖς τὰ γυῖα συνεχούσαις ἤτοι τὰς χεῖρας καὶ τοὺς πόδας. γυῖα κυρίως τὰ ἄκρα τοῦ σώματος ὡς καὶ ὅμηρος. γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.

ῥώμη πόθεν ἐκλήθη

γυῖα

Οἱ δ' αὖ πελασγῶν ἀμφιμέμβλιτος ῥοάς
νῆσόν τε κερνεᾶτιν ἐκπεπλωκότες
ὑπὲρ πόρον τυρσηνὸν ἐν λαμητίαις
δίναισιν οἰκήσουσι λευκανῶν πλάκας
καὶ τοὺς μὲν ἄλλη ποικίλαι τε συμφοραί
ἄνοστα δαίοντας ἕξουσι τύχην
ἐμῶν ἕκατι δυσγάμων ῥυσαμάτων
οὐδ' οἱ χρόνῳ μολόντες ἀσπαστῶς δόμους
λυχναῖον ἐκλάμψουσι θυμάτων σέλας
χάριν τίνοντες κερδύλα λαρυνθίω
τοιαῖς δ' ἐχῖνος μηχαναῖς οἰκοφθόρων
παραιολίξει τὰς ἀλεκτόρων πικράς
γεγανόμους ὄρνιθας οὐδὲ ναυφάγοι
λήξουσι πένθους δυσμενεῖς φρυκτωρίαι
πορθμοῦ διαρραισθέντος ὃν νεοσκαφές
κρύψει ποτ' ἐν κληροῖσι μηθύμνης γέλος

μέμβλης ποταμὸς Ἰταλίας πλησίον Ταλακανῶν οἵτινες
εἰσὶν ἔθνος Ἰταλίας. Κερνεᾶτιν τὴν κέρνιν παραλόγως. Λα-
μητίαις δίναις φησὶ Φιλοξένης, Λάμητος ποταμὸς Ἰταλίας
ὃν δ᾽ οἱ χρόνῳ ἔπων ἐπὶ ξένοις τεθνηκότας καὶ ἐπιλοι-
σάμενος καὶ ἀποθεὶς τὴν περὶ τούτου ἀπόθεσιν μεταβαί-
νει ἐπὶ τοὺς νοστήσαντας καὶ τὰς παρ᾽ οἰκίον αὐτῶν ἀποθα-
νόντας καὶ πρῶτον περὶ Ἀγαμέμνονος λέγει. Κερδύλα
καὶ Λαρυνθίας ἐπώνυμα Διός. Τοίαις δ᾽ ἐχῖνος· ἐχῖνος
ζῶον ἐστὶ πανοῦργον ὁ καλούμενος ἀκανθόχοιρος, ὃς
προγινώσκων τοὺς μέλλοντας πνεῖν ἀνέμους ἀποφράττει
τὸ πρὸς τὸ μέλλον πνεῖν μέρος τῆς καλιᾶς αὐτοῦ, ὑπα-
νοίγει δὲ τὸ ἕτερον· ἀνερχόμενος δὲ καὶ πρὸς τὰς ἀμπέλους
διασείει τὰς ῥάγας καὶ ἐμπείρων ταύτας ταῖς ἀκάνθαις αὐ-
τοῦ πρὸς τὴν σκέπην ἀπάγει καλιάν, καὶ τῷ ὄφει δὲ ἀν-
τιμάχεται καὶ ἀναιρεῖ τοῦτον. εἰ λίαν μέγας ὁ ὄφις ἐστὶ
συναναιροῦνται ἀμφότεροι, βλέπων γὰρ ὁ ὄφις τὸν
τὸν βαστάζοντα οὔρεται καὶ καταφάγει τοῦτον λαβών·
ὁ δὲ γνοὺς συστέλλεται δίκην σφαίρας καὶ ταῖς ἀκάνθαις ἐμπλέ-
κεται καὶ τὸν ὄφιν ἀναιρῶν σώζεται. εἰ δὲ μέγας ἐστὶν ὁ ὄφις
κἂν νεκρωθῇ περὶ ταῖς ἀκάνθαις συναναιρεῖ τὸν ἐχῖνον
μὴ δυνάμενον διατεμεῖν τὰς πλεκτάνας καὶ τὰ ἄλλα. δὲ
ὁ ἐχῖνος πανοῦργός ἐστιν ὡς καὶ ἡ παροιμία φησί· πόλλ᾽ οἶδ᾽
ἀλώπηξ ἀλλ᾽ ἐχῖνος ἓν μέγα· ὅθεν καὶ τὸν Παλαμήδους πα-
τέρα Ναύπλιον διὰ τὸ πανοῦργον ἐχῖνον καλεῖ. ὁ δὲ Ναύ-
πλιος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ Παλαμήδους καὶ
πρὶν ἔφην ἀμυνόμενος τοῖς Ἕλλησιν διαζῶν ... ἠλάσ...
παρεσκεύασε μοιχευθῆναι τὰς γυναῖκας τῶν ...
Κλυταιμνήστραν Αἰγίσθῳ. Αἰγιάλειαν Κομήτῃ τῷ
Σθενέλου, ἐν Ἰθάκῃ τοὺς μνηστῆρας παρεσκεύασεν
ἐν Κρήτῃ Λεῦκον τὸν Τάλου ἔπεισεν ἀνταραι καὶ ἀνε-
λεῖν τὴν Ἰδομενέως γυναῖκα, Μήδαν καὶ τὰ τέκνα αὐτῆς

μέμβλης

Κερδύλας
λαρυνθ(ίας)

περὶ τοῦ ἐχίνου

παροι(μία)
πόλλ᾽ οἶδ᾽ ἀλώπηξ
ἀλλ᾽ ἐχῖνος ἓν μέγα

ἀπὸ τοῦ ~~...~~
πῆξ

καὶ τῷ περὶ τὸν Καφηρέα φανὸν ποιήσας ὑποστρέφοντας ἀν-
τοὺς ἀνεῖλεν ὡς ὄπισθεν ἔγραψα πλατυτέρως. ἀλεκ-
τόρων ὁμολέκτρων, συζύγων, ἢ διὰ τὸ μάχιμον ἀλέκ-
τορας λέγει τοὺς Ἕλληνας. ναυφάσοι φρυκτωρίαι τῷ
περὶ τὸν Καφηρέα, ἤγουν τὸν ξυλοφάγον λέγει φανὸν ὅπου
πολλαὶ νῆες ἀπώλλοντο. πτόρθου διαρραισθέντος τοῦ
Παλαμήδην πτόρθον διὰ τὸ ἀκμαῖον καλεῖ, ἐν Λεπε-
τύμνῳ δὲ ὄρει Μηθύμνης ὁ Παλαμήδης κεῖται ἡ δὲ Μή-
θυμνα μία πόλις ἐστὶ τῆς πενταπόλεως Λέσβου ἔ-
χει γὰρ ἡ Λέσβος πόλεις Πύρραν, Μήθυμναν, Ἐρεσσόν
Μιτυλήνην καὶ Ἄντισσαν

Λεπετύμνῳ

Λέσβου πό(λεις)
Πύρρα
Μήθυμνα
Ἐρεσός
Μιτυλήνη
Ἄντισσα

ὁ μὲν γὰρ ἀμφὶ χύτλα τὰς διεξόδους
ζητῶν κελεύθους αὐχενιστῆρος βρόχου
ἐν ἀμφιβλήστρῳ συντεταργανωμένος
τυφλαῖς ματεύσει χερσὶ κηρόωντος ῥαφάς
θερμὴν δ' ὕπαιδον ζῶνος ἀρνεύων στέγην
τιβῆνα καὶ κύπελλον ἐγκάρῳ ῥανεῖ
τυπεὶς σκεπάρνῳ κόγχον ἀμφιθήκτῳ μέσον
οἰκτὰ ὁ πέμφιξ Ταίναρον πτερύξεται
λυπρὰν λεαίνης φοιδοῦσ' οἰκουρίαν
ἐγὼ δὲ δροίτης ἄγχι κείσομαι πέδῳ
χαρυβδικῷ κνώδοντι συντεθραυσμένη
ἐπεί με πεύκης πρέμνον ἢ στύπος δρυὸς
ὅπως τις ὑλακουργὸς ἐργάτης ὀρεύς
ῥήξει πλατὺν τένοντα καὶ μετάφρενον
καὶ πᾶν λακίζουσ' ἐν φοναῖς ψυχρὸν δέμας
δράκαινα διψὰς κἀπιβᾶσ' ἐπ' αὐχένα
πλήσει γέμοντα θυμὸν ἀγρίας χολῆς
ὡς κλεψόνυμφον καὶ δορύκτητον γέρας
δύσζηλος ἀξένακτα τιμωρουμένη .

ὁ μὲν γὰρ ἀμφίβληστρα: ἐπειδὴ δέδωκεν αὐτῷ ἡ Κλυται-
μνήστρα χιτῶνα ἔξοδον μὴ ἔχοντα μήτε χειρῶν μήτε τραχή-
λου. θερμὴν δ' ὑπαὶ λουτρῶνος: θερμὴν στέγην τὸν λου-
τρῶνά φησιν. ἔσω δὲ δροίτης: δροίτη κυρίως ἡ
ξύλινος πύελος ἤτοι σκάφη, νῦν δὲ ἡ πύελος, ἡ δεξαμενή.
ἔσω δέ φησιν ἡ Κασάνδρα πλησίον τῆς τοῦ Ἀγαμέμνονος
πυέλου ἀναιρεθήσομαι. ἀλλ' οὗτος μὲν σὺν τοῖς λοιποῖς
πᾶσι νέοις ἐν λουτρῶνι φησὶν ἀναιρεθῆναι Ἀγαμέμνονα,
Ὅμηρος δὲ ἐν τραπέζῃ ὑπ' Αἰγίσθου κληθέντος πρὸς εὐω-
χίαν. χαρυβδικῷ: χάρυβδες Σκυθικὸν ἔθνος περὶ οἷς σί-
δηρος ἄριστος. χαρυβδικῷ δὲ εἶπεν αἰολικῶς· οἱ γὰρ αἰ-
ολεῖς τὸν ὄχλον ὄκλον φασί, καὶ τὸ χαρυβδικὸν καὶ ἕτερα
μύρια τοιαῦτα. γνόδωντι: νῦν πελέκει. κυρίως δὲ πᾶν
τὸ εἰς ὀξὺ λῆγον παρὰ τὸ πρὸς τὸ κναίειν ὀδόντι. ἔσω
δὲ δροίτης: σύνταξις ἔσω δὲ ἀρχὴ τῆς δροίτης κόψομαι ἐν
τῷ πέδῳ συγκοπεῖσα τῷ ξίφει τῷ πελέκει. ἐπεὶ καὶ ἀφροῦ
ἡ δράκαινα ἡ διπτὰς Κλυταιμνήστρα ῥήξει ἤτοι κόψει
πλατὺν τένοντα, καὶ τὸ μετάφρενον ἐμὲ καὶ ἐμοῦ ὅπως ἤτοι
ὥσπερ τις ὑλοτόμος ἐργάτης ἀπὸ πρινοῦ τὸ ῥήξει καὶ
κόπτει πεύκης πρέμνον ἢ στύπος δρυός, καὶ ἐπιπληρώ-
σει ἤτοι πληρώσει τὸν θυμὸν αὐτῆς γέμοντα ἀγρίας χο-
λῆς. περὶ δὲ πληρώσει ἐπιβᾶσα ἐπὶ τὸν τράχηλον ἐ-
μοῦ ἡ δύσζηλος τιμωρουμένη ἤτοι τιμωροῦσα πολυ-
στένακτα ἤτοι διὰ στεναγμοῦ καὶ θρήνων ὡς πλεξίνυμφον
καὶ μοίχαιναν καὶ οὐκ αἰχμάλωτον καὶ παλλακίζουσαν
ζηλίζουσα. τινὲς δὲ παλλακίζουσαν φασὶν ἵνα ᾖ ὡς πα-
λακίδα τιμωρουμένη. δράκαινα διπτάς: ἀντὶ τοῦ
ἔχιδνα. λέγει δὲ τὴν Κλυταιμνήστραν. ἔθος δὲ ἀντὶ ὄφους
εἶπε δράκαιναν καὶ διπτάδα ἀντὶ τοῦ ἔχιδναν. ἡ γὰρ
ἔχιδνα ἐπὶ τῷ μιγῆναι ἀναιρεῖ τὸν ὁμόζυγον, καὶ οἱ παῖ-
δες τὴν μητέρα τικτόμενοι ὡς ἡ Κλυταιμνήστρα τὸν

πύελος

Agamemnonis mors

χάρυβδες

γνόδωντι

περὶ τῆς ἐχίδνης

ἔχιδνα

ἀγαμέμνονα, καὶ ὀρέστης τὴν κλυταιμνήστραν. περὶ ἐχιδνῶν
„ ~~ὀρέστης~~ οὕτω φησὶ νίκανδρος. θουρὰς ἀκὺξ ἀμφῦσα κάρ
„ ην ἀπέκοψεν ὁμεύνου, οἱ δὲ πατρὸς λώβην μετίασθον αὖ
„ τίκα τυτθοὶ γεινόμενοι ἔχιες, ἐπεὶ διὰ μηδὸς ἀραιὴν
„ γαστέρα βράσαντες ἀμήτορες ἐξεγένοντο. καὶ ὁ διψὰς ὄφις

διψάς

ἐστὶ· τῷ δηχθέντι δὲ ὑπ' αὐτῆς δίψος ἄρρητον ἐπιγίνεται ὡς
πίνοντα διαρρήγνυσθαι· ὅθεν καὶ ὁ ὄφις οὕτως ἐκλήθη διψάς./

βοῶσα δ' οὐ κλύοντα δεσπότην πόσιν
θύνω κατ' ἴχνος ἐκκεκομμένοις πτεροῖς
σκυμνὸς δὲ πατρὸς κῆρα μαστεύων φόνου
ἐς σπλάγχν' ἐχίδνης αὐτόχειρ βάψει ξίφος
κακὸν μίασμ' ἐμφύλιον ἀλθαίνων κακῷ
ἐμὸς δ' ἀκοίτης δμωΐδος νύμφης ἄναξ
Ζεὺς σπαρτιάταις αἱμύλοις κληθήσεται
τιμὰς μεγίστας οἰβάλου τέκνοις λαχών
οὐ μὴν ἐμὸν νώνυμνον ἀνθρώποις σέβας
ἔσται μαρανθὲν ἄνθι ληθαίω σκότω
ναὸν δέ μοι τεύξουσι δαυνίων ἄκροι
σάλπης παρ' ὄχθαις οἵ τε δάρδανον πόλιν
ναίουσι λίμνης ἀγχιτέρμονες ποτῶν

σκύμνος δὲ πατρὸς· ὁ ὀρέστης, δῆλη καὶ νῦν ἐρρέθη. κῆρα
φόνου· θάνατον περιφραστικῶς. κακὸν μίασμα· κατὰ
τὴν παροιμίαν, κακῷ τὸ κακὸν ἰώμενος ὀρέστης τὸν φό
νον τοῦ πατρὸς τῇ μητροκτονίᾳ, ὅθεν καὶ ἐμάνη. ἐμὸς δ' ἀ
κοίτης· τὸ σχῆμα ἀπόδοσις· τὸ ἀκοίτης γὰρ πρὸς τὸ
νύμφης ἀποδίδοται, τὸ δὲ ἄναξ πρὸς τὸ δμωΐδος. Ζεὺς σπα
ρτιάταις· λακεδαιμόνιοι ἱδρύσαντο ἀγαμέμνονος διὸς
ἱερὸν ἐς τιμὴν τοῦ ἥρωος, οἰβάλου δὲ τέκνα τοῦ λακεδαί
μονος ἔφη ὡς καὶ ἡσίοδος. χαίρετε λυγκῆος γενεή· ὥσπερ

παροι(μία)
κακῷ τὸ κακὸν ἰώμενος./

ἱερὸν διὸς ἀγαμέμνονος

ἥτις τυχὸν ἐστὶ ἀλεξάνδρου ὁ ἰβάλου κατά τινας τυν-
δάρεως καὶ οἱ λοιποὶ οἵτινες προῆρχον τῶν λακώνων. κατὰ
δὲ ἑτέρους κάστορος καὶ γοργοφόνης ὑπῆρχον τυνδάρεως
καὶ οἱ αὐτοῦ ἀδελφοί. αἱμύλους δὲ τοὺς λάκωνας φησίν,
ὡς ψεύστας καὶ δολίους ὡς φησι καὶ ἀριστείδης σπάρτης ἐν-
οικοι δόλιοι βουλευτήριοι. ναοῦ δέ μοι ἡ κασάνδρας
ἱερὸν ἐστὶν ἐν ἰταλίᾳ πλησίον σάλπης λίμνης. καὶ δάρ-
δανος κατά τινας πόλις ἰταλίας. ἐγὼ δὲ τοὺς δαρδανίους
ἔθνος δ̄ον οἰκοῦν ὑπέρ τε ἰλλυρίων καὶ μακεδόνων καὶ
ἡ δάρδανος πόλις ἐστίν.

σπαρτιᾶται
δόλιοι
κασάνδρ(ας) ἱερ(όν)
σάλπη λίμνη
δάρδανος

Κοῦραι δὲ παρθένειον ἐκφυγεῖν ζυγὸν
ὅταν θέλωσι νυμφίους ἀρνούμεναι
τοὺς ἑκτορείοις ἠγλαϊσμένους κόμαις
μορφῆς ἔχοντας σίφλον ἢ μῶμαρ γένους
ἐμὸν περιπτύξουσιν ὠλέναις βρέτας
ἄλκαρ μέγιστον κτώμεναι νυμφευμάτων
ἐριννύων ἐσθῆτα καὶ ῥέθος βαφαῖς
πεπαμμέναι θρόνοισι φαρμακτηρίοις
κείναις ἐγὼ δηναιὸν ἄφθιτος θεὰ
ῥαβδηφόροις γυναιξὶν αὐδηθήσομαι
πένθος δὲ πολλαῖς παρθένων τητωμέναις
τεύξω γυναιξὶν αὐτῆς, αἳ στρατηλάτην
ἀθεσμόλεκτρον κύπριδος λῃστὴν θεᾶς
δαρὸν στένουσαι κλῆρον εἰς ἀνάρσιοι
πέμψουσι παῖδας ἐστερημένας γάμων

Κοῦραι δὲ παρθένειον· αἱ κόραι φησὶ τῶν δαυνίων ἐὰν
μὴ θελήσωσι γαμηθῆναι τοῖς μνηστῆρσιν αὐτῶν ἢ διὰ
δυσμορφίαν, ἢ διὰ συγγένειαν καταφεύγουσαι εἰς τὸ
ἐμὸν τέμενος χρίουσι τὰ ἑαυτῶν πρόσωπα φαρ-
μάκοις

καὶ μέλαιναν ἐσθῆτα ἐνδυσάμεναι καὶ πλέξασαι ταῖς χερσὶ
τὸ ἐμὸν βρέτας ἤτοι τὸ ξόανον παρθένοι διαμενοῦσι
βρέτας — βρέτας δὲ κυρίως τὸ τοῦ ἀνθρώπου εἴδωλον. καταχρη-
στικῶς δὲ τὸ οἱονδήποτε εἴδωλον. ἑκτόρειαις κόμαις
ἑκτόρειος κόμη ἡ τὰ ὄπισθεν καθειμένα ἔχουσα, τὰ
δ' ἔμπροσθεν κεκαρμένα, ὡς φησὶν ~~κεκαρμένα~~ ὁ Λυκόφ-
ρων οὗτος. Πλούταρχος δὲ λέγει ὅτι Θησεὺς ἡβήσας εἰς Δελ-
φοὺς ἦλθε καὶ τὴν τῆς πρώτης ἡλικίας κόμην τῷ Ἀπόλλωνι
ἑκτόρειος κόμη — καθιέρωσε τὴν ἔμπροσθίαν μόνην καρείς, τὴν δ' ὄπισθεν
μακρὰν καὶ ἀκέρατον ἐάσας· καὶ τῆς κουρείδος τὸ εἶδος ταύ-
της πρῶτοι Ἄβαντες ἐμιμήσαντο ὡς καὶ Ὅμηρος περὶ τού-
των φησί. τῷ δ' ἅμ' Ἄβαντες ἕποντο θοοὶ ὄπισθεν κομό-
ωντες, οὗτος δὲ ὁ Λυκόφρων ἴσως τὴν Κασάνδραν φάσκει
πόθῳ τοῦ Ἕκτορος τὴν τοιαύτην κόμην ἑκτόρειαν καλῶν
ὡς καὶ τοῦ Ἕκτορος τοῦτο κομῶντος. μῶμαρ ὁ μῶμος
μῶμαρ — ὡς ἔλδαρ, ἄλκαρ. ἐρινύων ἐσθῆτα τρεῖς φασὶν ἐρινύ-
ες Τισιφόνη, Μέγαιρα καὶ Ἀληκτώ, τιμωρητικαὶ δυνάμεις
μέλαιναι δὲ τῇ θέᾳ, ὅθεν καὶ τὰς μελαίνας ἐσθῆτας ἐρινύων
φασίν. αἱ δὲ τῶν Δαυνίων γυναῖκες μέλαιναν ἐσθῆτα φο-
ροῦσαι καὶ τὰς ὄψεις βάπτουσαι πυρρῷ χρώματι, ὥς
φησι Τίμαιος ταινίαις τε πλατείαις ἀεὶ ὑπεζωσμέ-
ναι· ὑποδεδεμέναι τὰ κοῖλα ὑποδήματα, καὶ ῥάβδους
κατέχουσαι. πένθους δὲ πολλοῖς Αἴαντος Λοκροῦ
περὶ τὰς Γυρέας ναυαγήσαντος καὶ ταφέντος ἐν ῥέμω-
νι χωρίῳ τῆς Δήλου οἱ Λοκροὶ μόλις σωθέντες ἦλθον
εἰς τὰ οἰκεῖα. φθορὰ καὶ λιμὸς μετὰ τρίτον ἔτος ἔσχε τὴν
Λοκρίδα, διὰ τὴν εἰς Κασάνδραν ἀθεσμιτομιξίαν
Αἴαντος, ἔχρησε δὲ ὁ θεὸς ἱλάσκεσθαι Ἀθηνᾶν τὴν
ἐν Ἰλίῳ ἐπὶ ἔτη χίλια δύο παρθένους πέμποντες
κλήρῳ καὶ λαχμῷ. πεμπομένας δὲ αὐτὰς προϋπ-
αντῶντες οἱ Τρῶες ~~οἱ Τρῶες~~ εἰ κατέσχον ἀνῄρουν καὶ καί-
οντες

καὶ ἀγρίοις
ἀκάρποις ξύλοις τὰ ὀστᾶ αὐτῶν ἀπὸ Τράρωνος ὄρους
τῆς Τροίας τὴν σποδὸν εἰς θάλασσαν ἔρριπτον, καὶ πάλιν οἱ
Λοκροὶ ἑτέρας ἔστελλον. εἰ δέ τινες ἐκφύγοιεν ἀνελθοῦ-
σαι λάθρα εἰς τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἐσάρουν αὐτὸ καὶ ἔρραι-
νον. τῇ δὲ θεῷ οὐ προσήρχοντο οὔτε τοῦ ἱεροῦ ἐξήρχον-
το εἰ μὴ νύκτωρ. ἦσαν δὲ κεκαρμέναι, μονοχίτωνες καὶ ἀν-
υπόδετοι. πρῶται δὲ τῶν Λοκρίδων παρθένοι Περίβοι-
α καὶ Κλεοπάτρα ἀφίκοντο. καὶ πρῶτον μὲν τὰς παρθέ-
νους, εἶτα τὰ βρέφη ἐνιαύσια μετὰ τῶν τροφῶν αὐτῶν
ἔπεμπον οἱ Λοκροί. χιλίων δὲ ἐτῶν παρελθόντων με-
τὰ τὸν Φωκικὸν πόλεμον ἐπαύσαντο τῆς τοιαύτης θυ-
σίας ὥς φησι Τίμαιος ὁ Σικελός. μέμνηται δὲ τῆς ἱστο-
ρίας καὶ ὁ Κυρηναῖος Καλλίμαχος

Λάρυμνα καὶ Σπερχειὲ καὶ Βοάγριε
καὶ Κῦνε καὶ Σκάρφεια καὶ Φαλωρίας
καὶ Ναρύκειον ἄστυ καὶ Θρονίτιδες
Λοκρῶν ἀγυιαὶ καὶ Πυράνθιοι νάπαι
καὶ πᾶς Ὀδοιδόκειος Ὀιλέως δόμος
ὑμεῖς ἐμῶν ἕκατι δυσσεβῶν γάμων
ποινὰς Γυγαίᾳ τίσετ' Ἀγρεισκόνᾳ θεᾷ
τὸν χιλίωρον τὰς ἀνυμφεύτους χρόνον
πάλου βραβείαις γηροβοσκοῦσαι κόρας
αἷς ἀκτέριστος ἐν ξένοις ξένος τάφος
ψάμμῳ κλύδωνος λυπρὸν ἐκκλυσθήσεται
ὅταν ἀκάρποις γυῖα συμφλέξας φυτοῖς
Ἥφαιστος εἰς θάλασσαν ἐκβράσῃ σποδὸν
τῆς ἐκ λόφων Τράρωνος ἐφθιτωμένης
ἄλλαι δὲ νύκτωρ ταῖς θανουμέναις ἴσαι
Σιθῶνος εἰς θυγατρὸς ἵξονται γύας
λαθραῖα κἀκνήλαυτα πεπταλωμέναι

ἕως ἂν ἀθρέξωσιν ἀμφ' ἔρας δόμους
λιταῖς ἀθήναν ἱκέτιδες γουνούμεναι
θεᾶς δ' ὀφελτρεύσουσιν ἠσμῆσαι πέδον
δρόσῳ φυκοῦσαι, πᾶς γὰρ ἰλιεὺς ἀνὴρ
κόρας δοκεύσει πέτρον ἐν χεροῖν ἔχων
ἢ φάσγανον θηκτὸν ἢ ταυροκτόνον
στερὰν κύβηλιν ἢ φαλακραῖον κλάδον
μαιμῶν κορέσαι χεῖρα διψῶσαν φόνου

Λάρυμνα, σπερχειός, βοάγριος

<u>Λάρυμνα</u>, πόλις θεσσαλίας, τὴν λάρισσαν καὶ λέγει λάρυμναν. σπερχειὸς ποταμὸς θεσσαλίας, ὃς νῦν σαλάμβρια καλεῖται. βοάγριος ποταμὸς λοκρίδος. παράκειται τῇ θεσσαλίᾳ ἡ λοκρίς. <u>εἰς ἀκτέριστος</u>, ἐρρέθη ὅτι φονευόμεναι παρὰ τῶν τρώων αἱ λοκρίδες αἱ ἀκάρποις ξύλοις ἐκαίοντο καὶ ἡ σποδὸς αὐτῶν εἰς τὴν θάλασσαν ἐρρίπτετο, ἢ ἀπὸ συντάξεως οὕτως εἰς ξέναις λοκρίσιν ἐν ξένῃ ψάμμῳ ἀκτέριστος. ἢ ἄταφος λυπηρὸς τάφος ἐκκλυσθήσεται. ἢ ἐκριφθήσεται ὑπὸ τοῦ κλύδωνος. <u>ὅταν ἀκάρποις</u> ἐρρέθη. <u>τῆς ἐκ λόφων ζάρωνος</u>, συνέβη μίαν τῶν λοκρίδων σταλμένην διαφθαρῆναι ἐπί τινος λόφου ~~τοῦ~~ τῆς βοιωτίας καλουμένου ζάρωνος. εἶτα τοὺς λοκροὺς τὴν μὲν θάψαι, μηκέτι δὲ πέμψαι τὰς παῖδας δοκοῦντας πεπληρῶσθαι τὸν τῶν ἐτῶν χρόνον. ὁ δὲ χρησμὸς οὐκ εἶχε χρόνον ὡρισμένον ἀλλ' ἀντὶ τῆς ἀδικίας τῆς κασάνδρας ἐδήλου δύο στέλλειν κόρας. ἀκαρπίας δὲ μετὰ τὴν παῦσιν τῆς θυσίας καταλαβούσης πάλιν τὴν λοκρίδα, οὐκέτι δύο ἔπεμπον ἀλλὰ μίαν ἀρκοῦσαν εἶναι δοκοῦντες τὴν τιμωρίαν. ὅσα ἢ μακρὸν ἢ βραχὺ δεχθὲν οὐ λυμαίνεται τὸν στίχον ὡς πολλάκις εἰρήκειν. <u>σιθωνος θυγατρὸς γῆρας</u> εἰς τὸ

ῥοίτειον, ἀπὸ δὲ τοῦ ῥοιτείου τὴν ὅλην Τροίαν ἐδήλωσε.
σίθωνος γὰρ τοῦ θρακῶν βασιλέως καὶ ἐκ ῥοίτης τῆς
νύμφης θυγατρὸς παλλήνη καὶ ῥοίτεια, ἀφ' ὧν καὶ τὲ παλ-
λήνη καὶ πόλις θράκης καὶ τὸ ῥοίτειον τόπος ἐν Τροίᾳ, ὁ δὲ
σίθων υἱὸς ἄρεος. λαθραία πόλις. κακκελευ-
θα, κατὰ κρυφιότητας ὅσους περιβλέπουσαι ἐδεδί-
ων γὰρ ὡς ἔφην μὴ ἀναιρεθῶσιν ὑπὸ τῶν Τρώων, ὅθεν
ἐν νυκτὶ εἰσήρχοντο εἰς τὸν ναόν. τὸ δὲ πεπλανημέν-
αι ἀδὴ λυκόφρονος, ὅταν ἀκάρποις γυῖα συμφλέξας
φυτοῖς τῆς ἐκ λόφων Τράρωνος ἐφθιτωμένης σίθωνος
τῆς θυγατρὸς ἕξονται γυίας ἕως ἂν ἐκθρέψωσιν ἀμφὶ-
ρας δόμους ἐλέχθη. ἱππώνακτος γὰρ ἡ λέξις καὶ δηλοῖ
τὸ περιβλέπουσαι. ἀλλ' ἐκεῖνος παμφαλῆσαι τὸ ἴ-
σον λέγει ὑποπτήξασαι ὥσπερ νῦν φησὶν οὗτος
πεῖ τὸ τέλος δὲ μετὰ μικρὸν ἐρεῖ κόρη κνεφαίαν
ἄσχι παμφαλωμένα. τοιαύτῃ γοῦν ἀδείᾳ χρώ-
μενος πῶς οὐκ ἂν πεῖ οὗ βούλοιτο μετρικῶς
γράφει. <u>ὀφλητρεύσωσι</u> σαρώσωσι· σαρὸν γὰρ
καὶ ὄφελλε καὶ ὄφελμα καὶ χονσκοῦπα λέγεται· καὶ
τοῦτο ἱππῶναξ φησὶ ὁ δ' αὐτίκ' ἐλθὼν σὺν ζιοισι
μέρτυσιν ὅπου τὸν ἑσπην ὁ σκοπὸς καπηλεύσαν-
θρωπι εὑρὼν τὴν ζέτην ὀφλήοντα, οὐ γὰρ σαρὴν
ὄφλημα π νθμεωι ςοιβης. <u>φοιβάζουσι καθαίρ-
ουσι</u>. φοίβη γὰρ ἀλληγορικῶς τὸ ὕδωρ ἐστί. πέ-
τρον ἔχων ἢ τόδε καὶ τάδε τοιούτοις γὰρ οἱ Τρῶες
ὡπλισμένοι τὰς λοκρίδας ἐξεδέχοντο ὅπως αὐτὰς
ἀνέλωσι, νόμῳ γὰρ τοῖς Τρωσὶν ἐπαινῶν τοὺς λο-
κρίδων φονέας. <u>φαλακραῖον κλάδον</u> ξύλον ἐκ
φαλάκρας, τέσσαρα γὰρ ἀκρωτήρια τῆς ἴδης
πέργαμος. λεκτόν. γάργαρον. φαλάκρα. <u>μαι-
μῶν</u> κυρίως αἵματος ἐπιθυμῶν καὶ προσθήκη

παλλήνη, ὑποθ
ῥοίτειον
σίθων

τέσσαρα ἀκρω-
τήρια τῆς ἴδης
πέργαμος
λεκτόν
γάργαρον
φαλάκρα

Contradicit innominatus homeri interpres in 14. homeri iliados rhap-
sodia. δύο δὲ τὰ πάντα ἀκρωτήρια
τῆς ἴδης. λεκτόν. γάργαρον. φαλάκρα

μαιμῶν

τοῦ μ. μαιμῶν. / μαιμῶν κορέσαι εἰς δευτέ
ραν χώραν δύο βραχέα. ποίας ἀνάγκης χάριν οὐκ οἶδα.
ἐγὼ δὲ ἀπορήσας διὰ τὸ μὴ εὑρίσκειν τινὰ ποιητικὸν τρό
πον τὸν ἐκτείνοντα, αὐτὸ δύο. συ. ἔγραψα, ὡς ἐπὶ τῶν
ἡρωικῶν ἵνα ᾖ αἰολικόν. ἱππῶναξ τὴν ῥέαν κύβηριν

Κύβηρις ἡ ῥέα

λέγει παρὰ τὸ ἐν κυβήλῃ πόλει φρυγίας τιμᾶσθαι. οὗ
τος δὲ τὸν περίκειω. / . /

Δῆμος δ' ἀνατεὶ τὸν κτανόντ' ἐπαινέσει
τεθμῷ χαράξας τοῦ πιλωθέντος γένους
ὦ μᾶτερ ὦ δύσματερ οὐ δὲ σὸν κλέος
ἄπυστον ἔσται περσέως δὲ παρθένος
βριμὼ τρίμορφος θήσεταί σ' ἐπωπίδα,
κλαγγαῖσι ταρβήσουσαν ἐννύχοις βροτούς.
ὅσοι μεδούσης στρυμόνος ζηρυνθίας,
δείκελα μὴ σέβωσι λαμπαδουχίαις,
θυσθλοις φεραίαν ἐξακούμενοι θεάν

Δῆμος δ' ἀνατεὶ ἡ σύνταξις οὕτως. ὁ δὲ δῆμος τῶν ζῴ
ων δηλονότι τὸν κτανόντα, τοῦ πιλωθέντος γένους τὰς λο
κρίδας ἐπαινέσει ἀνατεὶ ἐν τεθμῷ. ἤ. νόμῳ τοῦτο
γράψας δηλονότι τὸ ἐπαινεῖσθαι τὸν φονεύσαντα λοκρί
δας καὶ μὴ ἐπιφοροῦσθαι βλάβην τὴν διανοίαν. περσέως δὲ
παρθένος ἡ ἑκάτη. καὶ τοῦτο τῆς ἀνάγκης ἐστὶ τοῦ λυκόφρο
νος τὸν πέρσην περσέα καλεῖν ὅπως ἀπαρτίσῃ τὰ
μέτρα. ὁ γὰρ ἡσίοδος τὴν ἑκάτην πέρσου καὶ ἀστερίας φησὶ
θυγατέρα, οὐ περσέως. οὐ μὴν πέρσου τινὸς νεωτέρου ἀλ
λὰ πέρσου τοῦ παλαιοῦ ὃς ἦν παῖς κρίου καὶ εὐρυβίας ἀκροῦ
τοῦ οὐρανοῦ παίδων, ἡ δὲ πέρσου γυνὴ ἀστερία παῖς
ἦν κοίου καὶ φοίβης. ὁ δὲ κοῖος καὶ φοίβη οὐρανοῦ. βριμὼ
ἡ αὐτὴ ἑκάτη ὅτι ἑρμοῦ ἐν κυνηγεσίῳ βιάζοντος αὐτὴν

.:. emendo καὶ κρίου ex Hesiodi theog.

Βριμὼ πόθεν κτ.

ἐνεβριμήσατο καὶ οὕτως ἐπαύθη. καὶ ἡ περσεφόνη βριμὼ,
λέγεται, δοκεῖ δὲ ἡ αὐτὴ εἶναι ἑκάτη καὶ ἡ περσεφόνη. τρί-
μορφος τρικέφαλος ἢ παρ' ὅτι μετέχει οὐρανοῦ καὶ γῆς καὶ
ᾅδου. ἐπωπὶς δασέως μὲν ἡ ἀκόλουθος καὶ δμω-
ὶς ψιλῶς δὲ ἡ ἐπισκοποῦσα καὶ βλέπουσα, παρὰ τοὺς
ὦπας. ἐπωπίδα δὲ ἡ ἀκόλουθον φησὶ τῆς ἑκάτης τὴν
ἑκάβην ὅτι καθάπερ ὡς ληροῦσι ἡ ἑκάβη κύων γέγονε
διὰ τὸ λίθοις ἀναιρεθῆναι. καὶ τῇ ἑκάτῃ φασὶ κύνας με-
λαίνας φοβερὰς ἕπεσθαι. μεδούσης στρυμόνος φεραίαν
ἑκάτην. ἕτεροι φεραίας τῆς αἰόλου θυγατρὸς καὶ τοῦ διὸς
τεχθεῖσα ἐν τριόδοις ἐρρίφη, βουκόλοι δὲ φέρητος ἀρ(?)ύτου
αὐτὴν ~~αυτ~~ ἀνέθρεψαν ὅθεν ἐν τριόδοις αὐτῇ τὰς θυσίας
ἐποίουν. φεραίαν δὲ τὴν ἐν ταῖς ~~φερ~~ φέραις τιμωμένην.
φέρης γὰρ ἔκτισε πόλιν φέρας ἥτις νῦν σέρραι καλοῦνται
καὶ καλλίμαχος περὶ τῆς ἀρτέμιδος φησίν. ἄρτεμιν μουνι-
χίη λιμένος σκοπὲ χαῖρε φεραία. ἡ αὐτὴ δὲ ἐστὶν ἄρτε-
μις καὶ ~~φεραία~~ ἑκάτη. δείκηλα, εἰκόνας, ἀγάλματα,
~~κυ~~ κυρίως δὲ τὰ τῶ δεῖ ἴκελα τινὰ ὄντα καὶ δείκηλα.

ἑκάτη καὶ ἡ περσεφόνη ἡ αὐτή

ἑκάτη τρικέφαλος

τῇ ἑκάτῃ ἐν τριόδοις τὰς θυσίας ἐποίουν

πένθει δὲ νησιωτικὸς στόνυξ
πάχυνος ἕξει σεμνὸν ἐξ ὀνειράτων
ταῖς δεσποτείαις ὠλέναις ~~ωγ~~ ὠγκωμένον
ῥέεθρων ἑλώρου πρόσθεν ἐκτερισμένης
ὅς δὴ παρ' ἀκταῖς τλήμονος ῥανεῖ χοὰς
βιαύχανος μήνισμα δειμαίνων θεᾶς
λευστῆρα πρῶτον οὕνεκα ῥίψας πέτρον
ᾅδη κελαινῶν ~~κελαινεε~~ θυμάτων ἀπάρξεται

Νησιωτικὸς στόνυξ ἀκρωτήριον ἐστὶ τῆς σικελίας ὃ πά-
χυνος καλεῖται. ἔνθα κενοτάφιον ὀδυσσεὺς ἱδρύσα-
το τῇ ἑκάβῃ δειματούμενος ὑπ' αὐτῆς ταῖς νυξὶ διὰ

τὸ πρῶτον καθάρξαι αὐτὸν τοῦ κελεύσματος τοῦ ὠφελη-
νων εἰς αὐτὴν γεγονότος. τρία δὲ ἀκρωτήρια τῆς σικελί-
ας πάχυνος πελωρὶς καὶ λιλύβαιον. ῥέεθρον ἐλώρου π-
ρόσθεν πλησίον τῶν ῥεέθρων τοῦ ἐλώρου ποταμοῦ

ἔλωρος ποταμός.

σικελίας τῇ τλήμονι ἑκάβῃ ῥανεῖ χοὰς ὁ ὀδυσσεύς.
μιαυχένος τῆς ἑκάβης ἣν ἄνω δίμορφον εἶπεν ἐξ ὀνει-
ράτων. οὔτε ἀπὸ τῆς ὄναρ εὐθείας εἶπεν, οὔτε ἀπὸ
τῆς ὄνειρον ἢ ὄνειρος εἶπεν ὀνείρου γὰρ ἡ γενικὴ καὶ ὀ-
νείρων ἀλλὰ ἀπὸ τῆς εὐθείας τῆς λεγούσης ὀνείρατον
ὡς τὸ προσώπατον ὡς καὶ ὅμηρος μεθιόων βλοσυ-
ροῖσι προσώπασι νέρθε δὲ ποσί. ἀπὸ τούτου τῆς
εὐθείας ἡ γενικὴ λέγεται προσωπάτων καὶ ὀνειράτων
δεσποτῶσαις ὠλέναις. ταῖς τοῦ ὀδυσσέως χερσί. ἑκά-
βης γὰρ καὶ δεσπότης ὀδυσσεὺς ἐγένετο ὡς φησὶν εὐρι-
πίδης ἐν τρῳάσι. ἰθάκης ὀδυσσεὺς ἔλαχ' ἄναξ δού-
λην ἔχειν

σὺ δ' ὦ ξύναιμε πλεῖστον ἐξ ἐμῆς φρενὸς
στερχθεὶς μελάθρων ἕρμα καὶ πάτρας ὅλης
οὐκ εἰς κενὸν κρηπῖδα φοινίξεις φόνῳ
ταύρων ἄνακτι τῷ τ' ὀφίωνος θρόνων
πλείστας ἀπαρχὰς θυμάτων δωρούμενος.
ἀπάξεταί σε πρὸς γενεθλίαν πλάκα
τὴν ἐξόχως γραικοῖσιν ἐξυμνημένην

οὐκ εἰς κενὸν κρηπῖδα. οὐ μάτην αἱμάξεις τὴν κρη-
πῖδα, ἤγουν τὴν βάσιν τοῦ βωμοῦ ἐν τῷ αἵματι τῶν θυσι-
ῶν δηλονότι ταύρων καὶ ταυρικῶν θυμάτων πλείστας ἀπαρχὰς
δωρούμενος τῷ δὲ τῷ ἄνακτι τῷ καὶ βασιλεῖ τῶν ὀφίωνος
θρόνων. πρὸ κρόνου καὶ ῥέας ὀφίων καὶ εὐρυνόμη ἡ ὠκε-
ανοῦ τῶν θεῶν ἐβασίλευον οὓς τιτᾶνας καλοῦσι. κρό-
νος δὲ τὸν ὀφίωνα, καταβαλὼν ῥέα καὶ εὐρυνόμην κα-
ταπαλαίσασα,

ὀφίων καὶ εὐρυνόμη

τῷ Ταρτάρῳ τῶν θεῶν ἐβασίλευσαν, καὶ πάλιν ὁ Ζεὺς Ταρ-
ταρώσας εἶχε τὸ κράτος. ὁ πρῶτον μὲν Κρόνος αὐτὸς εἶχε
καὶ Ῥέα, πρὸ αὐτῶν δὲ Ὀφίων καὶ Εὐρυνόμη θεῶν ἄνακτα,
τοῦ δία φησὶν τῆς βασιλείας Ὀφίωνος καὶ Εὐρυνόμης. ἀλλ' ἐ-
ξετάσαι πρὸς γενέθλιον πλάκα. φησὶν ὅτι λοιμοῦ κα-
ταλαβόντος τὴν Ἑλλάδα, ἔχρησεν ὁ θεὸς τὰ τοῦ Ἕκτορος ὀστᾶ
κείμενα ἐν Ὀφρυνῷ τόπῳ τῆς Τροίας μετενεχθῆναι ἐπί
τινα πόλιν Ἑλληνίδα ἔντιμον μὴ μετασχοῦσαν τῆς ἐπ' Ἴλιον
στρατείας. οἱ δὲ Ἕλληνες ἀκούσαντες τὰς ἐν Βοιωτίᾳ Θήβας μὴ
στρατευσαμένας ἐπὶ Ἴλιον ἀνενεγκόντες τὰ τοῦ ἥρωος λεί-
ψανα ἔθεντο παρὰ τὴν ἰδίαν πόλιν κρήνην ἐν Θήβαις
γενεθλίαν ἢ πλάκα. τὰς ἐν Θήβαις λέγει ὅτι ἐκεῖ κατά
τινας ὁ Ζεὺς ἐτέχθη, καὶ τὰς μακάρων νήσους ἐν Θήβαις φη- μακάρων νῆσοι
σὶν εἶναι, καὶ τὴν μὲν Διὸς γένεσιν οἱ μὴ εἰδότες τίς ἐστιν ὁ
Ζεὺς οἱ μὲν ἐν Κρήτῃ οἱ δὲ ἐν Ἀρκαδίᾳ, ὁ δὲ Λυκόφρων
ἐν Θήβαις τῆς Βοιωτίας φησὶν ἔνθα καὶ ἐπιλέγεται τάδε De Iovis gene-
αἱ δ' εἰσὶ μακάρων νῆσοι τόθι περ τὸν ἄριστον Ζῆνα θε- ratione &
ῶν βασιλῆα Ῥέη τέκε τῷδ' ἐνὶ χώρῳ. τοῖς δὲ εἰδόσιν ὅ- ubi natus sit.
τι Δίες πάντες οἱ βασιλεῖς καὶ θεοὶ λέγονται, οὐ καινὸν
δόξει ἐν Κρήτῃ καὶ ἐν Ἀρκαδίᾳ καὶ ἐν Θήβαις καὶ ἐν ἑτέροις
μυρίοις τόποις εἶναι γεννήσεις βασιλέων καὶ ἐπιγράμ-
ματα, τοῦ οὐρανίου δὲ Διὸς ἡ γέννησις ἐν τῷ οὐρανῷ
ὥσπερ καὶ τοῦ νοὸς ἐν τῷ ἐγκεφάλῳ, οὕτως ὁ εἰδὼς τοὺς
βασιλεῖς πάντας Δίας καὶ θεοὺς καλουμένους οὐ ξενισθή-
σεται τούτων πολλὰς πατρίδας εὑρίσκων καὶ ἐπιγράμματα,
ὡς καὶ γινώσκων ὅτι Τυφὼν ἐστὶ πᾶσα πυρὸς ἀνάδοσις Τυφών
οὐ ξενισθήσεται παρά τισι μὲν εὑρίσκων τοῦτον ἐν Σι-
κελίᾳ τεθάφθαι, παρὰ δὲ ἑτέροις ἐν Κιλικίᾳ καὶ τοῖς
Ἀριμοῖς ὄρεσι, παρ' ἑτέροις δὲ ἀλλαχοῦ. εἰ δὲ μυθι-
κόν τινα δαίμονα τοῦτον δοκήσει, ξενισθήσεται πάν-
τως ἐν διαφόροις τόποις τοῦτον ἀκούων τυφόμενον

ὥσπερ καὶ τὰ τούτοις ὅμοια εὑρίσκων. οὕτω ὁ μακάρων
νήσους τὰς Θήβας ὁ ἐπιγραμματηφόρος ἐκάλεσε κολα
κικῶς εἰκάζων τὰς Θήβας νήσοις μακάρων. αἱ γὰρ
Θῆβαι νῆσοι οὐχ ὅσοι θεῶν καὶ βασιλείαν ἐκείνην εἶπε τοῦ
τάξει βασιλέων, θεοὶ γὰρ οἱ βασιλεῖς ὡς ἔφημεν λέγονται
αἱ δὲ τῶν μακάρων νῆσοι ὠκεανῷ κεῖνται περὶ ὧν
μετὰ μικρὸν ἐρῶ

ὅπου σφε μήτηρ ἡ πάλης ἐμπείραμος
τὴν πρόσθ᾽ ἄνασσαν ἐμβαλοῦσα Ταρτάρῳ
ὠδῖνας ἐξέλυσε λαθραίας γονῆς
τὰς παιδοβρώτους ἐκφυγοῦσ᾽ ὠμοδαινεύτου
θοίνας ἀσέπτους οὐδ᾽ ἐπίανεν βορᾷ
νηδὺν τὸν ἀντίποινον ἐκλάμψας πέτρον
ἐν γυιοκόλλοις σπαργάνοις εἰλημένον
τύμβος γεγονὼς κένταυρος ὠμόφρων σποράς

ὅπου σφε μήτηρ. αἱ μὲν ἱστορίαι ἐλέχθησαν· ἡ δὲ σύν
ταξις· ὅπου σφὲ καὶ αὐτοῦ τοῦ Διὸς ἡ μήτηρ Ῥέα, ἡ ἔμ
πειρος τῆς πάλης ἐξέλυσε τῆς λαθραίας γονῆς τὰς ὠδῖ
νας τὴν πρόσθ᾽ ἄνασσαν Εὐρυνόμην ταρταρώσασα,
τό. σφε. ἀντὶ αὐτοῦ ἀντίπτωσις ἐστίν. πάλης ἐμπείρα
μος ἡ Ῥέα διὰ τὸ καταπαλαῖσαι Εὐρυνόμην καὶ ταρ
ταρῶσαι τὰ δὲ τῆς τεκνοφαγίας τοῦ Κρόνου καὶ ἡ κρυ
φὴ γονὴ τοῦ Διὸς καὶ ὁ καταποθεὶς ὑπὸ Κρόνου ἀντ᾽ αὐ
τοῦ λίθος πάντα δῆλα καὶ ἰδιώταις, ἡ σύνταξις ἐστί
ἄνευ βορᾶς καὶ ἐκόρεσε τὴν νηδὺν ἐκλάμψας τὸν ἀν
τίποινον τοῦ Διὸς πέτρον εἰλημμένον καὶ ἐντετυλιγμένον
ἐν σπαργάνοις γυιοκόλλοις ἤτοι τοῖς κωλύουσι καὶ σφί
γγουσιν τὰ γυῖα. ἢ. τὰ μέλη τὰ σπάργανα γὰρ καὶ συ
γκολλᾷ καὶ συσφίγγει τὰ βρεφώδη μέλη, τύμβον καὶ

ταφὴν ἀπορᾶς καὶ τῶν τέκνων, τὸν κρόνον λέγει, ὅτι τοὺς ἰδίους παῖδας κατέπιε, μαθὼν δὲ ἐκ τῆς μητρὸς αὐτοῦ γῆς καὶ τοῦ οὐρανοῦ τοῦ ἰδίου πατρὸς ὅτι ὑπό τινος τῶν αὐτοῦ παίδων τῆς βασιλείας ἐκριφθήσεται. κένταυρον δὲ τὸν αὐτὸν καλεῖ ὅτι ἵππῳ ὁμοιωθεὶς ἐμίγη φιλύρᾳ τῇ ὠκεανοῦ θυγατρὶ καὶ ἐγέννησε χείρωνα τὸν κένταυρον· μόνος γὰρ τῶν κενταύρων ὁ χείρων ἐκ τοῦ κρόνου ἐγεννήθη· οἱ δὲ λοιποὶ πάντες κένταυροι παῖδες εἰσὶν ἰξίονος καὶ νεφέλης.

Saturnus centaurus qua in equum uersus cum phi lyra oceani filia concubuit ex qua chironem genuit. / nota p° ualerio f.

χείρων μόνος ἐκ κρόνου ἐγεννήθη

νήσοις μακάρων δ᾽ ἐγκατοικήσεις μέγας
ἥρως ἀρωγὸς λοιμικῶν τοξευμάτων
ὅπου σε πεισθεὶς ὠγύγου σπαρτὸς λεὼς
χρησμοῖς ἰάρου λεψίου τερμινθέως
ἐξ ὀφρυνείων κηλίων ἀνιδρύσας
ἄξει καλλύδρου τύρσιν ἀόνων τε γῆν
σωτὴρ ὅταν κάμνωσιν ὁπλίτῃ στρατῷ
πέρθοντι χώραν τηνέρου τ᾽ ἀνάκτορα.

νήσους δὲ μακάρων οὕτως τὰς θήβας λέγει πλανηθεὶς ἐξ οὗ ἤκουσεν ἐπιγράμματος, ἤτοι δὲ ἀνωτέρω ὅτι ὁ τὸ ἐπίγραμμα γράψας οἶδε μὲν εἶναι τὰς θήβας νήσους μακάρων. ἱστορικῶς δὲ τοῦτό φησιν. αἱ γὰρ μακάρων νῆσοι παρ᾽ ὠκεανῷ βαθυδίνῃ κατά τε ἡσίοδον, ὅμηρον, ἀριστείδην, πλούταρχον, δίωνα, προκόπιον καὶ λοιπούς. περὶ γὰρ τὸν ὠκεανόν ἐστιν ἡ βρετανία νῆσος μεταξὺ κειμένη τῆς τε ἐν δύσει βρετανῆς καὶ θούλης τῆς πρὸς ἀνατολήν. λέγουσι δὲ τὰς τῶν ἀποθνησκόντων ψυχὰς ἐκεῖ διακομίζεσθαι. περὶ γὰρ τὴν ἀκτὴν τοῦ ὠκεανοῦ τοῦ περὶ τὴν βρετανίαν ταύτην νῆσον ἰχθυοθῆραι ἄνθρωποι οἰκοῦσιν ὑπήκοοι μὲν φράγγοις φόρους δὲ μὴ τελοῦντες αὐτοῖς

μακάρων νῆσοι.

διὰ τὸ μὴ παραπέμπειν τὰς τῶν τελευτώντων ψυχάς, ὥς
φασιν. οὗτοι γὰρ ἀπελθόντες ἐν ταῖς ἑαυτῶν οἰκίαις ἑσπέ-
ραν ἑσπέραν καθεύδουσιν, ἀρασσομένων δὲ μετὰ μικρὸν
αἰσθάνονται τῶν θυρῶν καὶ φωνῆς ἀκούουσιν ἐπὶ τὸ ἔρ-
γον καλούσης αὐτούς, ἀναστάντες δὲ πρὸς αἰγιαλὸν βαδίζου-
σιν οὐκ εἰδότες ποία τούτους ἕλκει ἀνάγκη. ὁρῶσι δὲ ἀ-
κάτους παρασκευασμένας ἀπ' οὐ τὰς αὐτῶν, κενὰς μὲν
τοι ἀνθρώπων, ἐν αἷς εἰσελθόντες κωπηλατοῦσι καὶ αἰσθά-
νονται βάρους τῶν πλοίων ὡς ἐξ ἐπιβατῶν. οὐδένα δὲ ὁ-
ρῶσι. ῥοπῇ δὲ μιᾷ καταίρουσιν εἰς τὴν Βρετανίαν νῆσον,
μόλις ὅτε χρῶνται ταῖς ἰδίαις ναυσὶ νυχθήμερον κα-
ταίρειν δυνάμενοι. καταίραντες δὲ πρὸς τὴν νῆσον πάλιν
οὐδένα ὁρῶσι, φωνῆς δὲ ἀκούουσι τῶν δεχομένων
τοὺς αὐτῶν ἐπιβάτας ἀπαριθμούντων αὐτοὺς καὶ πατρόθεν
καὶ μητρόθεν, ἔτι δὲ ἐξ ἀξίας καὶ τέχνης καὶ ὀνόματος τῶν
καθ' ἕνα καλούντων. οἱ δὲ τούτους ἀφορτισάμενοι πάλιν
ἐλαφροτέροις τοῖς σκάφεσι μιᾷ ῥοπῇ πρὸς τὰς οἰκίας
αὐτῶν ἀποστρέφουσιν. ἐκ τούτου πολλοῖς ἔδοξεν εἶναι
τὰς μακάρων νήσους ἐκεῖ καὶ τοὺς ἀποβεβιωκότας
ἐκεῖ διαπεραιοῦσθαι. Ὠγύγου σπαρτὸς λεώς. Ὤ-
γυγος ἀρχαῖος Θηβῶν βασιλεύς, ἀφ' οὗ καὶ Ὠγυγία πό-
λις ἐν Θήβαις. ἐκ τούτου καὶ πᾶν τὸ ἀρχαῖον ὠγύγιον
φασὶ διὰ τὸ πολὺ αὐτὸν γενέσθαι ἀρχαιότερον. ὁ δὲ
Ὤγυγος υἱὸς Ποσειδῶνος καὶ Ὀλίστρας. Λύκος δὲ ἐν τῷ πε-
ρὶ Θηβῶν ἱστορεῖ. μετὰ Δευκαλίωνα Ζεὺς μιγεὶς Ἰοδάμᾳ
τῇ τοῦ Ἀμφικτύωνος γεννᾷ Θήβην, ἣν δίδωσιν Ὠγύγῳ,
ἀφ' οὗ Ὠγυγίη ἡ Θήβη. Ἄμμος δὲ πάλιν ἱστορικὸς γράφει
Ζεὺς Θήβῃ μιγεὶς Αἰγύπτου γεννᾷ, οὗ θυγάτηρ Κάρχη, ἀ-
φ' ὧν ἡ τῆς Αἰγύπτου πόλις Θήβη ἐκλήθη καὶ Καρχηδὼν
νῆσος. ὁ Ὤγυγος Θηβῶν Αἰγύπτου ἦν βασιλεύς, ὅθεν ὁ
Κάδμος ὑπῆρχεν, ὃς Θηβῶν ἐν Ἑλλάδι ἑπτὰ πόλεις ἔκ-
τισε

ἢ ἑπταπύλους

Ogygia uocari antiqua omnia.

ὤγυγος ποσειδῶνος καὶ ὀλίστρας

καὶ Ὠγυγίας ἀνάσσεις πάντα ποιήσας εἰς ὄνομα τῶν Αἰ-
γυπτίων Θηβῶν. Ἄλλοι δέ φασιν ὑπὸ τῆς σφαλιασθεί-
σης ὑπὸ Κάδμου βοὸς Θήβην τὴν ἑπτάπυλον κληθῆ-
ναι Θήβη γὰρ ὁ βοῦς κατὰ Σύρους, μαρτυρεῖ δὲ σὺν
ἄλλοις καὶ ὁ ~~[illegible]~~ Περιηγητὴς τὰς Αἰγυπτίας Θήβας
λέγων Ὠγυγίας κεκλῆσθαι φησὶ γὰρ οὕτω. Θήβην Ὠγυγί-
ην ἑκατόμπυλον ἔνθα γε μέμνων ἀντέλλουσαν ἑὴν
ἀσπάζεται ἠῶ. Οὗτος δὲ ὁ Λυκόφρων τὰς ἑπταπύλους
Ὠγυγίας λέγει. Σπαρτὸς λεὼς εἰσὶν οἱ Θηβαῖοι. Κάδμος
γὰρ ἀνελὼν τὸν Ἄρεος δράκοντα, φύλακα τῆς Δίρκης ὑ-
πάρχοντα, ὑλάκτων ὅτι στέλφον ἀνεῖλε καὶ Δηιολέων τὸν
φίλον τοῦ Κάδμου, ὕδωρ πρὸς θυσίαν ἀποκομίζοντα,
ἔσπειρε τοὺς ὀδόντας αὐτοῦ καὶ ἀνεδόθησαν ἔνοπλοι ἄν-
δρες ἐξ ὧν φασιν οἱ Θηβαῖοι κατάγονται. Ἀλλὰ ταῦτα μυ-
θικά. Παλαίφατος δὲ ὁ ἱστορικὸς ψυχρῶς μὲν ὅμως
δὲ ἀληθοεικῶς ὀδόντας ἔχειν ἐλεφάντων τὸν Κάδμον
ἐλθόντα ἐκ Φοινίκης καὶ τούτους διασπείραντα συμμα-
χίαν λαχεῖν παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἀνδροτί-
ων δὲ ὁ ἱστορικὸς μετὰ σποράδων τινῶν φησὶ τὸν Κάδ-
μον ἐλθεῖν εἰς Θήβας. Ἐγὼ δέ φημι τὸν δράκοντα τοῦτον
λῃστὴν εἶναι ἢ τοπαρχοῦντα, ἐπιθέσθαι δὲ θύοντι τῷ
Κάδμῳ ἀνελεῖν τινὰς τῶν φίλων αὐτοῦ, ὕστερον δὲ ὁ
Κάδμος παραταξάμενος αὐτὸν κτείνει τὸν δράκον-
τα καὶ ἑτέρους τοὺς σὺν αὐτῷ οὓς ὀδόντας καλεῖ διὰ
τὸ δηκτικοὺς εἶναι πολλοὺς δὲ αὐτῶν διεσκόρπισε· ὧν
τινὰς καὶ ἀρχηγέτας καὶ γαμβροὺς ἐποιήσατο. Ὠγύγου
σπαρτὸς λεὼς ἐλέχθη. Ἡ δὲ σύνταξις οὕτως· ὅπου
σε ὦ Ἕκτωρ ἄξει ὁ σπαρτὸς λεὼς τοῦ Ὠγυγίου εἰς Θή-
βας τὴν τύρσιν. ἤτοι τὸ τεῖχος τοῦ [illegible] τὴν γῆν, τε-
τῶν ἀρνῶν, ἄξει δὲ ποταπὸν σωτῆρα, πότε; ὅταν κάμνω-
σι πολεμικῷ στρατῷ ποθοῦντες τάδε καὶ τάδε. Ἄξει ὁ

Moenia fac condas
boetia q: illa vo
cato

δράκων ὃν Κάδ-
μος ἀνεῖλε

παλαίφατος
ψυχρός

πόθεν; ἀνερρύσας. ἢ· ἑλκύσας δὲ ἐξ ὀφρυνοῦ τόπου
τῆς τροίας πεισθεὶς χρησμοῖς ἰσμηνοῦ λεχίου τερμι
θου. ἢ· τοῦ ἀπόλλωνος. ὀφρυνείων ἠρίων· ὀφρυ
νὸς τόπος τῆς τροίας ὅπου ἔκειτο τὰ τοῦ ἕκτορος ὀστᾶ·
ὅθεν οἱ ἕλληνες μετενεγκόντες αὐτὰ ἔθαψαν ἐν θήβαις.
Καλύδνου τύρσιν· τὰς θήβας λέγει. καλυδνὸς γάρ τις
Καλυδνὸς βασιλεύς ἐβασίλευσε πρῶτος τῶν θηβῶν. μεθ' ὃν ὤγυγος ὅντινα
καλυδνὸν ἢ πυργῶσαι φασὶ τὰς θήβας τὰς ἑπταπύ
λας ὡς μηδὲ τὰ ὁμήρου ἀνεγνωκότες ὅτι ζῆθος καὶ ἀμ
φίων αὐτὴν ἔκτισαν καὶ ἐτείχισαν. Ἀόνων· ἄονες ἔθ
ἄονες νος βοιωτικόν. ὁπλίτῃ στρατῷ· πολέμοις γὰρ ἢ λοι
μοῖς θηβαῖοι τρυχόμενοι χρησμῷ τοῦ ἕκτορος ὀστᾶ
ἐν θήβαις ἀποκομίσαντες ἔθαψαν. Τηνέρου τ' ἀνάκ
τορα· τοῦ τηνέρου μαντεῖα ἢ βασίλεια. ὁ δὲ τήνε
Τήνερος ρος υἱὸς ἦν ποσειδῶνος καὶ μελίας τῆς ὠκεανοῦ θυγατρός
ἰσμηνοῦ δὲ ἀδελφῆς. αὕτη ἡ μελία ὑπ' ἀπόλλωνος
Teneri oraculū φθαρεῖσα τὸν τήνερον τοῦτον γεννᾷ· ᾧ τὴν μαντικὴν
ταύτην ~~γεννᾷ~~ χαρίζεται. ἦν δὲ τὸ μαντεῖον αὐτοῦ πε
ρὶ τὸν ἰσμηνὸν ~~θ~~ θηβῶν ποταμόν.

Κλέος δὲ σὸν μέγιστον Ἐκτήνων πρόμοι
λοιβαῖσι κυδανοῦσιν ἀφθίτοις ἴσον
ἥξει δὲ κνωσσὸν κἀπὶ Γορτύνης δόμους
τοὐμὸν ταλαίνης πῆμα, πᾶς δ' ἀνάστατος
ἔσται στρατηγῶν οἶκος οὐ γὰρ ἥσυχος
πορκεὺς δίκωπον σέλμα ναυστολῶν ἐλῶ
λεῦκον στροβήσων φύλακα μοναρχίας
ψυδραῖσι τέχναις μηχανορράφ' ἀναπλέκων
ὃς οὔτε τέκνων ~~φ~~ φείσετ' οὔτε συγγάμου
μήδας δάμαρτος ἠγριωμένος φρένας
οὐ κλεισιθήρας θυγατρός ἧς πατὴρ λέχος

θρεπτῷ δράκοντι συγκαταινέσας σποράν
πάντας δ' ἀνάγνοις χερσὶν ἐν ναῷ κτενεῖ
λώβαισιν αἰκισθέντας οἰκείου βόθρου
γένους δὲ πάππων τῶν ἐμῶν αὖθις κλέος
μέγιστον αὐξήσουσιν ἀμναμοί ποτε
αἰχμαῖς τὸ πρωτόλειον ἄραντες κλέος
γῆς καὶ θαλάσσης σκῆπτρα, καὶ μοναρχίας
λαβόντες οὐδ' ἄμνηστον ἀθλία, πάτρις
κῦδος μαρανθὲν ἐγκατακρύψεις ζόφῳ
τοῖος δ' ἐμός τις σύγγονος λείψει διπλοῦς
σκύμνους λέοντας ἔξοχον ῥώμῃ γένος
ὃ καστνίας τε, τῆς τε χοιράδος γόνος
βουλαῖς ἄριστος οὐδ' ὀνοστὸς ἐν μάχαις

ἥξει δὲ κνωσσὸν κἀπὶ γορτύνος δόμους δυστυχήσουσι φησὶ καὶ οἱ κρῆτες δι' ἐμέ. κνωσσὸς γὰρ πόλις ἐστὶ κρήτης ὡς καὶ ὅμηρός φησι· οἳ κνωσσόν τ' εἶχον γόρτυνά τε τειχιόεσσαν. καὶ ξενίων τε ἐν τῷ περὶ κρήτης τὰς ἑκατὸν πόλεις κρήτης κατ' ὄνομα λέγει. πᾶς δ' ἀνάστατος στρατηγῶν οἶκος. διὰ τὸ συμβὰν ὑπὸ λεύκου ἐν τοῖς οἴκοις ἰδομενέως. συλληπτικῶς εἶπε πᾶς οἶκος. πορκεὺς λεῦκον στροβήσων. πορκεὺς ὁ ἁλιεὺς νῦν δὲ τὸν ναύπλιον λέγει, ἐπειδὴ εἰς ἁλιευτικὸν σκάφος ἐμβὰς ἔπλει πλανῶν δὲ ὡς ἔφημεν εἰς τὰς ἀλεκτόρων στεγανόμους ὄρνιθας τὰς γυναῖκας τῶν ἐν τροίᾳ ὄντων ἑλλήνων. ὁ λεῦκος τοῦ χαλκοῦ τάλω τοῦ κρητὸς ἦν υἱὸς ὅστινι ἰδομενεὺς τὴν βασιλείαν καὶ τὸν οἶκον παρέθετο ἐπὶ τροίαν ἀπαίρων. τοῦτον πείθει ναύπλιος ἐπιθέσθαι τῇ βασιλείᾳ τοῦ ἰδομενέως. ὃς ἀνεῖλε μήδαν καὶ λουμένην καὶ τὴν θυγατέρα κλεισιθύραν καὶ τοὺς παῖδας αὐτῆς ἴφιλον καὶ λεῦκον. ἐπανελθὼν ὁ ἰδομενεὺς

κνωσσός

περὶ τῆς τοῦ ἰδομενέως δυστυχ(ίας)

ἐχθροὶ ἐξετύφλωσαν τὸν αὐτοῦ τὸν πατέρα τὴν λεύκην, οὗ
τος δὲ ὁ λεῦκος παῖς ὢν ἐξετέθη, ὃν λαβὼν ~~ἐξετέθη~~
ἰδομενεὺς ἔθρεψε καθ᾽ ἑαυτοῦ διὸ καὶ θρεπτὸν δράκοντα
τοῦτον καλεῖ. οὗ κλεισιθήρας συνέθετο γὰρ ἰδομεν
εὺς λεύκῳ εἰ ἐπανέλθοι τῆς τροίας δοῦναι πρὸς γάμον
κλεισιθήραν τὴν θυγατέρα. ὀγκαίου βόθρου τοῦ
ἐνιαυτοῦ. ἐρινὺς δὲ ἡ δήμητρα, ἐν ὄγκαις πόλει τῆς
ἀρκαδίας τιμᾶται ὡς καὶ καλλίμαχος τὸν μὲν ὁ γ᾽ εἰσάμε
μενον ~~ἐρ~~ ἐρινύϊ τυφλώσαιη. ἐστὶν ὄγκαι καὶ κώμη
θηβῶν οὗ κάδμος ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. γένους
ὁ παππῶν περὶ ῥωμαίων ~~καὶ~~ ἐνταῦθα διαλαμβά
νει, τὰ δὲ λοιπὰ τοῦ σχολαίου γελοῖα, φασὶ γὰρ λυ
κόφρονος ἕτερον εἶναι τὸ ποίημα, οὐ τοῦ γράψαντος
αὐτό. οὕτω γὰρ ὤφειλεν εἰπεῖν ὅτι οὐκ ἔστι τοῦ λεγομέ
νου γραφέως αὐτὸ λυκόφρονος ἀλλ᾽ ἑτέρου. καὶ ἄλλην δὲ
φλυαρίαν φησὶ ῥῶμον καὶ ῥωμύλον ἀπὸ κρεούσης
τῆς πριάμου γεννηθέντα λέγων πολλοῦ πάνυ γενε
αῖς ὕστερον γενομένους ὡς γράφων περὶ τούτων ἀκρι
βέστερον δείξω καὶ μία μὲν αὕτη φλυαρία. δευτέρα δὲ
ὅτι μετὰ τῶν ἕκτορος παίδων ἀστυάνακτος τοῦ ἀνῃρη
μένου ἐν τροίᾳ καὶ σατουρνίου τὴν ῥώμην ἔκτισαν. ἀμ
ναμοὶ δὲ οἱ ἀπόγονοι τοῦ γένους μου αὐξήσουσι ποτὲ*
αὖθις καὶ ὕστερον μετὰ τὸ κλέος τῶν ἐμῶν πάππων τουτ
έστι προγονικοί μου. τί ποιήσαντες αὐξήσουσι τὸ
κλέος ἄραντες τὸ πρωτόλειον στέφος ἐν ταῖς αἰχμαῖς
καὶ γῆς καὶ θαλάσσης λαβόντες σκῆπτρα, καὶ μοναρχί
αν οὐδ᾽ ἀμνημόνευτον τὴν δόξαν σου κατακρύψεις μα
ρανθεῖσαν τῷ ζόφῳ ὦ ἀθλία πατρὶς τροία. τίς γὰρ ἐμὸς
συγγενὴς ἤτοι ὁ αἰνείας ὁ γόνος τῆς κασίας τῆς χοιράδος
τε. καὶ τῆς ἀφροδίτης ὁ ἄριστος ἐν ταῖς βουλαῖς οὐδὲ με
μπτὸς ἐν ταῖς μάχαις τοιούτους ἅμα δύο νέους λέγει

ὄγκαι πόλις ἀρκαδίας

ὄγκαι κώμη θηβῶν

* κυρίως δὲ οἱ τῶν ἀμνῶν παῖδες, καὶ δὲ σύνταξις οὕτως. οἱ δὲ ἄμναμοι ἤτοι ἀπόγονοι τοῦ γένους μου αὐξήσουσι ποτέ

ἔξοχον ἢ ὑπερέχοντα τινὸς ἐν τῇ ῥώμῃ. τοιοῦτος δ' ἐμὸς
τις σύγγονος Αἰνείας. Τρὼς γὰρ γεννᾷ Ἶλον, Ἀσσάρακον
καὶ Γανυμήδην· καὶ Γανυμήδην μὲν μυθικῶς ὁ Ζεὺς ἁρ-
πάζει. Ἶλος δὲ γεννᾷ Λαομέδοντα. Λαομέδων Πρί-
αμον, Πρίαμος Ἕκτορα, καὶ Κασσάνδραν, Κρέουσαν καὶ
τοὺς λοιπούς. Ἀσσάρακος δὲ πάλιν γεννᾷ Κάπυν, Κά-
πυς Ἀγχίσην. Ἀγχίσης Αἰνείαν. οὕτως ὁ Αἰνείας συγγενὴς
ἦν Κασσάνδρας. ἦν δὲ γαμβρὸς αὐτῆς ἐπὶ Κρεούσῃ τῇ
ταύτης ἀδελφῇ. ἐξ ἧς Κρεούσης ἔσχε παῖδα Ἀσκάνιον.
ὕστερον δὲ τῆς Τροίας πορθουμένης ἐλευθερωθεὶς ὑφ' Ἑλλή-
νων αὐτὸς ὁ Αἰνείας ἢ αἰχμαλωτισθεὶς ὑπὸ Νεοπτο-
λέμου ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς καὶ
μετὰ τὴν τοῦ Ὀρέστου ἐν Δελφοῖς τοῦ Νεοπτολέμου ἀναί-
ρεσιν ἐλευθερωθεὶς οἰκεῖ πρῶτον μὲν ὑπὸ Ῥαίκηλον καὶ Ἀρ-
μωνίαν πόλεις Μακεδονικὰς πλησίον Κισσοῦ ὄρους κτί-
σας τὸ δὲ Ῥαίκηλον ἀπὸ τούτου Αἶνος ἐκλήθη. αὐτὸς
ὁ ἀπὸ Μακεδονίας ἦλθεν εἰς Ἰταλίαν ἣ πρὶν Ἀργεσσα
ἐκαλεῖτο, εἶτα Σατορνία ἀπὸ Κρόνου. Σατοῦρνος γὰρ
ὁ Κρόνος παρὰ Ῥωμαίοις, εἶτα ὑπό τινος Αὔσονος Αὐ-
σονία, εἶτα Τυρρηνία, εἶτα ἀπὸ Ἰταλοῦ ἢ ἀφ' ἑνὸς
ταύρου τοῦ Γηρυόνου ἀπολομένου παρ' Ἡρακλέους καὶ διὰ Ῥη-
γίου διανηξαμένου εἰς Σικελίαν εἰς πεδίον Ἔρυκος τοῦ
μὲν κατὰ τὸ βασιλεύειν υἱοῦ Ποσειδῶνος Ἰταλία ἡ χώρα
ἐκλήθη. # καὶ Πῖκος πρῶτος ἐβασίλευσεν, εἶτα ὁ υἱὸς
αὐτοῦ Φαῦνος ὅτε καὶ Ἡρακλῆς ἐκεῖ μετὰ τῶν λοιπῶν
τοῦ Γηρυόνος βοῶν παρεγένετο καὶ γεννᾷ Λατῖνον ἐκ τῆς
Φαύνου γυναικός, ὃς ἐβασίλευσε τῶν ἐκεῖ καὶ ἀπ' αὐτοῦ
Λατῖνοι πάντες ἐκλήθησαν. πεντηκοστῷ δὲ πέμπτῳ
ἔτει ἀφ' Ἡρακλέους οὗτος ὁ Αἰνείας μετὰ τὴν τῆς Τροίας
ἅλωσιν εἰς Ἰταλίαν ὡς ἔφημεν καὶ Λατίνους παρεγένε-
το. καὶ περὶ Λαβρέντιον κατῴκησε τὸ καὶ Τροίαν καλού-
μενον

Τρώς, οὗ
Ἶλος,
Ἀσσάρακος
Γανυμήδης

Αἰνείου ἱστορία

# ἰταλὸν γὰρ οἱ Τυρρηνοὶ τὸν ταῦρον καλοῦσι. οὕτως οὖν ἡ Ἰταλία χώρα ἐκλήθη

περὶ νουβίκιον ποταμὸν ἔχων καὶ τὸν ἐκ κρεούσης υἱὸν
αὐτοῦ ἀσκάνιον ἢ καὶ ἴλιον, ὅπου φαγόντων μετ' αὐτοῦ
τὰς τραπέζας σελινίνας οὔσας ἢ ἐκ τῶν σκληροτέρων
μερῶν τοῦ ἄρτου οὐκ ἔτι εἶχον τραπέζας· ἔτι δὲ καὶ χοί-
ρου λευκῆς ἀπὸ τοῦ πλοίου αὐτοῦ ἀποσκιρτησάσης
ἐπὶ τὸ ἀπ' αὐτῆς ὀρβανὸν ὄρος καὶ τριάκοντα τετοκυίας
ἀπεκρέδηλοῦτο ὅτι τριακοσίων ἔτη οἱ παῖδες αὐτοῦ καὶ
γῆν καὶ κράτος ἄμφνον ἕξουσιν ἐπ' αὐτῇ τῆς ἄλμης ἐκ
χρησμοῦ τοῦτο ἀκηκοώς. θύσας δὲ καὶ τὴν χοῖρον πα-
ρασκευάσατο κτίσαι πόλιν, ὁ δὲ λατῖνος τοῦτον οὐκ ἔα.
ἡττηθεὶς δὲ πολέμῳ δίδωσιν αἰνείᾳ πρὸς γάμον λα-
βίναν τὴν αὐτοῦ θυγατέρα. αἰνείας δὲ κτίσας πόλιν λα-
βίναν ὠνόμασε. λατίνου δὲ καὶ τουρήνου τε ῥουτούλου
βασιλέως πολέμῳ ἀπ' ἀλλήλων ἀποθανόντων αἰνείας
ἐβασίλευσεν. ἀνῃρημένου δὲ καὶ αἰνείου πολέμῳ ἐν
λαυρεντίῳ ὑπὸ τῶν αὐτῶν ῥουτούλου καὶ μαξεντίου τοῦ
τυρρηνοῦ ἐγγόνου οὔσης τῆς αἰνείου γυναικὸς λαβινίας
τὸν σίλμιον ἀσκάνιος ὁ ἐκ κρεούσης παῖς βασιλεύ-
ει. ὃς καὶ τὸν τε μαξέντιον πολέμῳ συμβαλόντι νικᾷ
τελέως μὴ δεχόμενος τὰς πρεσβείας ἅμα τοῦ λατίνου
ἐτήσιον δασμὸν ζητοῦντα. αὐξηθέντες δὲ οἱ λατῖνοι αὖθι
τὸ ζωικὸν ἔτος ἐνέσῃ λαβινίῳ μὲν ὑπερεφρόνησαν. ἄλ-
βαν δὲ καὶ λόγγαν ἑτέρας πόλεις ἔκτισαν ἀπὸ τῆς χοίρου
τουτέστι λευκὴν μακρὰν καὶ τὸ ἐκεῖσε ὄρος ἀλβανὸν ἐ-
κάλεσαν ὁμοίως, τὰ δὲ ἐκ τοῦ ἀγάλματα μόνα πρὸς
τὸ λαβίνιον δὶς ὑπεστράφησαν. μετὰ δὲ ἀσκανίου τε-
λευτὴν οὐχ ὁ ἀσκανίου παῖς ἴουλος ἐβασίλευσεν,
ἀλλ' ὁ ἐκ λαβινίας. οὗ λατῖνος. οὗ κάπυς. κάπυος δὲ
παῖς τυβερῖνος. οὗ ἀμούλιος. οὗ ἀβεντῖνος. μέχρι
τὰ περὶ ἄλβης καὶ ἀλβανῶν. τὰ δὲ περὶ ῥώμης ἐντεῦθεν.
ἀβεντῖνος δὲ γεννᾷ νομήτορα καὶ ἀμούλιον βασιλεύ-
οντα

δὲ τὸν νομήτορα ὁ ἀμούλιος ἐξελάσας καὶ αἴγεστον τὸν νομή τορος υἱὸν ἐν κυνηγεσίῳ ἀναιρεῖ, τὴν δὲ ἀδελφὴν αἰγέστου θυγατέρα δὲ τοῦ προρρηθέντος νομήτορος σιλουίαν ἢ ῥέαν ἰλίαν ἱέρειαν τῆς ἑστίας ποιεῖ ὡς ἂν παρθένος διαμένῃ. ἐδεδίει γάρ τινα χρησμὸν λέγοντα ὑπὸ τῶν νομήτορος παίδων αὐτὸν ἀναιρεθῆναι, διὰ τοῦτο τὸν μὲν αἴγεστον ἀνεῖλε τὴν δὲ ἱέρειαν τῆς ἑστίας ἐποίησεν ὅπως παρθένος καὶ ἄπαις φυλαχθείη. ἡ δὲ ὑπὸ ἄρεος ἀλλ' ὑβρανομένη ἔγγυος γίνεται καὶ γεννᾷ ῥωμύλον καὶ ῥῶμον· οὓς ἔδοντας ἔρριψας περὶ τὸν τίβεριν ποταμόν, αἱ ἡ τούτου γυνὴ λαβοῦσα ἀνέθρεψεν· ἔτυχε γὰρ αὐτὴ τότε νεκρὸν βρέφος τεκεῖν. αὐξηθέντες οὖν ῥωμύλος καὶ ῥῶμος ἐποίμαινον κατὰ τοὺς ἀμουλίου ἀγρούς. ἀνελόντες δὲ τινὰς τῶν τοῦ πάππου ἀμήτορος ποιμένων ἐπετηροῦντο. καταλη φθέντος δὲ τοῦ ῥώμου ὁ ῥωμύλος τῷ φαιστύλῳ λέγει καὶ ὃς δραμὼν τῷ νομήτορι πάντα διηγεῖται. τότε ἔγνω νομήτωρ τῆς θυγατρὸς αὐτοῦ παῖδας αὐτούς, οἱ δὲ συν δραμόντων πολλῶν ἀναιροῦσι τὸν ἀμούλιον, τῷ δὲ νομήτορι πάππῳ αὐτῶν τὴν βασιλείαν τῆς ἄλβης παραδόντες αὐτοὶ τὴν ῥώμην κτίζειν ἀπήρξαντο δω δεκάτῳ ἔτει τῆς ῥωμύλου ἡλικίας. πρὸ γὰρ τῆς μεγά λης ταύτης ἣν ἔκτισε ῥωμύλος περὶ τὴν φαιστύλου ἐν ὄρει τῷ παλατίῳ ἑτέρα τεμάλωνος ἐκτίσθη ῥώμη παρὰ ῥωμύλου ἢ ῥώμου παλαιοτέρα τούτων. /

*

ει

Ὃς πρῶτα μὲν ῥαίκηλον οἰκήσει μολὼν
Κίσσου παρ' αἰπὺν πρῶνα καὶ λαφυστίας
Κερασφόρους γυναῖκας ἐξ ἀλμωνίας
πάλιν πλανήτην δέξεται τυρσηνία
λυγκεύς τε θερμὸν ὕδωρ ἐκβράσσων ποτῶν
καὶ πῖσα ἀγύλλης θ' αἱ πολύρρηνοι νάπαι

0 . 4

σὺν δέ οἱ μίξει φίλιον ἐχθρὸς ὢν στρατὸν
ὅρκοις κρατήσας καὶ λιταῖς γουνασμάτων
νάννος πλάναισι πάντ' ἐρευνήσας μυχὸν
ἁλός τε καὶ γῆς· σὺν δὲ δίπτυχοι τόκοι
μυσῶν ἄνακτος, οὗ ποτ' οἰκουρὸς δόρυ
γνάμψει θέοινος γυῖα συνδήσας λύγοις
τάρχων τε καὶ τυρσηνὸς αἴθωνες λύκοι
τῶν ἡρακλείων ἐκγεγῶτες αἱμάτων
ἔνθα τράπεζαν εἰδάτων πλήρη κιχὼν
τὴν ὕστερον βρωθεῖσαν ἐξ ὀπαόνων
μνήμην παλαιῶν λήψεται θεσπισμάτων
κτίσει δὲ χώραν ἐν τόποις βορειγόνων
ὑπὲρ λατίνους δαυνίους τ' ᾠκισμένην
πύργους τριάκοντ' ἐξαριθμήσας γονὰς
συὸς κελαινῆς ἣν ἀπ' ἰδαίων λόφων
καὶ δαρδανείων ἐκ τόπων ναυσθλώσεται
ἰσαρίθμων ~~...~~ θρεπτῆρα τῶν τόκοις κάπρων
ἧς καὶ πόλει δείκηλον ἀνθήσει μιᾷ
χαλκῷ τυπώσας καὶ τέκνων γλαγοτρόφων

λαφύστιος ὄρος
λαφύστιος διόνυσος
λαφύστιαι βάκχαι
μιμαλλόνες
ταυροκέφαλος ὁ διόνυσος
τυρσηνία ἰταλία
πόλ(εις)
λυγκαὶς ποταμὸς
πῖσαι
ἄγκυλαι πόλεις

ῥαίκιλα καὶ τὰ λοιπὰ πλατέως ἐν τῇ ἱστορίᾳ ἐγράφησαν
λαφύστιε ὁ διόνυσος ἀπὸ λαφυστίου ὄρους βοιωτίας. ὅθεν λαφύστιαι λέγονται αἱ ἐν μακεδονίᾳ βάκχαι αἳ καὶ μιμαλλόνες ἐκαλοῦντο διὰ τὸ μιμεῖσθαι αὐτὰς ~~διὰ τὸ μιμεῖσθαι αὐτὰς~~ τὰ τοῦ διονύσου, καὶ κερατοφοροῦσι γὰρ αὗται κατὰ μίμησιν τοῦ διονύσου· ταυροκέφαλος γὰρ φαντάζεται καὶ ζωγραφεῖται. καὶ ἀριστίδης καὶ σὺν κέρατα κρατὶ πεφυκέναι. τυρσηνία ἡ ἰταλία ἀπὸ τυρσηνοῦ τοῦ τηλέφου υἱοῦ. λυγκαὶς δὲ ποταμὸς ἰταλίας θερμὰ τὰ ὕδατα ἔχων. καὶ πῖσα καὶ ἄγκυλαι πόλεις τυρσηνίας πολυρρήνων πολύαρνον

πολυθρέμμων γὰρ ἡ ἰταλία. νάννος ὁ ὀδυσσεὺς παρὰ τυρ
ρηνοῖς νάνος καλεῖται δηλοῦντος τοῦ ὀνόματος τὸν πλα
νήτην. ἐγὼ δὲ εὗρον ὅτι πρότερον ὀδυσσεὺς νάνος ἐκαλεῖτο
εἶτα ἐκλήθη ὁ ὀδυσσεὺς ὥσπερ ὁ ἀχιλλεὺς πρότερον λι
γύρων καὶ πυρίσσοος καὶ ἕτεροι ἑτέρως ἐκαλοῦντο. μίξας φί
λιον ἐχθρὸς ὢν ὀδυσσέα φασὶν ἐν ἰταλίᾳ συντυχ
εῖν αἰνείᾳ καὶ συνθήκας μετ' ἀλλήλων καὶ εἰρήνην ποιῆσαι. τάρ
χων τε καὶ τυρσηνὸς οἰκίσουσι περὶ τὴν χώραν τὴν ἀπὸ
τυρσηνοῦ κληθεῖσαν τυρσηνίαν. Οἴκουρος ὁ διόνυσος
ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ ἐρχόμενοι εἰς τὸν ναὸν αὐτοῦ τὸν
λοιπὸν χρόνον οἴκοι ἔμενον καὶ οἰκουροῦσι. θέοινος ὁ
αὐτὸς ὡς θεὸς οἴνου ἀρετῆς καὶ αἰσχύλος φησὶ πάτερ θέοινε
μαινάδων ζευκτήριε καὶ διόνυσος φησὶν ὁ σκυμναῖος μη
δὲ τὰς θεοίνου καὶ κορωνίδος κέρας. γυῖα συνδήσας ἐ
ρρέθη ὄπισθεν. ἡρακλείων αἱμάτων. ἡρακλέους καὶ αὔ
γης τῆς θυγατρὸς ἀλαίου παῖς τήλεφος, τηλέφου δὲ καὶ
ἱέρας τάρχων καὶ τυρσηνός. ἔνθα ζάπεζαν εὑρὼν τὴν
ἱστορίαν ὄπισθεν πλατέως, ὅπως ἔκτισεν αἰνείας τὴν
λαβινίαν ἢ ἐν οὗτοι μὲν ἐλθόντες ῥώμην φασί. βορειγόνων
στρατὸν τολμηταί, κατὰ τὸ λυκόφρονι οἱ ἰταλοὶ πρότερον
βορείγονες καὶ ἕτερα γενεὰ ἐκαλοῦντο ἀπὸ τῶν οἰκησάν
των αὐτὴν ἐθνῶν. οὕτως βορείγονας λέγει τοὺς ἀβοριγῖνας
κτίσει δὲ χώρας οὐ γὰρ ἡ χώρα κτίζεται ἀλλ' ἡ πόλις, καὶ
περὶ λατίνους φλυαρεῖ καὶ εἰς τοῦτο αὐτοὶ γὰρ οἱ ἀβορι
γῖνες ἀπὸ λατίνου τοῦ φαύνου ἢ ἡρακλέους υἱοῦ λατῖ
νοι ἐκλήθησαν. πύργους τριάκοντα καὶ ἐνταῦθα φλυ
αρεῖ οὐ γὰρ τριάκοντα πόλεις ἔκτισεν αἰνείας. ἀλλὰ
τῷ τριακοσιοστῷ ἔτει ἀσκάνιος ὁ υἱὸς αὐτοῦ ὡς ἐπὶ τὸ πλεῖστον,
ὅθεν ἔκτισε τὴν ἄλβαν πόλιν ἀπὸ τῆς λευκῆς χοί
ρου ἣν καὶ ταύτην μέλαιναν ὁ αὐτὸς λέγει. τὴν ἱστορίαν ὄ
πισθεν πλατέως εἶπε. ἰσαρίθμων καὶ τοῦτο ἠλκ...

νάνος πρότερον ἐκαλεῖτο ὁ ὀδυσσεύς

ἀχιλλεὺς πρότερον λιγύρων καὶ πυρίσσοος

θέοινος

τήλεφος, τάρχων, τυρσηνός

Abongines

ἔχει τὴν ψευδῆ τούτου ἱστορίαν· οὐ γὰρ προτετελέσθησαν ἃς λέγει πόλεις καὶ ὕστερον ἡ χοῖρος ἔτεκεν, ὡς φησὶ, τοὺς κάπρους αὐτῆς ἰσαρίθμους τοῖς πύργοις, ἀλλὰ τοὐναντίον

Δείμας δὲ σηκὸν Μυνδίᾳ Παλληνίδι
πατρῷ' ἀγάλματ' ἐγκατοικήσει θεῶν·
ἃ δὴ παρώσας καὶ δάμαρτα καὶ τέκνα,
καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων,
σὺν τῷ γεραιῷ πατρὶ πρεσβειώσεται
πέπλοις περισχών, ἦμος αἰχμηταὶ κύνες
τὰ πάντα πάτρας συλλαφύξαντες πάλῳ
τούτῳ μόνῳ πόρωσιν αἵρεσιν δόμων
λαβεῖν ὃ χρῄζει κἀπενέγκασθαι δόμων·
τῷ καὶ πάρ' ἐχθροῖς δυσμενέστατος κριθεὶς
τὴν πλεῖστον ὑμνηθεῖσαν ἐν χάρμαις πάτραν
ἐν ὀψιτέκνοις ὀλβίαν δομήσεται
Κίρκης μακεδνὰς ἀμφὶ Κιρκαῖον νάπας
Ἀργοῦς τε κλεινὸν ὅρμον Αἰήτην μέγαν
λίμνης τε Φόρκης Μαρσιωνίδος ποτά,
Τιτώνιόν τε χεῦμα, τοῦ κατὰ χθονὸς
δύνοντος ἄφαντα κευθμῶνος βάθη
Ζωστήριόν τε κλιτὺν ἔνθα παρθένου
στυγνὸν Σιβύλλης ἐστὶν οἰκητήριον
γρώνῳ βερέθρῳ συγκατηρεφὲς στέγης

ἃ δὴ παρώσας· ἀντὶ τοῦ προτάξας ἢ συντάξεις. ἅτινα δὴ ἀγάλματα πρεσβειώσεται σὺν τῷ γηραιῷ πατρὶ πέπλοις περισχών, παρώσας καὶ δάμαρτα καὶ τέκνα, καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων ἦμος οἱ αἰχμηταὶ τὸ καὶ τὸ ποιήσουσι. φησὶ γὰρ οὗτος ὁ Λυκόφρων καὶ λοιποί τινες ὅτι πορθουμένης τῆς Τροίας ὑπὸ τῶν Ἑλλήνων Αἰνείαν μόνον ἐλευθερω

θῆς

ἐκπλεύσῃ λαθὼν καὶ ἐκ τῆς πόλεως ὁ βούλεται προεκρίνε
δὲ τὰ τῶν θεῶν ἀγάλματα καὶ τὸν αὐτοῦ πατέρα, παρε
άσας τὸν οἶκον καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα. ταῦτα μὲν
οὕτω φασί. λέσχης δὲ ὁ τὴν μικρὰν ἰλιάδα πεποιη
κὼς ἀνδρομάχην καὶ αἰνείαν αἰχμαλώτους φησὶ δοθῆ
ναι τῷ ἀχιλλέως υἱῷ νεοπτολέμῳ καὶ ἀπαχθῆναι σὺν
αὐτῷ εἰς φάρσαλα τὴν ἀχιλλέως πατρίδα. φησὶ δὲ
οὑτωσί· αὐτὰρ ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
ἑκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας· παῖδα δὲ
ἑλὼν ἐκ κόλπου ἐϋπλοκάμοιο τιθήνης ῥῖψε πο
δὸς τεταγὼν ἀπὸ πύργου· τὸν δὲ πεσόντα ἔλλαβε πορ
φύρεος θάνατος καὶ μοῖρα κραταιή. ἐκ δ' ἕλετ' ἀνδρομάχην
ἠΰζωνον παράκοιτιν ἕκτορος ἥν τε οἱ αὐτῷ ἀριστῆες
παναχαιῶν δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀν
δρί. αὐτόν τ' ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο ἐκ πάν
των ἀχαιῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων. ῥωμήσεται τὸ
ρο· μικρὸν γραφόμενον ἐκτείνεται ὑπὸ τοῦ μ· καὶ δέ
χεται ἀντὶ μακροῦ καὶ μικροῦ ο· ἀττικῶς ἐκμεταστρέ
φεται. ἐν ὄψι τέκνοις. ῥῶμος καὶ ῥωμύλος οἱ τούτου ἀπό
γονοι ταύτην ἔκτισαν. Κιρκαίου. Κίρκη ὄρος ἰταλίας
Ἀργοῦς τε κλεινὸν ὅρμον αἰήτην μέγαν. αἰήτης λιμὴν
ἐν ἰταλίᾳ, ἔνθα φασὶν ὁρμισθῆναι τὴν ἀργὼ καὶ καθαρ
θῆναι ὑπὸ κίρκης ἐκ τοῦ φόνου τοῦ ἀψύρτου ἰάσονα
καὶ μήδειαν. φόρκη δὲ λίμνη σταδίους ἀπέχουσα φ´
τῆς ῥώμης. μάρσοι δὲ ἔθνος ἰταλίας περὶ ταύτην τὴν
λίμνην οἰκοῦντες. Τιτώνιόν τε χεῦμα. Τίτων ποταμὸς
ἐγγὺς κιρκαίου ὁ κιρκαῖον ἀπὸ τῆς κίρκης καλεῖ
ται, ὁ δὲ Τίτων οὗτος ποταμὸς οὐκ εἰς θάλασσαν ῥέ
ει, ἀλλ' ὑπὸ γῆς καταπίνεται ὡς φησὶ καὶ φιλοστέφα
νος. ζωστηρίου τε κλιτύν. ζωστήριον ἰταλίας ὄρος, ἐν
ᾧ ἱερὸν ζωστηρίου ἀπόλλωνος. φησὶν οὖν ὅτι ἐνταῦθα

λέσχης ὁ τὴν μι
κρὰν ἰλιάδα
πεποιηκώς

τὸ ρο μικρ(ὸν)
ἐκτείνεται ὑπὸ
τοῦ μ.

Κίρκη ὄρος

φόρκη λίμνη

Τίτων ποτα
μός

ζωστήριον

* emendo ex Suida & Luciano & Herodoto & alijs βάκιδες

τρεῖς σίβυλλαι

Βάκιδες tres oracula dantes & uates.

δέκα ἦσαν αἱ σίβυλλαι. τρεῖς δὲ ἦσαν αἱ σίβυλλαι· κυμαία
ἣν καὶ ἀπόλλωνος φασὶν ἀδελφήν. ἐρυθραία καὶ σαρδια-
νή, ὥσπερ καὶ τρεῖς βάκχιδες* χρησμολόγοι ὁ ἐξ ἑλεῶνος τῆς
βοιωτίας καὶ ὁ ἀθηναῖος καὶ ὁ ἀρκάς. περὶ τῆς δὲ σιβύλλης
νῦν ὁ λυκόφρων λέγει κυμαίας, ἣν λέγεται ἐν χρόνοις
ταρκυνίου τοῦ ὑπερηφάνου βίβλους προφητικὰς αὐτῆς
τρεῖς ἢ ἐννέα καταλιποῦσα· ὧν μίαν ἢ τρεῖς ἐξωνήσαντο
οἱ ῥωμαῖοι· τὰς δὲ λοιπὰς τὰς ἐκείνης θεραπαινίδας ἀνα-
λῶσαι πυρὶ ὅτι μὴ ἐδίδουν ἐκείναις ὅσον ἐζήτουν χρυ-
σίον· ὃ ὕστερον ποιήσαντες ἐξωνήσαντο μίαν τὴν κατα-
λειφθεῖσαν ἢ τρεῖς καὶ ἔδωκαν μάρκῳ τῷ ἀκιλίῳ φυλά-
σσειν. ζῶντα δὲ τοῦτον εἰς δέρμα βοὸς ἐμβαλόντες ἀνεῖ-
λον ὅτι πρὸς μεταγραφὴν ἔδοτο, τὴν δὲ βίβλον ἢ τὰς βί-
βλους ὀρύξαντες ἐν μέσῃ τῇ ἀγορᾷ μετὰ λάρνακος κα-
τέχωσαν.

τοσαῦτα μὲν δύστλητα πείσονται κακὰ
οἱ τὴν ἐμὴν μέλλοντες αἰστώσειν πάτραν.
τί γὰρ ταλαίνῃ μητρὶ τοῦ προμηθέως
ξυνὸν πέφυκε καὶ τροφῷ σαρπηδόνος,
ἃς πόντος ἕλλης καὶ πέτραι συμπληγάδες
καὶ σαλμυδησσὸς καὶ κακόξεινος κλύδων
σκύθαισι γείτων κρατεροῖς εἴργει πάλοις
λίμνην τέκνων τάναϊς ἀκρεφνὴ μέσον
ῥέθροις ὁρίζει προσφιλεστάτην βροτοῖς
χίμαιτλα μαιώταισι θρηνοῦσι ποδῶν

τί γὰρ ταλαίνῃ μητρὶ τοῦ προμηθέως. δύο καὶ ἰαπετοῦ προ-
μηθεύς, οὗ προμηθέως καὶ ἡσιόνης ἢ ἀξιοθέας παῖς δευ-
καλίων. ἀπὸ γοῦν ταύτης τῆς προμηθέως ἀσίας ὁ λυ-
κόφρων λέγει τὴν χώραν καλεῖσθαι, καὶ τὴν εὐρώπην ἀ-
πὸ εὐρώπης ἥτις ἐκ διὸς ἐγέννησε σαρπηδόνα μίνωα

ἢ Ῥαδαμάνθυος. ἑτέρως· καὶ τὴν μὲν Ἀσίαν ἀπὸ Ἀσίου
φασὶ κληθῆναι· τὴν δὲ Εὐρώπην ἀπό τινος Εὐρώπου ἢ
οὗ μέροπος, ἐκ μὲν ἀνδρῶν· ὁ δὲ Ἁλικαρνασεὺς Ὠκεα-
νὸν ἱστορεῖ ~~..~~ γῆμαι δύο γυναῖκας Πομφολύγην καὶ Παρ-
θενόπην, ἐκ τῶν Πομφολύγης φησὶ γεννῆσαι αὐτὸν Ἀσίαν
καὶ Λιβύην, ἐκ δὲ Παρθενόπης Εὐρώπην καὶ Θράκην, ἀφ'
ὧν αἱ χῶραι τὴν κλῆσιν ἐκτήσαντο. εἰς πόντος Ἕλλης εἰς
τινας ~~..~~ Εὐρώπην καὶ Ἀσίαν διαχωρίζει ὁ Ἑλλήσποντος
ἐπόθουν πολλάκις. τοῦτο δὲ ἱστέον ὅτι Ἑλλήσποντός ἐστιν
ὁ ἀπὸ Σηστοῦ καὶ Ἀβύδου τόπος, οὗ ὁ Ξέρξης τὴν γέφυραν
ἔζευξε μέχρι τοῦ Θρακικοῦ μυχοῦ Βόσπορον, ὃν Βόσ-
πορον Δαρεῖος ὁ Ξέρξου πατὴρ ἐγεφύρωσε πρὸ τοῦ γε-
φυρῶσαι Ξέρξην τὸν Ἑλλήσποντον. πέτραι συμπληγά-
δες· πέτρας συμπληγάδας ἃς Ὅμηρος πλαγκτὰς καλεῖ·
εἶναι δέ φησιν αὐτὰς περὶ Τυρρηνίαν, ὁ δὲ Ἐρατοσθένης
συνορμάδας, κεκρυμμένας δὲ καὶ λεληθότας περὶ τὸν
Εὔξεινον πόντον φησὶν ἤτοι περὶ τὸ στενόν. Ἀπολλώ-
νιος δὲ καὶ οὗτος ὁ Λυκόφρων συμπληγάδας αὐτὰς λέγου-
σιν. ἀλλ' ὁ μὲν Λυκόφρων οὗτος φαίνεται μεταξὺ ταύ-
τας εἶναι λέγων Καλχηδόνος καὶ Βυζαντίου ὡς εἶναι τὸ
λεγόμενον παρ' ἰδιώταις Βαρβάρου ῥεῦμα, ὁ δὲ Ἀπο-
λλώνιος ποτὲ μὲν φαίνεται περὶ τὸν Εὔξεινον πόντον
ἤτοι τὴν τοῦ στενοῦ κλεῖδα λέγων αὐτάς, ποτὲ δὲ ὁμοίως
τῷ Λυκόφρονι πληγάδας Εὐξείνους ὅπου φοινίαι
δόρπαι, ἦσαν δὲ αἱ συμπληγάδες ὥς λέγουσι πέτραι
δύο συγκροτοῦσαι ἀλλήλαις καὶ συνταράττουσαι τὰ
πλοῖα, ἐπεὶ δὲ παρέπλευσε ταύτας ἡ Ἀργὼ ἐρριζώ-
θησαν καὶ ἐπαύθησαν τῆς κινήσεως. Σαλμυδησσός·
τὸ μεταξὺ Βυζαντίου καὶ Δαμάλεως πέλαγος, ἀπὸ Σαλ-
μυδησσοῦ παραρρέοντος ποταμοῦ. καὶ κακόξεινος
τὸ στενὸν κατ' εὐφημισμὸν δὲ ἐλέγετο Εὔξεινος διὰ τὸν

Ἀσία πόθ(εν)
Εὐρώπη

Λιβύη

περὶ τοῦ συμ-
πληγάδων

Σημείωσαι

Σαλμυδησσός

πλοῦν καὶ τοὺς κατοικοῦντας ληστὰς οὓς ἀνεῖλεν ἡρακλῆς
κατ(ὰ) δὲ νῦν ἔφη κακόξενον τοῦτον αἰσχύλῳ ἀκολουθῶν
αἰσχύλος γὰρ περὶ τῆς θαλαττίας ταύτης οὑτωσί λέγει ἐχ-
θρόξενος ναύταισι μητρυιὰ νεῶν. σκύθαισι γείτων με-
τὰ γὰρ τὸ ξενὸν πέλαγος καὶ τὸ ἱερὸν ἡ σκυθία ἐστίν. λίμ-
τάναϊς ποταμ(ός) νην τε τέμνων τάναϊς. ὁ τάναϊς ποταμὸς σκυθίας δι-
αιρεῖ ἀσίαν καὶ εὐρώπην φερόμενος εἰς τὴν μαιῶτιν λίμνην
ὥς φησι καὶ διονύσιος· εὐρώπην δ' ἀσίης τε τάναϊς διὰ μέσ(σον)
ὁρίζει ὅς ῥα θ' ἑλισσόμενος γαῖαν διὰ σαυρομάτων
ῥεῖ τ' ἐς σκυθίαν καὶ μαιῶτιδα λίμνην. χίμετλα τὰ
χίμετλα ἐκ χειμῶνος ἀποφύσματα τῶν χειρῶν καὶ τῶν ποδῶν. τὸ
τοιοῦτον γὰρ ψυχικὸν ἡ περὶ μαιῶτιν σκυθία ὡς χίμε-
τλα γίνεσθαι τοῖς οἰκοῦσιν τὴν χώραν. ἴαμα δὲ χιμέ-
τλων ὥς φησι νίκανδρος ἀμφισβαίνης ὄφεως δέρμα καὶ
παλιούρου ῥίζης ζωμὸς περικλυζόμενος αὐτοῖς

ὄλοιντο ναῦται πρῶτα καρνῖται κύνες
οἳ τὴν βοῶπιν ταυροπάρθενον κόρην
λέρνης ἀνηρείψαντο φορτηγοὶ λύκοι
πλάτιν περῶσαι κῆρα μεμφίτῃ πρόμῳ
ἔχθρας δὲ πυρσὸν ἦραν ἠπείροις διπλαῖς
αὖθις γὰρ ὕβριν τὴν βαρεῖαν ἁρπαγῆς
κουρῆτες ἀντίποινα ἰδαῖοι κάπροι
ζητοῦντες αἰχμάλωτον ἤμπρευσαν πόριν
ἐν ταυρομόρφῳ ζαμπίδος τυπώματι
σαραπτίαν δικταῖον ἐς ἀνάκτορα
δάμαρτα κρήτης ἀστέρῳ στρατηλάτῃ

ὄλοιντο πρῶτα ναῦται καρνῖται. Κάρνη πόλις φοι-
νίκης. φοίνικες δὲ ἔμποροι ὄντες ἦλθον εἰς τὸ ἄργος
καὶ ἁρπάσαντες ἰὼ τὴν ἰνάχου θυγατέρα ἐκόμισαν εἰς

αἴγυπτον ὀσίριδι· ἢ ὁ λυκόφρων ἢ ἕτεροί φασιν. ὁ δὲ
ἡρόδοτος αὐτός λέγει τὴν ἰὼ περὶ τὸ πλοῖον τῶν φοινίκων μὲν
κατεχομένην μίγνυσθαι τῷ ναυκλήρῳ. ἐγκύος δὲ γενομένη
ἐξητήσατο αὐτοῖς φόβῳ τοῦ πατρὸς ἀπαχθῆναι εἰς αἴγυ-
πτον. βοῶπιν δὲ αὐτὴν λέγει ὅτι μυθικῶς ὁ ζεὺς ἐμίγνυτο
αὐτῇ, γνοῦσα δὲ ἡ ἥρα βοῦν αὐτὴν ἐποίησε· ἡ δὲ ἀλήθεια οὕ-
τως ἔχει ὅτι ~~οι~~ οἰστρηθεῖσα ὑπ' ἔρωτος δίκην βοὸς ἐπλα-
νᾶτο. ταυροπάρθενον οὐ γὰρ ταῦρος ἐγένετο ἀλλὰ βοῦς
σόλοικον φαίνεται εἰ μὴ οὕτως εἴπῃ τις τὴν ἐποχουμένην
ταύρῳ ἤτοι τῷ ταυρομόρφῳ πλοίῳ, οὐ γὰρ ἀρρενόθηλυς
ἦν ὥστε λέγειν αὐτὴν ταυροπάρθενον. ~~πλάτας~~ πλατί-
δας. λίνας. δαλίδας. τὰς νύμφας καλοῦσι λάκωνες κύ-
πριοι ἢ ἕτεροι. μεμφίτη τῷ ὀσίριδι ὡς οὗτος φησί,
μέμφις γὰρ πόλις αἰγύπτου. κήραινε δὲ αὐτὴν εἶπεν ὅτι
ἀρχὴ πολέμου γέγονεν ἀσία καὶ τῇ εὐρώπῃ. κουρῆτες οἱ
τὸν δία θρέψαντες ἐν κρήτῃ, ἀφ' ὧν νῦν τοὺς κρῆτας λέ-
γει. ἀντίποινον ἤγουν ἀντέκτισιν ἐκ φοινίκης ἁρπάσαντες·
ἀντὶ τῆς ἰοῦς ἐν ταυρομόρφῳ πλοιαρίῳ ἐκ φοινίκης οἱ
κρῆτες τὴν εὐρώπην ἁρπάσαντες ᾤχοντο. λέγουσι γὰρ
οἱ μυθογράφοι ὅτι ὁ ζεὺς ταῦρος γεγονὼς αὐτὴν ἥρπασεν
ἔχει δὲ ~~καλῶς~~ ἢ ἄλλως ὁ νῦν μῦθος. ταῦρος ὁ κνώ-
σσου στρατηγὸς παρασκευῆς τοῦ μινωταύρου βασιλέως
κρήτης πεμφθεὶς ἀφήρπασεν αὐτὴν ἐκ τῆς σαραπ-
πόλεως φοινίκης μεταξὺ σιδῶνος καὶ τύρου κειμένης. γόρρ-
ιν σάμαλιν. ἔφην δὲ πολλάκις ὅτι δύο ρρ. χρὴ γράφειν
πόρτις γάρ ἐστιν, ἐπεὶ οὖν γέγονε γόρρις ἀντὶ τοῦ π. ὀφείλει
τεθῆναι τὸ ρ. οὗτος δὲ ἀλλὰ λυκοφρονικῶς πάντα γρά-
φει οὐκ ὀρθῶς ὡς ἔστιν ὅτι καὶ τὸ χωλὸν πάθος ἐστὶ τοῦ
ἰαμβικοῦ. δίκτη καὶ ἴδη ὄρη κρητικά. ἔστι δὲ καὶ ἴδης
ὄρος τροίας ὡς καὶ ἄρατος φησὶ περὶ τῆς ἐν κρήτῃ ἴδης. δί-
κτη ἐν ἐνώδει οὔρει σχεδὸν ἰδαίοιο κρήτης. ἀστέρω στρατη-

λάτῃ

πλατίδας
λίνας
δαλίδας

κουρῆτες

Raptus europe

γόρρις

δίκτη
ἴδη

ὧδ

περὶ τοῦ μινωταύρου

ὁ ἀστέριος οὗτος ἐστὶ καὶ ὁ μινώταυρος. εἶχε δὲ ὥς φασι ταύρου πρόσωπον. ἦν δὲ υἱὸς πασιφάης γεννηθεὶς αὐτῇ ὑπὸ μίνωος καὶ ταύρου ὃν ὁ δαίδαλος ἐποίησεν. ἢ τὸ ἀληθὲς ὑπὸ ταύρου τοῦ στρατηγοῦ ὢν καὶ ὅμοιος μὴ ὢν ἐμυθεύθη ταύρου πρόσωπον ἔχειν. οὗτος δ' ὁ λυκόφρων τὸν ἀστέριον διαπάτερα, εἶναι τοῦ σαρπηδόνος μίνωος καὶ ῥαδαμάνθυος

Οὐδ' οἵ γ' ἀπηρκέσθησαν ἀντ' ἰοῦς ἴσα
λαβόντες ἀγλάκλωπα σὺν τεύκρῳ στρατόν
καὶ σὺν σκαμάνδρῳ βραγχίῳ φυτοσπόρῳ
εἰς βεβρύκων ἔστειλαν οἰκητήριον
σμίνθοισι δηρίσοντας ὧν ἀπὸ σπορᾶς
ἐμοὺς γενάρχας ἐξέφυσε δάρδανος
γήμας ἀρίσβαν κρῆσσαν εὐγενῆ κόρην

Οὐδ' οἵ γ' ἀπηρκέσθησαν. Οὐδὲ οἱ κρῆτες ἕλληνες ἠρκέσθησαν τιμωρησάμενοι τοὺς βαρβάρους καὶ ἀντὶ τῆς ἰοῦς τὴν εὐρώπην ἁρπάσαντες ἀλλὰ καὶ ἔστειλαν εἰς ἀποικίαν περὶ τροίαν τεῦκρον ἢ σκάμανδρον· οὗ σκαμάνδρου θυγατέρα γήμας ὁ δάρδανος γεννᾷ τοὺς ἐμοὺς προγόνους. τὴν γὰρ οὖν ἐπίσημον συγγενῆ τούτου ἔγημεν ὁ δάρδανος καὶ οὐ παρὰ τοῦ ἀφηρέθη ὥς φησιν ὁ λυκόφρων. Οὐ ~~δὲ~~ ὁ δ' οἵ γ' ἀπηρκέσθησαν ἀλλ' ἔστειλαν στρατὸν πρὸς τοῦτο ἀποβλέψας ὁ λυκόφρων εἶπε γὰρ ὅτι περὶ τροίαν ἐλθόντες ἀποίκους ἔστειλαντο, καὶ ἔκτισαν τὸ σμίνθιον ~~καὶ ἱερὸν σμινθίου ἀπόλλωνος οἱ γὰρ μύες παρὰ κρησὶ σμίνθοι καλοῦνται~~ τὴν γὰρ ἐπιδαμίαν ἔχοντι ἐποιήσαντο. ἡ δὲ ἱστορία οὕτως ἔχει. τεῦκρος υἱὸς ἦν τοῦ σκαμάνδρου τῆς κρήτης, τούτοις ἐδόθη χρησμὸς ἐκεῖ οἰκῆσαι ἔνθα γηγενεῖς ἐπιθῶνται αὐτοῖς. περὶ δὲ τὰ

.:. f. καὶ ut patet ex textu Lycophronis & ex sequentib. in enarratione infra

.:. semidi ct in fine huius commenti

σμίνθοι

ταῦρον ἰσοειδῆ

ᾳ τούτοις f. patri & filio

τῆς ἰλίου μεθ' ἢ γενομένης ὑπὸ μυῶν βρωθέντων τῶν ὀχάνων
τῶν ἀσπίδων καὶ τῶν νευρῶν τῶν τόξων αὐτῶν ἔκτισαν τὸ
σμίνθιον καὶ ἱερὸν τοῦ σμινθίου ἀπόλλωνος, οἱ γὰρ μύες
παρὰ κρησὶ σμίνθιοι καλοῦνται, κτίσαντες δὲ τὴν
πόλιν κατῴκησαν ἐκεῖ, καὶ ἐβασίλευσε τεῦκρος ἀφ' οὗ
καὶ τεῦκροι οἱ τρῶες ὡς καλλίμαχος τεύκρων ἠνίκα νῆ
ες ἀχαιῶν ἄστεα, κῆδον. Δραυκίω κρητικῷ, δραύ
κη γὰρ πόλις κρήτης. ἐς βεβρύκων τῶν τρώων. βέβρυ
κες ἔθνος θρᾳκῶν μεταξὺ ~~...~~ συρήνης καὶ κεραυ
νίων οἳ ἱππεῖς κατῴκουν οἳ καλοῦνται λακωνήσιοι. ὧν
ἀπὸ σπορᾶς ἀρίσβην ἢ κατά τινας βάτειαν θυγατέρα
τεύκρου γήμας δάρδανος γεννᾷ ἐριχθόνιον, τρῶα, λα
ομέδοντα. λαομέδων πρίαμον πρίαμος τὴν κασάν
δραν καὶ τοὺς ἀδελφοὺς αὐτῆς

Καὶ δευτέρους ἔπεμψαν ἁρπαγὰς λύκους
ταύρῳ μονοκρηπῖδι κλέψοντας νάκην
δρακοντοφρούροις ἐσκεπασμένην σκοπαῖς
ὃς εἰς κύταιαν τὴν λιβυστικὴν μολὼν
καὶ τὸν τετραπτήνῳ ὕδρῃ δωάσας θρόνοις
καὶ γυρὰ ταύρων βασάσας πυριπνόων
ἄροτρα καὶ λεβητίδι ζαθεῖς δέμας
οὐκ ἀσμένως ὅμαρψεν ἐρράου σκύτος
αὐθαυτόκλητον ἁρπάσας κεραΐδα
τὴν γνωτοφόντιν καὶ τέκνων ἀλάστορα
ἐς τὴν λάληθρον κίσσαν ἡρμοσ' ἥξατο
φθορσὶν εἰδώλων χαονιτικῶν ἄπο
βροτησίαν ἰσσαν, ἔμπαιον δρόμων

Καὶ δευτέρους ἔπεμψαν ὅπια θ̄ ζήτει ὅπου περὶ τῶν
ἀργοναυτῶν πάντα καταλεπτὸν ἔγραψα ἐν τοῖς βραχυτά
τοις

ἱερὸν σμινθίου ἀπόλλωνος

Τεῦκρος βασιλεύς

δραύκη

Arisba siue batea filia teucri mater erichthonij uxor dardani.

.. ἔκπαι] ἔμπερ hesych.

ὅσαι οὐδὲ πεντήκοντα, Ἀπολλώνιοι. Τὴν Λιγυστικὴν ἡ Κυ-
ταία πόλις Κολχίδος ἐστίν. οἱ δὲ Κόλχοι ἔθνος ἐστὶ λα-
ρικὸν ὡς ἔφην ὄπισθεν πλατυτέρως, πλησίον Ἀβασιῶν
κείμενοι. ἡ Λιβύη καὶ τὸ Λιγυστικὸν κλίμα, καινότομ
τὰ πολλά, καὶ τὴν Κελτικὴν Λιγυστικὴν καλεῖ. ὁ Λίγυς
οὗτος κωλύων Ἡρακλῆ ἐπὶ τὰς Γηρυόνου βοῦς ἐλθεῖν
ἀνῃρέθη. καὶ κατὰ μὲν τοὺς ὅλας διαιρέσεις κλιμά-
των ὅμως, καὶ τὴν αὐτὴν δοκοῦντας Λιβυστικὴν καὶ Λιγυ-
στικὴν οὕτως ἐπονομάζειν, κατὰ δὲ τὴν ἀκρίβειαν Λιβυ-
στικὰ ἔθνη εἰσὶν ὥσπερ καὶ ἑσπέρια. Οἱ Λίγυες τὴν πα-
ραλίαν ἀπὸ Τυρρηνοῦ μέχρι τῶν Ἄλπεων καὶ ἄχρι
Ταρρακῶν νέμονται ὥς φησι Δίων καὶ ἕτεροι ἀκριβέστεροι
ἱστορικοί συγγραφεῖς τε καὶ γεωγράφοι. Τεζάπημην ὁ-
σφον δικέφαλον δράκοντα, ἤτοι δύο ἔχεις. αἱ γὰρ
δύο ἔχεις τέσσαρας πόδας ἔχουσιν. ὕδρον τὸν δράκοντα
εἶπε εἶδος λαβὼν ἀντὶ εἴδους. Κεραΐδα τὴν Μήδειαν
νῦν, κεραῒς γὰρ ὄρνεον μικρότατον. Τὴν γνωτοφόντην καὶ
τέκνων ἀλάστορα, τὴν ἀναιροῦσαν τὸν ἀδελφὸν αὐτῆς Ἄψ-
υρτον. ὕστερον δὲ ἐν Κορίνθῳ καὶ τοὺς ἐξ Ἰάσονος αὐτῆς
παῖδας Μέρμερον καὶ Φέρητα, διὰ τὴν πρὸς Ἰάσονος ζηλο-
τυπίαν ὅτι ἀπολιπὼν αὐτὴν Γλαύκην τὴν Κρέοντος ἔγη-
με θυγατέρα. Ἐς τὴν λάληθρον κίσσαν τὴν Ἀργὼ
λέγει ὅτι ἡ τρόπις αὐτῆς ἐκ τῆς Δωδωναίας δρυὸς ἦν φω-
νήεσσα καὶ λάλος. Κίσσαν δὲ αὐτὴν καλεῖ ἐπειδὴ τὸ ὄρ-
νεον ἡ κίσσα μιμητική ἐστι φωνῆς ἀνθρωπίνης ὡς καὶ
ἡ Ἀργώ. ταῦτα δὲ προείρηται.

Πάλιν δ' ὁ Πέρσας ἀσκέρας ἀνδρώσας
καὶ φασγάνου ζωστῆρα καὶ ξίφος πατρὸς
ὁ Φημίου παῖς Σκῦρος ὧν λυγροὺς τάφους
Κρημνῶν ἔνερθεν αὐτίκ' ~~ἐκ~~ῥοιζουμένων

Κύταια

λίγυς

λίγυες. i. ligures

Κεραΐς

Jasonis filij ex medea Mermerus & pheres

Argo nauis pica garrula

πάλαι δοκεύει τὰς ἀρταγχόνους ἐλφάς
σὺν θηρὶ βλώξας τῷ σπάσαντι δηίας
μύσης ζωπαίας μαζὸν ἀθηλῆ θεᾶς
ζωστηροκλέπτης γύκος ὤλενε διπλοῦν
στόρνην δ' ἀμβώσας καὶ θεμισκύρας ἀπὸ
τὴν τοξόδαμνον νοσφίσας ὀρθωσίαν

πάλιν δ' ὁ πέτρας τὴν περὶ θησέως καὶ τοῦ ξίφους καὶ τῶν ὑποδημάτων τοῦ αἰγέως ἱστορίαν τῶν ὑπὸ τὴν κολουρ-
αίαν πέτραν ἔφη πρότερον. κολλουραίαν γὰρ αὐτὴν ὁ — Κολουραία πέτρα
καλλίμαχος καλῶν λέγει. ἔργα δέ μιν ζοιζῆνε κολου-
ραίη ὑπὸ πέτρῃ θῆκε ~~τὴν~~ σὺν ἀρπίδεσσιν. ἀσκέρας
ἄρπον ὄπισθεν. ὅτι τὰ περὶ τοὺς πόδας πιλία, ἤτοι ὀρτά- — ἀσκέρας
λια, λέγονται δὲ καὶ λυκόφρων τὰ ὑποδήματα λέγει.
ὁ Φημίου παῖς κατὰ τοῦτον ὁ Φημίου παῖς θησεύς — Φημίου παῖς
~~φη~~ φησὶ γὰρ αἰγέως εἶναι παῖδα. αἰγεὺς ὁ θησέως.
καὶ ὅτι μὲν αἰγέως καὶ αἴθρας υἱὸς ὁ θησεύς, ἀληθές. ὁ — Αἰγεύς
δ' αἰγεὺς πανδίονος ἦν ἀλλ' οὐ Φημίου. σκῦρος νῆσος ·:· — σκῦρος
μία τῶν κυκλάδων ἧς ἐβασίλευσε λυκομήδης δολό-
πων τὴν νῆσον οἰκούντων, ἐν ταύτῃ τῇ σκύρῳ ταύτῃ θη- — ·:·σ. ἦν
σεὺς ἦν ἀγροὺς ἔχων κατὰ πλούταρχον ἢ φιλίαν πρὸς
τὸν λυκομήδην. φοβηθεὶς δὲ διὰ τὴν ἁρπαγὴν τῆς ἑλέ-
νης καὶ τὴν κατ' αὐτοῦ ἐκστρατείαν τῶν διοσκούρων ἦλθε
πρὸς λυκομήδην, καὶ διέτριβε περὶ τὴν νῆσον ἢ κατά
τινας ὑπόνοιαν παρέσχεν ὅτι μέλλει τυραννεῖν ἀθη-
ναίοις, ἢ κατ' ἑτέρους ὅτι ὑπὸ λύκου τοῦ αἰγέως ἀδελ- — Causa aduentus thesei in scyrū insula
φοῦ ἢ διὰ τὸν φόνον τῶν παλλαντιδῶν ἢ διὰ τὴν [illegible]
λύτου ἀναίρεσιν ἐξώσθη τῶν ἀθηνῶν καὶ οὕτως ἦλθεν
εἰς σκῦρον. κακῶς δὲ ὑποπτεύσας ὁ λυκομήδης αὐ-
τὸν καὶ δειλιάσας περὶ τῆς ἀρχῆς ἀναβαίνων ἐπί τινα
λόφον καὶ δῆθεν ὑποδεικνὺς τινὰ κατεκρήμνισε καὶ — Thesei mors

*De Hercule Theseo & amazonibus*

ἀνεῖλε αὐτόν. σκυθηεῖ βλώξας: πάλιν ὁ θησεὺς
σὺν ἡρακλεῖ ἐλθὼν εἰς σκυθίαν πρὸς τὰς ἀμαζόνας
διπλοῦν παρασκευάσας νῆκος εἰς τοὺς ξήνας διὰ
τὸν ἱππολύτης ζωστῆρα καὶ ἀντιόπην ἀμαζόνα, ἐξ ἧς θη-
σεὺς ἔσχεν ἱππόλυτον. ἡ δὲ ἱστορία τοιαύτη. ἀδμήτη
ἡ εὐρυσθέως θυγάτηρ ἐπιθυμοῦσα τὸν ἱππολύτης ζωστῆρα
κτήσασθαι. καὶ δὲ ἐνὶ πλόῳ ἡρακλῆς μετὰ τοῦ θη-
σέως καὶ ἑτέρων εἰς θεμισκύρας λιμένα ἦλθεν, καὶ ἱπ-
πολύτη τοῦτον τὸν ζωστῆρα ὑπέσχετο δοῦναι. ἥρα
δὲ ὁμοιωθεῖσα γυναικὶ ταῖς λοιπαῖς ἀμαζόσιν ἔλεγεν
ἁρπάζειν τοὺς ξένους τὴν ἱππολύτην. ἐνόπλ-
δὲ αὐτῶν ὡς πρὸς μάχην παρελθουσῶν ἡρακλῆς ἀν-
τιταξάμενος κτείνει τὴν ἱππολύτην καὶ τὸν ζωστῆρα λαβ-
[illegible] καὶ τῇ θυγατρὶ αὐτοῦ ἀποκομίζει. καὶ ἀπολλ-
όδωρος καὶ λοιποὶ ἀναιρεθῆναι φασὶν ὑφ' ἡρακλέους
τὴν ἱππολύτην. ἀπολλώνιος δὲ οὕτω φησί. μετ'
ἀμαζονίδων ἕκαθεν λιμένιον ἀκρήν ἔνθα ποτὲ
προμολοῦσαν ἀρητιάδα μελανίππην ἥρως ἡρακλέ-
ης ἐλοχήσατο καὶ οἱ ἄποινα ἱππολύτης ζωστῆρα πα-
ναίολον ἐγγυάλιξεν αὐτοκασιγνήτην ὁ δ' ἀπήμονα
πέμψεν ὀπίσσω. ἕτερος δέ τις ὅμοια τοῖς προ-
τέροις φησί, τελαμὼν ἀκόρητος αὐτῆς ἡμετέ-
ροις ἑτάροις φόως πρώτιστ' ἔθηκε κτείνας ἀνδρολέ-
τειραν ἀμώμητον μελίππην αὐτοκασιγνήτην χρυ-
σοζώνοιο ἀνάσσης. δηΐας τῆς ἥρας, πολεμία
γὰρ ἦν ἡρακλεῖ. τροπαίας δὲ τῆς αὐτῆς παρόσον
τὴν ἥραν οἱ νικῶντες ὥσπερ τῷ διὶ τρόπαιον ἀνετί-
θεσαν. ἀάσαντι μάλα: μεταστραφόντι θηλάσαν-
τι· ἐθήλασε γὰρ ὁ ἡρακλῆς τὴν ἥραν παῖς ὤν.
ἀθηνᾶς ἁρπασάσης αὐτὸν καὶ προσαγούσης τὴν ἥραν θη-
λάσαι αὐτόν. μύσῃ: τῷ ἡρακλεῖ διότι ἐμυ-
ήθη

*δηΐας*

*τροπαία ἡ ἥρα*

*ὁ ἡρακλῆς παῖς ὢν ἐθήλασε τὴν ἥραν*

ἐν ἐλευσῖνι τὰ δι' αὐτοῦ λεγόμενα, μυστικὰ μυστήρια,
Εὔμολπος γὰρ οὐχ ὁ θρᾷξ κατά τινας ἀλλ' ὁ θεὶς τὰ μυστή
ρια ἐν ἐλευσῖνι ξένους μὴ μυεῖσθαι. ἐλθόντος δὲ ἡρακλέ
ους ἐν ἐλευσῖνι καὶ θέλοντος μυεῖσθαι τὸν μὲν τοῦ Εὐμόλ
που νόμον φυλάττοντες, θέλοντες δὲ καὶ τὸν κοινὸν εὐερ
γέτην ἡρακλέα θεραπεῦσαι οἱ ἐλευσίνιοι τὰ μικρὰ
ἐπ' αὐτῷ ἐποίησαν τὰ μυστήρια, οἱ δὲ μυούμενοι μυρ
σίνῃ ἐστέφοντο. ζωστηροκλέπτης οὗτος τὸν θησέα
λαβεῖν φησὶ τὸν ζωστῆρα τῆς ἱππολύτης καὶ δοῦναι
τῷ ἡρακλεῖ, αὐτὸς δὲ ἔλαβε τὴν ἱππολύτην κατὰ τοῦ
τον τὸν λυκόφρονα, ἐξ ἧς ἔσχε τὸν ἱππόλυτον ἡμεῖς
δὲ ὄπισθεν ἀρκούντως εἴπομεν, νῦν δὲ τοῦτο μόνον
λέγομεν ὅτι θησεὺς ἐξ ἀντιόπης τὸν ἱππόλυτον ἔσχ
εν οὐκ ἐξ ἱππολύτης, ἐκείνη μὲν γὰρ ἡ ἀντιόπη λα
βόντος ἡρακλέους τὸν ζωστῆρα, παρὰ μελανίππης
τῆς αὐτοῦ ἀδελφῆς, ἡ ἱππολύτη μὲν ἀνῃρέθη παρ' ἡρα
κλέους, μελανίππη δὲ παρὰ τοῦ τελαμῶνος. Θεμίσκυ
ρα πόλις παφλαγόνων καὶ ἀμαζόνων, ἔνθα θεμισ
κύρειαι παφλαγόνες οἰκίζονται. Τὴν τοξόδαμνον
οἱ μὲν ἄλλοι πάντες προπαροξυτόνως τοξόδαμνον
λέγουσιν ἐγὼ δὲ παροξυτόνως τὰ μὲν παροξύτονα
πάθη δηλοῦσιν οἷον τοξοδάμνην τὴν δαμαζομένην ὑ
πὸ τόξων. τοξόδαμνον δὲ τὴν δαμάζουσαν τόξοις. λέ
γει δὲ οὗτος τὴν ἱππολύτην. Ὀρθωσία ἡ ἄρτεμις
ἀπὸ τοῦ ὀρθωσίου ὄρους ἀρκαδίας ὡς τιμωμένη
ἐκεῖ ἢ ὡς ὀρθοῦσα τὰς τικτούσας μαιευτικὴ γὰρ
ἡ θεός. φησὶ τοίνυν οὕτως ἐγὼ τὴν τοξικὴν ἀντιόπην
ἢ κατὰ τοῦτον τὴν ἱππολύτην στερήσας τὴν ὀρθω
σίαν ἄρτεμιν ὡς φιλουμένην ὑπ' αὐτῆς ὡς τοξικήν.
τινὲς δὲ καὶ τὴν ὀρθωσίαν τῆς ἀντιόπης ἱππολύτης ἐ
πώνυμον φασίν. ·/·/

∴ τ. μικρά ut infra

ἐλευσίνια μυστήρια, μικρὰ καὶ μεγάλα

ἱππόλυτος θησέως καὶ ἀντιόπης

θεμίσκυρα

ὀρθωσία ἄρτεμις

ἧς αἱ ξύναιμοι παρθένοι ἐπωνίδος
ἔριν λιποῦσαι λάγμον ἠδὲ θύλαμον
καὶ χεῦμα θερμώδοντος αἴκταιόν τ' ὄρος
ποινὰς ἀθέλκτους ἁρπαγὰς δικήμεναι
ὑπὲρ ηθμαινὸν ἴστρον ἤλασαν σκύθας
ἵππους ἀμοκλήτηραν ἴσοαι βοὴν
γραικοῖσιν ἀμυνάμοις τε τοῖς ἐρεχθεῖς
καὶ πᾶσαν ἀκτὴν ἐξεπόρθησαν δορὶ
τὰς μοχθοπέδους ἀθαλώσασαι γύας

ἧς ὁ ξύναιμος ἐπωνὶς ἡ ~~ἀμα~~ ἀμαζὼν αὕτη ἐ
καλεῖτο ἀφὴς καὶ αἱ λοιπαὶ ἀμαζόνες. καὶ οὗτος μὲν
διὰ τοῦ λωσῆρα, φησὶν αὐτὰς ἐπὶ τὰς ἀθήνας στρατεῦσαι
καὶ νικήσαι ὑπέστρεψαν εἰς τὴν ἰταλίαν, ἑλλάνικος δὲ ὁ
λέσβιος φησὶν ὅτι παγέντος τοῦ ~~τη~~ κιμμερινοῦ βο
σπόρου διέβησαν αὐτὸν καὶ ἦλθον εἰς τὴν ἀττικὴν καὶ τέ
λος ἡμεῖς πολεμήσασαι ὑπεστράφησαν. οὐ λέγει δὲ
τὴν αἰτίαν. λυσίας δὲ ὁ ῥήτωρ πρώτας φησὶν αὐτὰς ἁ
πάντων ἀνθρώπων πολεμῆσαι καὶ ἵππων ἐπιβῆναι
τῆς ἀνδρείας οὖν αὐτῶν ἐπίσωσασθαι, πολλοὺς κατέσ
χον τόπους. ἐλθοῦσαι δὲ πρὸς ἀττικοὺς μόλις σεθὲν,
ἡττήθησαν δέ, ἡρόδοτος δὲ ὁ ποντικός φησὶ θησέα
λαβεῖν τὴν ἀντιόπην ἣν μοιχευομένην μετ' αὐτοῦ
καὶ ὑπὸ μολπίδος τῆς ἀμαζόνος σκοτισθεὶς ἐμπε
σοῦσαν ἣ πρέσβιν εἰρήνης τοῖς ἀθηναίοις μετὰ ξε
νίων ἐλθοῦσαν. ἔρις. λάγνος. θύλαμος. θερμω
δῶν ποταμοὶ σκυθικοί. αἴκταιον ὄρος σκυθικόν. γύας
χώρας. τὸ δὲ, γύ. μετὰ προσγεγραμμένου καὶ δί
χα, οὐ λυμαίνεται τὸ μέτρον τοῦ στίχου

πάππος δὲ θρήκης ὅμως αἴξωσας πλάκας

De Amazonibus

ἔρις
λάγνος
θύλαμος
θερμώδων
ποταμοὶ σκυθικοί

αἴκταιον ὄρος σκυθικόν

χώραν δὲ τ' ἐορδῶν καὶ χαλαστρηνῶν πέδον
ὅρους ἔπηξαν ἀμφὶ πηνειοῦ ποτοῖς
στεραὶ ζαχήλω ζεύγλαν ἀμφιθεὶς πέδαις
ἀρχῇ νέανδρος ἐκπρεπέστατος γάνους
ἣ δ' αὖτι τούτων τάρροθον βοηλάτην
τὸν ἐξάπρυμνον στέρφος ἐχλαινούμενον
στείλασα, λίστροις αἰπὺν ἤρειψε πάγον
τὸν ἢ παλίμφρων γοργὰς ἐν κλήροις θεῶν
καθιερῶσε πημάτων ἀρχηγέτης

χώραν τ' ἐορδῶν· ἐορδοὶ οἱ μακεδόνες. χαλαστραῖον
πόλις μακεδονίας. πηνειὸς δὲ ποταμὸς θεσσαλίας. μέ
χρι δὲ θαλάσσης ὁ ἴλος ἐκράτει. ἀρχῇ νέανδρος. νέος
ἄνδρος μετέφρασε γὰρ τὸ αἰσχύλειον, τὸν νέον γὰρ
ἀνδρόπεδα φησὶν αἰσχύλος. οὗτος νέανδρος ὡς με
ταφράζων γράφει. ἣ δ' αὖτι τούτων· ἡ εὐρώπη δὲ ἀντὶ
τῶν τιμωρητῶν τούτων τὸν ἡρακλέα τὴν λεοντὴν ἐνδεδυ
μένον σὺν ἓξ ναυσὶ στείλασα, ἀξίναις ἢ δικέλλαις κα
τασκάπτει τὴν ἴλιον. ἐξάπρυμνον φησὶ τὸν ἡρακλέα,
ὅτι ἓξ σὺν ναυσὶ καὶ ἀνδράσι παυροτέροις ἰλίου ἐξαλά
παξε πόλιν ἥρως ἀγλαός. αἰπὺν δὲ πάγον τὴν ἴλ
ιον λέγει ὅτι ὑψηλά καὶ ὀφρυόεσσα καὶ ὅμηρος· ἦτοι
ἐγὼ φημὶ ποτὶ ἴλιον ἠνεμόεσσαν. τὸν ἢ παλίμφρων· οἱ
μὲν τὴν ἥραν ἀκούουσιν· αὕτη γὰρ παλίμφρων τῷ
ἡρακλεῖ γέγονεν· πρῶτον γὰρ μισοῦσα ὕστερον ἐπὶ τῇ
θυγατρὶ ἥβῃ γαμβρὸν ἐποίησε. γοργάδα· παρὰ τὸ ἐμ
ποιοῦσα φόβον διὰ τὴν γοργότητα. καθιερῶσε δὲ ἀν
τὶ τοῦ θεὸν ποιήσει· πημάτων δὲ ἀρχηγέτης ἐπειδὴ
παραιτία τῶν ἄθλων ἐγένετο. ἄλλοι δὲ ταῦτα ἐπὶ τῆς
ἀθηνᾶς ἀκούουσι καὶ παλίμφρονα μὲν τὴν συνετὴν
γοργάδα δὲ τὴν ἐπὶ τοῦ στήθους ἔχουσαν τὸ γοργόνειον

ἐορδοὶ οἱ μακεδόνες
χαλαστραῖον
πηνειὸς ποταμός
παλίμφρων
γοργάδα

πημάτων ἀρηξιέτην· ὅτι τῷ Ἡρακλεῖ ἐν τοῖς πόνοις βοηθοῦ-
σα καὶ αὐτὸν καθιερώσασα καὶ θεοποιήσασα ἡ Ἥρα. οἱ μὲν ὅτι
αὐτὸν ἐθήλασεν, ἄλλοι δὲ ὅτι γαμβρὸν αὐτὸν ἔσχεν ἐπὶ
Ἥβῃ τῇ θυγατρί. ὥσπερ δὲ ὁ Βυζάντιος ἐν θεῶν λόγοις
θεὸν φησὶ γενέσθαι τὸν Ἡρακλέα.

Αὖθις δὲ Κίρκη Τμῶλον ἐκλελοιπότες
Κίμψον τε καὶ χρυσεργὰ Πακτωλοῦ ποτά
καὶ νᾶμα λίμνης ἔνθα Τυφῶνος δάμαρ
κευθμῶνος αἰνὸν λέκτρον εὐνάζει μυχόν
Ἄγυλλαν Αὐσονῖτιν εἰσεκώμασαν
δεινὴν Λιγυστίνοισι τοῖς τ' ἀμφ' αἵματος
ῥίζαν Γιγάντων Σιθόνων κεκτημένοις
λόγχης ἐν ὑσμίνησι μίξαντες πάλην
εἷλον δὲ Πίσαν καὶ δορίκτητον χθόνα
πᾶσαν κατειργάσαντο τὴν Ὀμβρῶν πέλας
καὶ Σαλπίων βρέθουσαν ἰχθυηρῶν πάγων

Τυρσηνός
Λυδός
Λυδοὶ εὗρον σφαῖραν καὶ ἀστραγάλους
Τυρσηνία πόθεν ἐκλήθη
Κίμψος
Πακτωλός
Λυδία
Ἀσκανία

Αὖθις δὲ Κίρκη· Τυρσηνὸς καὶ Λυδὸς Ἄτυος παῖδες ἦσαν
τοῦ Λυδῶν βασιλέως. λιμοῦ δὲ καταλαβόντος τὴν Λυδίαν
πρῶτον παῖδες ἐπεχειροῦντο παρηγορεῖν ἑαυτοὺς εὑρόν-
τες σφαῖραν καὶ ἀστραγάλους. ὡς δὲ πλεῖον γενέσθαι τοῦ κα- (+ ἢ ἀπὸ παιδιᾶς)
κοῦ παιδιαῖς οὐκ ἠδυνήθησαν, διαιρεθέντες εἰς δύο κλη-
ροῦνται ὥστε τοὺς μὲν μένειν ἐν Λυδίᾳ, τοὺς δὲ ἑτέρους
ἀπαίρειν εἰς ἀποικίαν. πεσόντος δὲ ἐπὶ Τυρσηνὸν τοῦ
κλήρου τῆς ἀποικίας σὺν τοῖς μετ' αὐτοῦ ἀπαίρει πρὸς
Ἰταλίαν καὶ καταπολεμήσας τινὰς τῶν ἐκεῖ καὶ περιγενόμενος
βασιλεὺς τῆς χώρας καὶ Τυρσηνίαν ταύτην ἐκάλεσεν.
Κίμψος κώμη Λυδίας. Πακτωλὸς ποταμὸς Λυδίας
χρυσοῦ ψῆγμα ἔχων, νῦν δὲ ὕελον. λίμνην δὲ Λυ-
~~[illegible]~~γίαν λέγει ἢ τὴν Ἀσκανίαν, πλησίον οὖσαν Λυδίας

τὰ ἄριμα ὄρη ὅπου ἡσίοδος εἶναι τὴν ἔχιδναν λέγει, ταύ-
τη δὲ συνεμίγη ὁ τυφών. ὀθνὴν λιγυστὶν οἶσιν· ἡ σύν-
ταξις οὕτως· ὀθνὴν μίξαντες λόγχης πάλην σὺν ὑσμίναις
τισὶ τοῖς αὐλιγυστινοῖς τοῖς κεκτημένοις ἕλξαν ἢ γενεὰν
ἀπὸ τοῦ αἵματος τῶν σιθώνων καὶ θρακικῶν γιγάντων. ὁ
ξάβων δὲ ἐπάνδρα, τοὺς τυρρηνικοὺς καὶ ἰταλοὺς λέ-
γει συγγενεῖς εἶναι τῶν θρακικῶν γιγάντων. οἱ γὰρ γίγαντες
ἐκ θράκης γεγονότες περὶ τυρρηνίαν καὶ ἰταλίαν ἐν ταῖς
πιθήκων νήσοις ᾤκησαν. διὰ δὲ ταῦτα λέγει πλεὸν
δοξάσαι τοὺς μετὰ τυρρηνοῦ λυδοὺς τοὺς καταπολεμ-
ήσαντας τοὺς λεγομένους εἶναι γένος τῶν θρακ. ἠοαλ-
πίων οὐ σάλπια ἀλλὰ ἄλπια, ὄρη ἀρωπαῖα τῆς
ἰταλίας μεγάλα, ἐν μὲν ἀφ' οὗ ῥεῖ ὁ ἴστρος ἄλλοι δὲ ἀ-
φ' οὗ ὁ ῥῆνος. ἄλπια, ὅθεν ἐκλήθησαν ὑπό τινος ἄλπι-
δος ὑπὸ τόπους ἀνῃρημένου

λοῖσθος δ' ἐγείρει γρυνὸς ἀρχαίαν ἔριν
πῦρ εὗδον ἤδη τῷ πρὶν ἐξάπτων φλογί
ἐπεὶ πελασγοὺς εἶδε ῥυνδάκου ποτῶν
κρωσσοῖσιν ὀθνείοισι βάψαντας γάνος
ἡ δ' αὖτις οἰστρήσασα, τιμωρουμένη
διπλᾶς τετραπλᾶς ἀντιτίσεται βλάβας
πορθοῦσα, χώρας ἀντίπορθμον ἤονα,
πρῶτον μὲν ἥξει ζηνὶ τῷ λαπερσίῳ
ὁμώνυμος ζεὺς ὃς καταιβάτης μολὼν
σκηπτῷ πυρώσει πάντα, δυσμενῶν σταθμά,
σὺν ᾧ θανοῦμαι κἂν νεκροῖς στροφωμένη
τὰ λοιπ' ἀκούσω ταῦθ' ἃ νῦν μέλλω θρηνεῖν
ὁ δεύτερος δὲ τοῦ πεφασμένου λέων,
ἐν ἀμφιβλήστροις ἔμπορος μυνδοῦ λίκου
καταιθαλώσει γαῖαν ὀθνείαν μολών

οἱ γίγαντες ἐν ταῖς πιθήκων νήσοις ᾤκησαν

ἄλπια ὄρη

χρησμοῖς ἰάζου σὺν πολυγλώσσῳ στρατῷ·

λαπέρσαι — Ζηνὶ τῷ Λαπερσίῳ· Λαπέρσαι δῆμος Ἀττικὸς ἔνθα Διὸς
ζεὺς ἀγαμέμνων — Ἀγαμέμνονός ἐστιν ἱερόν, ὁμώνυμος σὺν τῷ Λαπερσίῳ Διὶ
ὁ Ἀγαμέμνων ὅστις ἐπὶ Τροίαν ἐστράτευσε. ὁ δεύτερος δὲ

Ὀρέστης μετὰ τὸ ἀνελεῖν Αἴγισθον καὶ Κλυταιμνήστραν δι-
ωκόμενος ὑπὸ Ἐριννύων φεύγει πρὸς τὰς Ἀθήνας ἐν τῇ τῶν
ὀρέστου ἱστορία — Ἀνθεστηρίων ἑορτῇ, βασιλεύοντος Δημοφῶντος καὶ κρίνεται
ἐν Ἀρείῳ πάγῳ ἢ μετὰ Ἐριννύων ἢ μετὰ Τυνδάρεω ἢ Πε-
ριγόνης τῆς Αἰγίσθου καὶ Κλυταιμνήστρας θυγατρός· ἴσων δὲ
γενομένων τῶν ψήφων ἀπελύθη. ἔχρησε δὲ ὁ θεὸς τῆς μα-
νίας αὐτὸν ἀπαλλαγῆναι εἰ τὸ ἐν Ταύροις ξόανον Ἀρτέμιδος
μετακομίσει· οἱ δὲ Ταῦροι μοῖρα Σκυθῶν. παραγενόμενος
δὲ μετὰ Πυλάδου καὶ κρατηθεὶς παρὰ βουκόλων ἤχθη
δέσμιος σὺν τῷ Πυλάδῃ πρὸς Θόαντα τὸν βασιλέα. ὁ δὲ
αὐτοὺς πρὸς ἱέρειαν Ἰφιγένειαν ἔπεμψε, μεθ' ἧς καὶ τοῦ
ἀγάλματος φεύγουσι. ἁμαρτόντες δὲ ἐξώκειλαν περὶ
τὰ τῆς Σελευκείας νῦν λεγόμενα μέρη καὶ περὶ Ἀντιόχειαν
καὶ τὸ Μελάντιον ὄρος ἀπὸ τοῦ παυθῆναι τὸν Ὀρέστην ἐκεῖ
τῆς μανίας Ἀκμαῖον ἐκλήθη. ὕστερον δὲ ἦλθεν εἰς Ἀθήνας
καὶ Πυλάδῃ μὲν Ἠλέκτραν ἔζευξεν· αὐτὸς δὲ με-
τὰ σφαγὴν αὐτῶν Νεοπτόλεμον τοῦ Ἀχιλλέως ἔγημεν Ἑρμι-
Tisamenus orestis ex hermioē — όνην ἐξ ἧς γεννᾷ Τισαμενόν· ἢ κατά τινας Ἠριγόνην τὴν
Αἰγίσθου Πένθιλον γεννᾷ, οἰκῶν ἐν Ὀρεστείᾳ τῆς Ἀρκαδί-
Orestis mors — ας ὅπου ὑπὸ ὄφεως δηχθεὶς ἀναιρεῖται. ἄλλοι δέ φασιν ὅ-
τι μετὰ τὴν ἀναίρεσιν Αἰγίσθου καὶ Κλυταιμνήστρας παρ-
ἀζᾶνες ἀρκάδες — ὰ τοῖς Ἀζᾶσιν Ἀρκάσιν ἐνιαυτὸν Ὀρέστης συνδιατρίψας
ὡς καὶ Εὐριπίδης φησὶ χρησμὸν ἔλαβε στέλλεσθαι πρὸς ἀ-
ποικίαν. ὃς συντάξας ἐκ διαφόρων ἐθνῶν λαοὺς οὓς ἐκά-
λεσεν Αἰολεῖς διὰ τὸ ἐκ διαφόρων τόπων εἶναι ἦλθεν εἰς
Λέσβον καὶ αὐτὸς μὲν ταχὺ ἀποθανὼν πόλιν κτίσαι οὐκ ἠ-
δυνήθη

Tisamenus · f · orestis

ἀπόγονος δὲ τούτου καλούμενος γραὸς μετὰ ἑκατὸν ἔτη κυριεύσας τῆς λέσβου πόλιν ἔκτισε. Ἑλλάνικος ὁ λέσβιος ἱστορεῖ ὃν πρώτη αἰολῶν ἐν ἀμφιβλήστροις παρ' ὅσον δικτύῳ ἰχθύος ἐμπεσὼν ἐν τῷ χιτῶνι ὁ ἀγαμέμνων ἀνῄρηται .·. ·

Ζῖτος δ' ἄνακτος τοῦ δρυηκόπου γένους
τὴν τειχοπλάστιν παρθένον βραγχησίαν
παραιολίξας βῶλον ἐμπεφυρμένην
νασμοῖς ὀρέξαι τῷ κεκρυπωμένῳ δάνος
σφραγῖδα δέλτῳ δακτύλῳ ἐφαρμόσαι
φθειρῶν ὄρειαν κάρτεται μοναρχίαν
τοῦ πρωτομισθοῦ κάρα, δηώσας στρατόν
ὅταν κόρη καρτωεῖς τῆς ἐφεστίου
χλεύνην ὑλακτήσασα κηκάσῃ γάμους

Ζῖτος δ' ἄνακτος· ζῖτον νηλέα φησὶ τοῦ κόδρου εἰς ἀσίαν παραγενέσθαι. δρυηκόπου δὲ λέγει τοῦ κόδρου. ἐπεὶ πολεμούντων τῶν λακεδαιμονίων τοῖς ἀθηναίοις χρησμὸν ἔλαβον οἱ λακεδαιμόνιοι φυλάττεσθαι κτεῖναι τὸν τῶν ἀθηναίων στρατηγόν. μαθὼν δὲ ὁ κόδρος ἔλαβεν ὑλοτόμον σκεύην καὶ ἀποκτείνας τινὰ λακεδαιμόνιον ἐπὶ τῇ δέσει φρυγανιζόμενον καὶ αὐτὸς ἀνῃρέθη, μαθόντες δὲ τοῦτο οἱ λακεδαιμόνιοι ἀπηλάθησαν. γράφει δὲ τοιοῦτον τι δούρεις. διόδωρος. καὶ δίων ὅτι σαμνιτῶν καὶ τυρρηνῶν καὶ ἑτέρων ἐθνῶν πολεμούντων ῥωμαίοις ὁ δέκιος ὕπατος ῥώμης στρατηγὸς ὢν τοῦ κρονάτου οὕτως ἔδωκεν ἑαυτὸν εἰς σφαγὴν καὶ ἀνῃρέθησαν τῶν ὑπεναντίων χιλιάδες ἃ κατὰ αὐθημερόν. Κόδρου δὲ τελευτήσαντος μέδων καὶ νηλεὺς οἱ τούτου παῖδες ἤριζον περὶ βασιλείας· ἐχρήσθη οὖν τὸν πρῶτον καθίσαντα, ἔνθα ὁ σίαλος σιαλων

Κόδρου ἱστορία

Κόδρου τελευτή

ἄρχων

ζῖβεν λαβεῖν τὴν βασιλείαν ὁ μέδων οὖν θεασάμενος δύο
ἰξάιας κινουμένας καὶ ζιβοῦσας ἀλλήλας καὶ προσπεσοῦ-
σας φύσας ἐκεῖ βασιλεύει τῆς ἀττικῆς. νηλεὺς δὲ πά-
λιν χρησμοῦ ἤκουσε νηλεῦ φράζειν ὅπως ἀδίκων ἐχθρῶν

ἴωνες ἐλαθέντες ὑπὸ τῶν ἀχαιῶν

γένος ἀνδρῶν. λαβὼν οὖν ἴωνας τοὺς ἐλαθέντας ὑπὸ τῶν
ἀχαιῶν ἤλασεν εἰς τὴν ἀσίαν καὶ ἐκράτησε μιλήτου καὶ
καρῶν καὶ ἔκτισε πόλεις ὥς φησιν ἀριστείδης ὁ ῥήτωρ καὶ

νηλεὺς ἤγαγεν ἴωνας εἰς τὴν ἀσίαν

πολλοὶ τῶν ἱστορικῶν. ἕτεροι δὲ πάλιν φασὶν ὅτι νηλ-
εὺς χρησμὸν ἔλαβεν δελφικὸν στέλλεσθαι ἐπὶ χρυ-
σοῦς ἄνδρας δεῖξειν δὲ αὐτῷ τὴν θυγατέρα, παρα-
γενόμενος δὲ εἰς ἀθήνας ἤκουσε τῆς θυγατρὸς γυμνῆς
τυπτούσης τὸ ἐπίσιον καὶ λεγούσης, δίζετο σοῦ μάλα
τὸ θαλερὸν πόσιν ἢ εἰς ἀθήνας ἢ εἰς μίλητον καί τοι
τάξω πήματα καρσίν. τὴν Τειχοπλάσιν τὴν τοῦ κε-
ραμέως θυγατέρα. βραγχησίαν δὲ τὴν βοηαριακὴν
ἀπὸ βράγχου τοῦ κτίσαντος τὸ ἐν μιλήτῳ μαντεῖον
ὁ δὲ νηλεὺς χρησμὸν ἔλαβε οἰκεῖν ἔνθα ἂν παρθέ-
νος αὐτῷ δῷ σῖτον ὕδατι βεβρεγμένον ἐλθὼν δὲ εἰς μι-
λητον παρεκελεύσατο κεραμέως θυγατέρα δοῦναι αὐ-
τῷ πηλὸν εἰς σφραγῖδα. τῆς δὲ προθύμως διδούσης
ἐκράτησε τοῦ μιλήτου καὶ ἔκτισε δέκα πόλεις. φθειρῶν
ὄρος. οἱ μὲν φασὶν ὅτι φθεὶρ υἱὸς ἐνδυμίωνος ἀφ' οὗ
ὁ τόπος ἐκλήθη καὶ τὸ ὄρος. ἄλλοι δὲ λέγουσιν ὅτι φθεῖ-
ρες ὄρος καρικόν ἐστι διὰ τὸ πολλὰς φθεῖρας ἔχειν. φθεῖ-

φθεῖρες οἱ καρποὶ τῶν πιτύων

ρες δὲ λέγονται οἱ καρποὶ τῶν πιτύων ὅτι ἐοίκασι
φθειρσὶν ἐν δὲ τῷ ὄρει ἐκείνῳ πίτυς πολλαί. ὅταν κη-
ρι κασωεῖς Κασωεῖς ἡ πόρνη. δοκεῖ δὲ ἡ τοῦ
νηλέως θυγάτηρ ἀσελγὴς γενέσθαι καὶ ὑπό τινος τῶν βαρ-
βάρων φθαρῆναι. τοῦ δὲ νηλέως πάλιν ἐν μιλήτῳ μαν-
τευσαμένου ποῦ δεῖ κτίζειν ὁ θεὸς ἔφη τὴν θυγατέρα
αὐτοῦ δεῖξειν αὐτῷ. ἀποβὰς δὲ [illegible] ἴδε τὴν θυγατέρα

αὐτοῦ ἀνασυρομένου τοὺς μηροὺς καὶ λέγουσαν τίς μοι θέλει
συνουσιάσθαι συνὼν· γὰρ ὁ πατὴρ αὐτῆς τὸ γόνιον ἐκτεμὼν κα-
τώκισε. τὸ δὲ ἑξῆς οὕτως ἔχει· ὅταν ἡ τοῦ Νανὰς θυγάτηρ τὸν
ὑπνοῦσα τὸ ~~αἰδ~~ αἰδοῖον χλευάσῃ τὰ νυμφεῖα πρὸς τὰ τῶν
βαρβάρων Κνωσσά, τουτέστιν εἰς τοὺς περὶ τοῖς Καρσὶ κοι-
νοὺς τόπους ἐν οἷς αἱ ἑταιρίδες διατρίβουσιν

νυμφεῖα πρὸς Κνωσσὰ βαρβάρων τ' ἐφ᾽
οἱ δ' αὖ τέταρτοι τῆς Δυμαντείου σπορᾶς
Λακμώνιοί τε καὶ Κυτιναῖοι Κόδροι
οἱ Θρύγγον οἰκήσουσι Σάτνιον τ' ὄρος
καὶ Χερσόνησον τοῦ πάλαι Λυκτηρίαν
θεῷ Κνεῖτα πάμπαν ἐξυσμένον
τῆς παντομόρφου Βασσάρας λαμπουσείδος
τὸ κῆδος ἢ ταλφαῖσι ταῖς καθημέραν
βούπειναν ἀλθαίνεσκε δημαίαν πάγος

<u>Οἱ δ' αὖ τέταρτοι τῆς Δυμαντείου σπορᾶς</u>. Δύμας βασι-
λεὺς Δωριέων. Δυμάντειον δὲ σπορὰν λέγει τοὺς Δωρι-
εῖς ἀπὸ τούτου, ἡττήσατο γὰρ τῆς ἀποικίας αὐτῶν τῆς εἰς
Κύδλανον Ἱππότης ὁ Ἀλήτας. Λάκμων δὲ ὄρος πε-
ραιβίας ἔνθα ᾤκουν οἱ Δωριεῖς. Κύτινον γὰρ ~~ὄρος~~ πόλις
Δωριέων. ἐπεὶ δὲ καταλέγω τοὺς Δωριεῖς, λέγει δὲ τὸ
καὶ ἴωνες καὶ Κόδροι ἐπεὶ διὰ τοὺς Ἀθηναίους ἀπὸ Κόδρου βα-
σιλέως Ἀθηναίων. μετέσχον γὰρ καὶ Ἀθηναῖοι τῆς ἀποικί-
ας τῶν Ἡρακλειδῶν καὶ Χερσόνησον. <u>Καὶ Χερσόνησον</u> τὴν πε-
ρὶ τὸ Ἀντώνιον ἔνθα ᾤκει ὁ Ἐρυσίχθων. <u>Θρίγκος</u> πό-
λις Ἰκαρίας. Σάχτιον γὰρ ὄρος Ἰκαρίας. Κνεῖτα γὰρ ἐπ-
ώνυμον τῆς Δήμητρας. <u>τῆς παντομόρφου</u> Ἐρυσίχθων
τις Θεσσαλὸς ὁ καὶ Αἴθων καλούμενος, υἱὸς ὑπάρχων Τρι-
ωνος ἐξέτεμε τὸ ἄλσος τῆς Δήμητρας. ἡ δὲ ὀργισθεῖ-
σα

Δύμας βασιλεύς

Λάκμων ὄρος

Κύτινον

Θρίγκος πόλις

σάχτιον

Κνεῖτα

Erisichthonis et eius filie fabula

οὗ ἐποίησεν αὐτὸν λιμώττειν ἀεὶ καὶ μὴ πληροῦσθαι τῆς πείνης. εἶχε δὲ οὗτος θυγατέρα μήστραν φαρμακίδα, ἣν μεταβαλλομένην εἰς πᾶν εἶδος ζώου πιπράσκων καθ' ἡμέραν ἐτρέφετο, ἡ δὲ πάλιν ἀμείβουσα τὸ εἶδος φεύγουσα πρὸς τὸν πατέρα ὑπέστρεφεν, ἡ δὲ ἀλληγορία οὕτως· ἐστὶ ὁ πατὴρ τῆς μήστρας καταφαγὼν πάντα καὶ τοὺς ἀγροὺς διὰ πενίαν ἐκτεμὼν ἤτοι πωλήσας ἐλιμώττεν, ἡ δὲ τούτου θυγάτηρ παραπορνευομένη καὶ παρὰ τοῦ μὲν βοῦν παρὰ τοῦ δὲ πρόβατον καὶ παρ' ἄλλου ἄλλο εἶδος λαμβάνουσα ἔτρεφε καὶ ἑαυτὴν καὶ τὸν ἑαυτῆς πατέρα, ὅθεν καὶ ἐμυθεύσαντο ταῦτα.

ὅθεν γε σατραπεῦντος αἴθωνος πτερά
ὁ φρὺξ δ' ἀδελφοῦ αἷμα τιμωρούμενος
πάλιν τιθωνοῦ ἀντιπορθήσει χθόνα,
τοῦ νεκροτάτου τὰς ἀθωπεύτους δίκας
φθιτοῖσι ῥητορεύοντος ἐξ ἄκρων λοβῶν
φθέρσας κύφελλα, κἀγκύλας παρωτίδας
δάπταις τιτύσκων αἱμοπότησι φόβον
τῷ πᾶσα φλέγρας αἶα δουλωθήσεται
θραμβουσία τε δειρὰς ἥ τε πάκτιος
στόρθυγξ τιτῶνος, αἵ τε σιθῶνος πλάκες
παλληνία τ' ἄρουρα, τὴν ὁ βούκερως
βρύχων λιπαίνει γηγενῶν ὑπηρέτης
πολλῶν δ' ἔναναξ σκήπτρων κατάρξεται
κανδαῖος ἢ μαμερτὸς ἢ τί χρὴ καλεῖν
τὸν αἱμοφύρτοις ἐστιώμενον μάχαις
ὃν μὰν ὑπείξει χἡ προμηθέως τοκάς
ἀγάν τι πάντων πρόσθεν ἐσπερεῦσα
ζεῦγος τιτᾶντα, τῷ θάλασσα μὲν βατή
πεζῷ ποτ' ἔσται, γῆ δὲ ναυσθλωθήσεται

ῥηνοῦντι πηδοῖς χέρσον οἱ δ' ἐλαφρείᾳ
οἶκοι μαμέρσας ἠθαλωμένοι φλογί
σὺν ἀγλινοῖσι τῇ χλέων πεφλήμασι
τὸν χρυσομολγὸν αἰτιάσονται βλάβης
φαίνωμα θεσπίζοντα πλούτωνος λάξιν

ὁ Φρὺξ δ' ἀδελφῶν. περὶ τοῦ μίδα λέγει ὅστις πολλὰ μέρη κατέδραμε τῆς θράκης, οὗτος ὥς φησιν τὸ αἷμα τῆς κλεοπάτρας τιμωρούμενος τὴν ἀρώπην τὴν ζωφ'' τοῦ ἡγεμονεύοντος τῶν νεκρῶν μείνωος πορθήσει. ὅς δή πο τ' ἀμφώδοντος. ὅς δή ποτε μίδας ὑπὸ τοῦ ἀμφώδοντος, ἤγουν ξίφους κατέτεμε φθέρσας. ἤγουν κόψας τὰ κύφελα, ἤγουν τὰ ὦτα, ἐξ ἄκρων τῶν λοβῶν καὶ γυμνώσας τὰς παρωτίδας ἢ κατὰ τοὺς λοιπούς, ὅστις τοῦ ἀμφώδοντος ἤγουν τοῦ ὄνου τεμὼν τὰ κύφελα καὶ γυμνώσας τὰς παρωτίδας. λέγουσι γάρ τινες ὦτα ὄνου ἔχειν τὸν μίδαν καὶ ἀποκόψαι αὐτά, οἱ δὲ φασὶν ὅτι ὀξέως ἤκουε καὶ διὰ ταῦτα, ταύτην ἔσχε τὴν ὀνομασίαν. λέγει γὰρ ἀριστοτέλης τὸν ὄνον πολλὰ ἀκούειν. ἄλλοι δὲ λέγουσι πολλοὺς ὠτακουστὰς αὐτὸν ἔχειν τὸ δ' ἀληθὲς οὕτως ἔχει λέγεται ἐν φρυγίᾳ δύο εἶναι λόφους καλουμένους ὄνου ὦτα. πολλῶν δ' ἐν ἀμάξ πολλοί φησι πόλεμοι ποτὲ μὲν ἀσίᾳ ποτὲ δὲ εὐρώπῃ ἔσονται. Κανδάιος ἤγουν ὁ μάμερτος ὁ ἄρης. οὐ μὰν ὑπέξει γ' ἐπιμηθέως τοκάς. ἤγουν ἡ ἀσία. ἀσίας γὰρ καὶ ἰαπετοῦ, προμηθεὺς καὶ ἐπιμηθεύς. τῷ θάλασσαν μὲν βατήν ὁ ξέρξης ἐκφοβῶν τοὺς ἕλληνας ὅτε κατὰ τῶν ἀθηναίων ἐστράτευσε τὸν μὲν ἑλλήσποντον ἔζευξε τὸν δὲ ἄθωνα κόψας ἐποίησε θάλασσαν, καὶ νῦν μὲν ταύτας τὰς ἱστορίας καὶ τὰ τῶν λοιπῶν σχόλια ἐάσθω. ὕστερον δὲ μετὰ τὸ εἰπεῖν τὰ μικρὰ ταῦτα, περὶ τοῦ ξέρξου χολοῦ. πᾶσαν τούτου ἱστορίαν πεπλατυσμένως

ἀμφώδοντος
φθέρσας
κύφελα

περὶ τοῦ μίδα ἱστορία

Κανδάιος
μάμερτος

Asie & iapeti prome theus & epimetheus

Λαφρία μαμέρσα ἡ ἀθηνᾶ

ἐρῶ· οἶκοι μαμέρσας. οἱ οἶκοι τῆς ἀθηνᾶς ἡ ἀττική. λαφρία
ἡ μαμέρσα ἡ ~~ἀθηνᾶ~~ ἀθηνᾶ. τὸ δὲ ἑξῆς. οἱ οἶκοι τῆς ἀ
θηνᾶς σὺν τοῖς ξυλίνοις τείχεσι κατακαέντες τὸν ἀπόλλω
να αἰτιάσονται ὅτι ὁ ξέρξης ἐλθὼν ἐν ἑλλάδι, ηὔχετο ἐχρή
σθη τοῖς ἀθηναίοις τάδε. τεῖχος τριτογενεῖ ξύλινον δίδοῖ
ἀπόρθητον ζεύς. οἱ δ' ἀθηναῖοι τοῦτο οὐ καλῶς νοήσαντες κα
τεσκεύασαν ἐν τῇ ἀκροπόλει τεῖχος ξύλινον ἐν ᾧ οἱ ἀρε
θέντες πάντες κατεκαύθησαν ὑπὸ τῶν περσῶν. θεμιστο
κλῆς δὲ τυχηκότα στρατηγῶν συνεβούλευσε τεῖχος ξύ
λινος τὸν χρησμὸν τὰς ναῦς αἰνίττεσθαι, διὸ πεισθέντες
κατεναυμάχησαν τὸν ξέρξην εἰς τὰς τριήρεις ναῦς ἐμβάν
τες. ἡ δὲ ναυμαχία γέγονεν ἐν σαλαμῖνι. πλούτωνος λά
ζιν φασὶν ὅτι ἐν τῷ τρίποδι χάος ἦν μέγα. ὅθεν τὰ μαν
τεύματα ἐωράδον καὶ ἐπείχοντο ἅπερ ὁ ἀπόλλων ἐσα
φήνισεν.

χρησμὸς δοθεὶς τοῖς ἀθηναίοις

:· γρ. μαντεύματα

στρατῷ δ' ἀμίκτῳ πᾶσα μὲν βρωθήσεται
φλοιῶτιν ἐκδύνουσα δίπλακα σκέπην
καρποτρόφος δρῦς ἄρσεσίν τ' ὀργὰς γύης
ἅπας δ' ἀναύρων νασμὸς αὐανθήσεται
χανδὸν κεραίων δίψαν αἰονουμένων
κύφελλα, δῖον τηλόθεν ῥοιζουμένων
ὑπὲρ κάρα στείχουσι κιμμερὸς θ' ὅπως
σκιᾷ καλύψει πέζαν ἀμβλώπων σέλας
λοκρὸν δ' ὁποῖα μαῦρον ἀνθήσας ῥόδον
ἢ πάντα φλέξας, ὡς κάρκανον στάχυν
αὖθις παλιμπλώτοιο γεύσεται φυγῆς
μόσσυνα φιτρόπλεκτον ὡς λυκοψίαν
Κόρη κραιφναίαν ἄχι σαμβεθωμένος
χαλκηλάτῳ κνώδοντι σημαντουμένη

φλοιῶτιν ἐκδύνουσα δίπλακα σκέπην ἐπειδὴ δι
πλῆν

ἔχει σκέπην ἡ δρῦς, δύο γὰρ δέρματα ἔχει. ἀπὸ δὲ τοῦ ἑνὸς
καρποῦ τῆς δρυὸς τοὺς πάντας ἐδήλωσεν· οἱ γὰρ ἀρχαῖοι — *Οἱ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν quod et Moschopulus & alij*
οἱ πᾶν δένδρον δρῦν ἐκάλουν. ἅπας δ' ἄναυρος
ὑπερβολικῶς εἶπεν ὅτι πάντες οἱ ποταμοὶ ξηρανθήσονται
ὑπὸ τοῦ πλήθους τῶν περσῶν, μόνος γὰρ ὁ ἐν ἀττικῇ εἰς
μηριοσὸς καὶ ὁ ἐν θεσσαλίᾳ ὀρόχων καλούμενος ὑπεξη-
ράνθησαν ὥς φησιν ἡρόδοτος ἀποξηρανθῆναι. καὶ ἐν τῇ — *Epota flumina medo prandente. Iuuenalis*
ἀσίᾳ τὸν μαίανδρον. ἄναυρος δὲ κυρίως ὁ ἐν χειμῶ-
νι ῥέων ποταμός. Κύφθεν τὰ ὦτα εἶπεν ἀνώτερον
νῦν δὲ τὰ νέφη φησὶ διὰ τὸ κοῦφα εἶναι. λέγει δὲ νῦν — *ἄναυρος*
διὰ τὸ πύκνωμα τῶν βελῶν. Κίμμερος Κιμμέριοι ἔ-
θνος περὶ τὸν ὠκεανὸν ζόφῳ κεκαλυμμένοι, ὁ δὲ νοῦς — *Κιμμέριοι*
ὥσπερ ὁ σκοτασμὸς τῶν κιμμερίων ἀφανίζων τὸ φῶς
σκότος ποιεῖ οὕτω καὶ τὰ περσικὰ βέλη πεμπόμενα ἵνα ἥλι-
ον ἐπικαλύψῃ. λοκρὸν δ' ὁποῖα, ὁ ξέρξης φησὶ φοβηθεὶς
φεύξεται ἐπολίτου τῇ νίκῃ λαμπρωθεὶς. μόσσυνα — *μόσσυνα*
φυτοτευκτον νῦν τὴν ναῦν λέγει ὁ δὲ νοῦς οὕτως ὁ ξέρ-
ξης φησὶν νικηθεὶς ἐν σαλαμῖνι φεύξεται καὶ τῆς πα-
λιμπλόου φυγῆς γεύσεται. νῦν ἀναζητῶν καὶ ψηλαφῶν
ὥσπερ κόρη ἀναζητεῖ τὸ σκότος ἐρημεῖ ὥστε κρυβῆναι
ἐν αὐτῇ ὅταν ὑπό τινος ξιφηφόρου καταδιώκεται. ἀν-
θεὶς καὶ εἰς τοὐπίσω παλιμπλώτοιο γεύσεται φυγῆς ὁ ξέρ-
ξης ἢ καὶ ἀνθεὶς. ἢ πάλιν ἀρχιπαμφαλώμενοι καὶ πε-
ριβλέπων. ἢ ψηλαφῶν μόσσυνα φυτοτευκτήν. ἢ ναῦν
οὕτω δὲ ψηλαφῶν ναῦν ὡς κόρη σχηματουμένη χαλ-
κηλάτῳ ξίφει ἀπὸ κινοῦ τὸ παμφαλῶται καὶ ψηλαφᾷ
λυκοψίαν κνεφαίαν καὶ ταῦτα μὲν οὕτω. κατὰ δὲ τὰ
προϋπεσημειωμένα τὴν περὶ τοῦ ξέρξου ἱστορίαν πλατέσ-
γραφὴν ἀρχώμεθα. ἱππίας ὁ πεισιστράτου τύρα- — *ξέρξου ἱστορία*
ννος ὢν ἀθηναίων ἐξέπεσε τῆς τυραννίδος. ἐλθὼν δὲ
πρὸς πέρσας ἐκέλευε δαρεῖον στρατεύειν κατ' ἀθηνῶν

καὶ ὃς πείθεται ὡς Ἀριστείδης φησίν. Ἡρόδοτος δὲ γράφει Ἀθην-
αίους ἀναπεισθέντας ὑπ' Ἀρισταγόρου τοῦ Μιλησίου πορθῆ-
σαι Σάρδεις καὶ ἑτέρους ὄντας ὑπὸ Δαρεῖον, ὃ μαθὼν Δα-
ρεῖος ἤρετο τίνες οἱ Ἀθηναῖοι καὶ ἀπέστειλε κατ' αὐτῶν Μαρ-
δόνιον μετὰ βαρβαρικῆς δυνάμεως καὶ στόλου πολλοῦ. ναυα-
γήσαντα δὲ τοῦτον περὶ τὸν Ἄθων ὡς δισμυρίους ἄνδρας ναυ-
αγῆσαι καὶ τραυματισθῆναι ὑπὸ Θρακῶν καὶ αὐτὸν τὸν Μαρ-
δόνιον. παραλύει δὲ ὁ Δαρεῖος τοῦτον τῆς ἀρχῆς. δευτέ-
ἔτει ρῳ δὲ ~~ἐπεὶ~~ ἀπὸ τοῦδε ἔπεμψεν Ἀθηναίοις κηρυ-
λαν γῆν καὶ ὕδωρ αἰτῶν, οἱ δὲ τοὺς μὲν Περσῶν πρέσβεις
εἰς φρέαρ ζῶντας βαλόντες ἄνωθεν γῆν καὶ λίθους περιπο-
ντες τούτους κατέχωσαν. ἑλόντες δέ τινα Σάμιον ἑρμηνεύ-
σαντα τοῖς Ἀθηναίοις τὰ Περσῶν γράμματα, κατὰ
τινας μὲν ἀνεῖλον, κατὰ τινας δὲ ἄτιμον ἐποίησαν, ὡς
καὶ Ἄρθμιον τὸν Ζελείτην ἠτίμωσαν περὶ Δαρείου χρυ-
σίον βαρβαρικὸν αἰτήσαντα, πρεσβευόμενον. Κυρ-
σίλιον δὲ τῆς βουλῆς ἕνα κατελίθωσαν καὶ ἀνεῖλον Ἀθη-
ναῖοι ὅτι γῆν καὶ ὕδωρ συνεβούλευσε πέμπειν τῷ βαρ-
βάρῳ. αἱ δὲ τῶν Ἀθηναίων γυναῖκες τὴν γυναῖκα Κυρσι-
λίου ὁμοίως κατελίθωσαν καὶ οἱ παῖδες τοὺς παῖδας αὐτοῦ.
τῷ αὐτῷ ἔτει ὀλυμπιάδος. οα. γ. ὁ δὲ Δαρεῖος με-
τὰ τὸ ἐκστῆναι Μαρδόνιον τῆς ἀρχῆς ἔπεμψε πάλιν κατὰ
τῆς Ἀττικῆς Δᾶτιν καὶ Ἀρταφέρνην ἀνεψιὸν αὐτοῦ ἑξακο-
σίων νηῶν στόλον, καὶ Νάξον εἷλον καὶ Ἐρέτριαν Δωοίδα
πόλιν. ἐν δὲ τῇ Δήλῳ Δᾶτις ἐθυμίασε τῷ Ἀπόλλωνι
~~Δᾶτιν~~ λιβανωτοῦ τάλαντα. ἀποπλεύσαντες δὲ καὶ πε-
ρὶ Μαραθῶνα στρατοπεδευσάμενοι σὺν οἷς καὶ ὁ τύραννος
Ἱππίας καὶ Μιλτιάδης στρατηγοῦντες τῶν Ἀθηναίων καὶ Στη-
σιλεω, πολεμαρχοῦντος δὲ Καλλιμάχου καὶ Κυναιγείρου
καὶ Πλαταιέων συμμαχούντων αὐτοῖς χιλίων ἡττῶνται
καὶ πρὸς Δαρεῖον ὑποστρέφουσιν. ὅπερ ἀκηκοὼς κατὰ

τῆς ἑλλάδος αὐξεπίζετο στρατεῦσαι ἐπὶ ζ' ἔτη οὖν ὅλους ἐνιαυ-
τοὺς στέλλοντε ηὐξέπιζε καὶ πεζὸν συνῆγε στρατόν. τετάρτῳ
δὲ ἔτει δαρεῖος μὲν τελευτᾷ, ξέρξης δὲ καὶ τὴν βασιλείαν καὶ τὸν
πόλεμον διαδέχεται μαρδονίου λέγοντος αὐτῷ πολεμεῖν, ἀρ-
ταβάνου δὲ τοὐναντίον. ἦν δὲ ὁ πᾶς ἀριθμὸς τῆς στρατιᾶς αὐ- ἀριθμὸς τῆς στρατιᾶς τοῦ ξέρξου
τοῦ ἀπομάχιμος μυριάδες πεντακόσιαι, πλοῖα δὲ δισχί-
λια διακόσια ἑπτά. τετρακόσια δ' ἦσαν τάλαντα ἡμερή-
σια τροφὴ τῷ στρατῷ. στρατεύων οὖν κατὰ τῆς ἑλλάδος
ἠθέλησε καινοτομῆσαι τὰς φύσεις, βουβάρισου καὶ πεν-
ταπήχυς ἀρταχαίου προπεμφθέντος μετὰ πολλῶν μυρι-
άδων τῆς ὀρεινοῦς τοῦ ἄθω ἐπεστράτευον καὶ διέκοπτον αὐ-
τὸν καὶ ἐθαλάττουν εἰς βάθος. ἕτεροι γεφυροῦν ἐπέμφθη-
σαν τὸν ἑλλήσποντον περὶ ζαχθὸν ἀκτὴν λεγομένην με-
ταξὺ σηστοῦ καὶ ἀβύδου. γεγονυίας δὲ τῆς γεφύρας καὶ λυ-
θείσης ὑπὸ χειμῶνος διακοσίαις ῥάβδων πληγαῖς ἔτυψε
τὸν ἑλλήσποντον καὶ δύο ζεύγη βοῶν δεσμῶν σιδηρῶν ἐκέ-
λευσεν ἐμβαλεῖν εἰς τὸ πέλαγος ὡς δῆθεν τὴν θάλασσαν Ipsum compedibus qui vinxerat Ennosigaeum
οἷα δούλην δεσμῶν τοῖς πλοίοις, ἑτέρας δὲ γεφύρας
τούτῳ τῷ τρόπῳ ἀντὶ τῆς προτέρας ἐποίησαν, καὶ ναῦς πλα-
γίως κατὰ ῥοῦν ἔστησαν καὶ ἐπλήρωσαν τὸ πέλαγος. ἄνω-
θεν δὲ τῶν νεῶν σχοίνους ὑπὲρ μεγέθους εἵλκυσαν ἐξ ἑκα-
τέρου μέρους τῆς γῆς. ἄνωθεν τῶν σχοινίων δοκοὺς ὑπερ-
ελξαν καὶ προσήλωσαν, εἶτα γῆν ἐπέβαλον ἐπὶ τοὺς δο-
κοὺς καὶ ἔρραινον φυλλάδα μυρσίνης καὶ δάφνης. ἑκα-
τέρωθεν δὲ τῆς γεφύρας ἦσαν ἕτεροι δοκοὶ περικλείον-
τες τὴν γέφυραν μήπως τις ὀλισθήσας πέσοι πρὸς τὴν
θάλασσαν. οὕτω μὲν αἱ γέφυραι γεγόνασι περὶ τὸν ἑλλή-
σποντον καὶ λιθίνην ἕδραν αὐτοῦ ὑψηλὴν ἐκεῖ ἐποιή-
σαντο ἐν ᾗπερ ἐφιδρωθεὶς ὕστερον ὅτε παρεγένοντο τὸ
στράτευμα ἔβλεπε. πρῶτον δὲ περὶ τὰς κελαινὰς πό-
λιν φρυγίας ἐλθὼν πυθίου στρατῷ ξενίζεται σὺν παντὶ τῷ

Πυθίος ὁ πλουσιώτατος

στρατεύματι παρὰ πυθίου τοῦ λυδοῦ, ὃς καὶ τῷ δαρείῳ
πρὶν ἐχαρίσατο χρυσῆν ἀναδενδράδα καὶ πλάτανον
καὶ τῷ ξέρξῃ τότε ἀργυρίου ἐχαρίσατο δισχίλια τάλαν
τα, καὶ τετρακοσίας μυριάδας δαρεικῶν χρυσονομίσμα
τι χιλιάδας ὀλίγα ἀπολειπόμενος. ὧν οὐδὲν ὁ ξέρξης λα
βὼν ἀλλὰ τὴν προαίρεσιν ἀποδεξάμενος καὶ τὸ λεῖπον μᾶλ
λον τῶν μυριάδων ἀποπληρώσας ἔσπευσε πρὸς τὰ τοῦ
ἑλλησπόντου μέρη πορεύεσθαι διὰ φρυγίας καὶ λυδίας. ὥστε
ἔν τινι δὲ τόπῳ πλάτανον ἰδὼν ὡραίαν καθ' ἡρόδοτον
ἐχρύσωσεν αὐτὴν διὰ τὸ κάλλος αὐτῆς. κατὰ δὲ ἑτέρ
ους τινὰς ὅτι περὶ μεσημβρίαν καθεσθεὶς ὑπ' αὐτὴν
τὸ θάλπος ἐξέφυγε. πορευομένων δὲ πρόσω ἐπικυψ
άντων τῶν ἵππων ~~πιεῖν~~ πιεῖν ἐξηράνθη ὁ μαίανδρος ὡς
καὶ ὁ πυκνὸς ὕστερον καὶ ἐν ἀθήναις ὁ ἰλισσὸς καὶ ἕτεροι.
πεφθακότες δὲ περὶ τὸν ἑλλήσποντον ἔκλειψις ἡλίου καὶ ση
μεῖα ἐγένοντο ἕτερα, ὅμως ἐπτὰ νυξὶ καὶ ἡμέραις ὁ στρα
τὸς τὰς γεφύρας ἐπεραιοῦτο. πλὴν ὁ ἐφ' ἅρματος καὶ αὐτὸς
διεπεραιοῦτο. ἐρχομένων δὲ καὶ αὐτοῦ πρὸς τὴν ἀττικὴν
ἀθηναίοις ἐδόθη χρησμὸς οὗτος. τεῖχος τριτογενεῖ ξύλι
νον διδοῖ εὐρύοπα ζεὺς μοῦνον ἀπόρθητον τελέθειν
τὸ σέ τε καὶ τέκν' ὀνήσει, μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ
πεζὸν ἐόντα πολλὸν ἀπ' ἠπείρου στρατὸς ἥσυχος ἀλλ' ὑ
ποχωρεῖν, καὶ ἕτερα τοιαῦτα. τοῦτο γοῦν ἀκούσαντες ἀθη
ναῖοι γυναῖκας μὲν καὶ παῖδας καὶ γέροντας περὶ τροιζῆνα
ἐξέθεντο, θύρσους δὲ ποιήσαντες ξυλίνους ἐν ταῖς ἀθήναις,
ἔφασαν μετά τινων οὓς ὕστερον οἱ πέρσαι σὺν τοῖς πυ
ργοῖς κατέκαυσαν, οἱ δὲ ἀθηναῖοι περὶ σαλαμῖνα εἶχον
τὸν στόλον ὅπου ὕστερον καὶ τοὺς βαρβάρους κατεναυμά
χησαν. σὺν ἅπαντα τῶν συμμάχων καὶ αὐτῶν ἔχοντες
πλοῖα. ὁ δὲ ξέρξης περὶ τὸ αἰγάλεων ὄρος ἀντικρὺ
τῆς σαλαμῖνος κείμενον ἐπὶ θρόνου λαμπροῦ ἐκά
θητο

(Margin notes: ∴ ς. δαρεικῶν — μαίανδρος, πυκνός, ἰλισσός / ποταμοί — αἰγάλαιον ὄρος)

βλέπων τὴν ναυμαχίαν, ἡττηθέντων δὲ αὐτῶν τῇ ναυμα-
χίᾳ, πεζῇ πολεμῆσαι ἠθέλησαν καὶ ἐκ τῆς τῶν περσικῶν
βελῶν ἐκρύβη ὁ ἥλιος. τότε μαθών τις τῶν ἑλληνικῶν στρα-
τιωτῶν τοῦτο εἶπε τοῖς στρατιώταις, ἀριστοποιήσασθε ἄνδρες
ἵνα παρ' ᾅδην δειπνήσωμεν μαχόμενοι, θαρρεῖτε δὲ οὖν,
γὰρ ὑπὸ θάλπος ἡλίου ὑπὸ σκιὰν δὲ βελῶν πολεμή-
σομεν. ξέρξου δὲ μετὰ παντὸς τοῦ στρατοῦ ἐρχομένου
λεωνίδης ὁ σπαρτιάτης μετὰ διακοσίων τὰς περὶ τὸ λεωνίδης
ἀρτεμίσιον ὄρος παρόδους κατέλαβε καὶ ἀντιταξάμενος πρὸς ἀρτεμίσιον
αὐτὸν πολλοὺς ἀνεῖλε καὶ δύο ἀδελφοὺς τοῦ ξέρξου. το- ὄρος
σοῦτον δὲ ἀντέστησε γενναίως μαχόμενος ὡς καὶ τὸν ξέρξην
ἀποβῆναι τοῦ ἵππου καὶ πεζῇ καθέσασθαι, τέλος δὲ συ-
μπατήσαντα αὐτὸν τὸν λεωνίδην καὶ τοὺς διακοσίους
διῆλθον διὰ τῶν σκημάτων αὐτῶν, λαβόντες δὲ τὴν κε-
φαλὴν λεωνίδου ἀνεσταύρωσαν. τέως ἰδὼν ἑαυτὸν ὁ
ξέρξης ἔτι παρὰ τῶν ἀθηναίων καὶ τῶν λοιπῶν λακεδ-
αιμονίων καλούμενον, προσέτι δὲ ἀκούων ὅτι καὶ τὴν γέ-
φυραν λύειν μέλλουσιν οἱ ἕλληνες τὸν μαρδόνιον ἀφεὶς πο-
λεμεῖν αὐτὸς δὲ μέρος λαβὼν τοῦ στρατεύματος ὑπε-
χώρει, καὶ τούτων δὲ οἱ πλείους περὶ τὴν πάροδον χειμῶ-
νι καὶ λιμῷ διαφθείρονται. αὐτὸς δὲ διὰ στρυμόνος
νηὶ φοινίσσῃ ἐμβὰς καὶ δεινῷ κινδύνῳ περιπεσὼν ὥστε
καὶ πολλοὺς ἀποπηδῆσαι τῆς νεὼς πρὸς θάλασσαν ἕως χά-
ριν τῆς σωτηρίας, αὐτὸς μόλις πρὸς τὴν πατρίδα δυσ-
χερῶς ὑποστρέφει, καὶ τὸν μαρδόνιον καὶ τοὺς σὺν αὐτῷ πέρσ- μαρδόνιος
ας οἱ ἀθηναῖοι ἀνεῖλον καὶ μασίστιον τὸν χρυσοῦν λεπιδω- μασίστιος
τὸν θώρακα ἔχοντα, διὸ ἀνῃρημένον καὶ μάχη μεγάλη
ἐγένετο, ταῦτα μὲν οὕτω. ξέρξης δὲ πρὸ τοῦ ἀπελθεῖν
εἰς τὴν ἑαυτοῦ πατρίδα, μετὰ τοιαύτην ἧτταν ἐν σάρ-
δεσι παραγενόμενος εἰς ἔρωτα τῆς μασίστιδος ἐμπέπ-
τωκε γυναικὸς καὶ ταύτῃ συνῆν καὶ συνέχαιρε ὥσπερ.

νενικηκὼς ἅπασαν ἀπολωλεκὼς τὴν στρατιὰν οἷα καὶ πάντες οἱ ἡττημένοι διαπράττονται. ὅθεν εἰς τὸ βασίλειον ἐλθὼν τὸ πένθος αὐτοῦ παρεσήμαινε.

πολλοὶ δ' ἀγῶνες καὶ φόνοι μεταίχμιοι
λύσουσιν ἀνδρῶν, οἱ μὲν ἐν γαίᾳ πάλας
δηναιὸν ἀρχαῖς ἀμφιδηριωμένων
οἱ δ' ἐν μεταφρένοισι βουστρόφοις χθονός
ἕως ἂν αἴθων εὐνάσῃ βαρὺν κλόνον
ἐπ' αἰακοῦ τε κἀπὸ δαρδάνου γεγώς.
θεσπρωτὸς ἀμφοῖν καὶ καναστραῖος λέων
πρηνῆ δ' ὁμαίμων πάντα κυπώσας δόμον
ἀναγκάσῃ πτήξαντας ἀργείων πρόμους
σῆναι γαλάδρας τὸν στρατηλάτην λύκον
καὶ σκῆπτρ' ὀρέξαι τῆς πάλαι μοναρχίας
ᾧ δὴ μεθ' ἕκτην γένναν αὐθαίμων ἐμὸς
εἷς τις παλαιστὴς συμβαλὼν ἀλκὴν δορὸς
πόντου τε καὶ γῆς κεἰς διαλλαγὰς μολὼν
πρέσβιστος ἐν φίλοισιν ὑμνηθήσεται
σκύλων τ' ἀπαρχὰς τὰς δορικτήτους λαβών

ἕως ἂν αἴθων· ἕως ἂν ὁ μακεδὼν ἀλέξανδρος ἐλθὼν καταπαύσῃ τὸν πόλεμον κυριεύσας καὶ μοναρχήσας. ἡ δὲ ὀλυμπιὰς ἡ μήτηρ τοῦ ἀλεξάνδρου εἰς πύρρον τὸν ἀχιλλέως καὶ ἕλενον τοῦ πριάμου τὸ γένος ἀνέφερεν ὥς φησι θεόπομπος καὶ πύρανδρος. ἀνάγει δὲ τὸ γένος ὁ μὲν πύρρος εἰς αἰακὸν ὁ δὲ ἕλενος εἰς δάρδανον. καὶ καναστραῖος· ἢ χαλαστραῖος· καὶ γὰρ παρακτίων φησὶ χαλάστρης λύκον. πρηνῆ δ' ὁμαίμων· ὁμαίμων τῶν περσῶν παρόσον ἀμφότεροι ὅτε ἀλέξανδρος καὶ οἱ πέρσαι ἀπὸ περσέως ἔχουσι τὸ γένος. περσεὺς γὰρ ἀλκαῖος ἠλεκτρύων

περσεὺς
ἀλκαῖος
ἠλεκτρύων
σθένελος
ἠλεκτρύωνος
ἀλκμήνη

καὶ ἀθένηρος. ἠλεκτρύωνος ἀλκμήνη. ἐξ ἀλκμήνης ἡρακλῆς Ἀθένηρος
ὁ δὲ ἀλέξανδρος ὑφ' ἡρακλέους καὶ νεοπτολέμου κατάγει τὸ
γένος. ἀργείων πρόμους. ἢ ἀκταίων πρόμους ἀργείους
γὰρ καὶ ἀκταῖοι οἱ ἀθηναῖοι, ἀπῴκησαν δὲ μετὰ μηδ[illegible]
ἐς πέρσας διὰ τὴν ἀποικίαν. ἀναγκάσει δὲ φησὶ τῶν περσῶν
ἡγεμόνας φοβηθέντας κολακεῦσαι αὐτὸν καὶ ὑποσαίνειν
καὶ σκῆπτρον ὀρέξαι, καὶ δοῦναι αὐτῷ τὰ σκῆπτρα τῆς μονο
κρατορίας. ᾧ δή με θ' ἕκτην γένναν αὐθαίμων ἐμὸς
ἀδελφός μου φησί. μετὰ δὲ τὴν ἕκτην γενεάν. ἢ τὴν συ
ζεύξασαν. λέγει δὲ περὶ ταρπινίου τοῦ ῥωμαίου. οὗτος
γὰρ ἀπὸ ῥωμύλου ὡς φλυαροῦσι οἱ τὰ λυκόφρονος πρὸ
ἡμῶν σχολιάσαντες ἕκτος ἦν. ἐγὼ δέ φημι πρῶτον γιν
ώσκω ῥωμύλον εἶτα νουμᾶν. τοῦλλος ὀστίλον τρίτον. τέ
ταρτον μάρκον ἄγκον. πέμπτον ταρκύνιον, τὸν ὑπερή
φανον οὐ ταρπίνιον. ἕκτον τούλλιον εἶτα βροῦτον καὶ τοὺς
ἑτέρους. ἐκεῖνοι δὲ φασίν. ῥωμύλος. εἶτα πομπίλιος.
λίος. τρίτος ὀστίλιος. ἄγκος τέταρτος. μάρκος ταρτά
νιος πέμπτος. πρίσκος ὀρπίνιος ἕκτος ταρπίνιος τοῦ
υἱός. ἕκτος οὖν φασὶν ἐστὶν ἀπὸ ῥωμύλου ὁ ταρπίνιος
φασὶ δὲ καὶ τὸν ῥωμύλον αἰνείου υἱόν. διὰ τοῦτον ἕκτον
συγγενῆ τοῦτον νομίζουσι τῆς κασάνδρας καὶ τῶν λοιπῶν. ἐγὼ δὲ
δέκατον γινώσκω ἢ δωδέκατον τὸν ῥωμύλον ἀπ' αἰνείου.
οὐχ οὕτω φησὶν ὡς ἐκεῖνοι ληροῦντες ὅτι μετὰ ἓξ γενεὰς ἀ
λεξάνδρου τοῦ μακεδόνος ἀλεξάνδρῳ τινὶ ἑτέρῳ μακε
δόνι ὁ ἐμὸς συγγενὴς ταρπίνιος πολεμήσει. ῥωμαῖοι γὰρ
καὶ μακεδόνες πολλὰ καὶ ἐν χέρσῳ καὶ ἐν θαλάσσῃ ἐπολέ
μησαν ἀλλήλους. ὕστερον μέντοι συνέβη κρατηθῆναι
τὸν ῥωμαίων στρατηγὸν ὑπὸ τῶν μακεδόνων ζῶντα, καὶ
πάλιν τῶν μακεδόνων ἡγεμόνα τὸν ὕστερον ἀλέξανδρον ἀ
ναιρεθῆναι ὑπὸ τῶν ῥωμαίων καὶ τοῦ σώματος αὐτοῦ
κρατουμένου ἀμοιβὴν ἐποιήσαντο. οἱ μὲν ῥωμαῖοι

ἀποδιδόντες τῷ νεκρῷ· οἱ δὲ μακεδόνες τοῦ ἐκείνων στρατη-
γοῦ καὶ οὕτως ἐθρήνευσαν. /

Τί μακρὰ τλήμων εἰς ἀνηκόους πέτρας,
εἰς κῦμα κωφόν, εἰς νάπας δυσαντλήτιδας
βάζω κενὸν θρηνοῦσα, μάσταχος κρότον
τρίζει γὰρ ~~ἐκ~~ ὑμῶν λεπιεὺς ἐνόσφισε
ψευδηγόροις φήμαισιν ἐγχρίσας ἔπη
καὶ θεσφάτων πρόμαντιν ἀψευδῆ φρένιν
λέκτρων στερηθεὶς. ὧν ἐχάληναινε τυχεῖν
θεοῦ τἀληθῆ σιῶ· κακῶν δέ τις μαθὼν
τὴν νυμφόληπτον αἰνέσει χελιδόνα.
τοσαῦτ' ἠγόρευε καὶ παλίσσυτος ποσὶν
ἔβαινεν ἔρκης ἐντός· ἂν δὲ καρδίη
στέρνοις ἐσάλαξε λοίσθιον μέλος
κλάρου μειμαλῶν ἢ μελαγκέρας ἢ ὄπις
νησοῦς θυσαζὸς ἢ τι σφηκῶδον τέρας
ἑλικτὰ κωτίλλουσα δυσφράστως ἔπη
ἐγὼ δὲ λοξὸν ἦλθ' ἀγγέλων ἄναξ
σοὶ τόνδε μῦθον παρθένου φοιβαστρίας
ἐπεί μ' ἔταξας φύλακα λαΐνου στέγης
καὶ πάντα φράζειν κἀναπεμπάζειν λόγον
ἐτητύμως ἄψορρ' ὀξυνώας βοήν
δαίμων δὲ φήμας εἰς τὸ λῷον ἐκβαλεῖν
τεύξειεν ὅσπερ σῶν προκήδεται θρόνων
σῴζων παλαιὰν βεβρύκων παγκληρίαν.

νάπαι

εἰς νάπας δυσαντλήτιδας· νάπαι εἰσὶν αἱ παραθαλά-
σσιαι πέτραι ἐν τῷ αἰγιαλῷ ὑπὸ τῶν κυμάτων πλη-
ττόμεναι· δυσαντλήτιδες· ἤγουν κατακλυστικαί. καὶ
θεσφάτων πρόμαντιν ἀπὸ κοινοῦ τὸ ἐγχρίσας ψευ-
δηγορίαις

φήμαις τοὺς λόγους ἢ τὴν ἀψευδῆ φρόνησιν τῶν μαντευ-
μάτων, φήμην γὰρ εἴρηκεν ὁ Ἀπόλλων ὅτι ἡ Κασάν-
δρα οὐκ ἔστι μάντις ἀλλὰ μαινομένη λαλεῖ. λέκτρων
στερηθεὶς εἴρηται καὶ ἐν τῇ ἀρχῇ. τὴν φοιβόπληκτον
χελιδόνα ἑαυτὴν λέγει ἡ Κασάνδρα, φοιβόπληκτον
δὲ τὴν μαντικήν. σφρῖνος ἐξέναξε κρακτικῆς καὶ λίαν
ὥσπερ αἱ θρυλλούμεναι σφρῖνες. ἔστι δὲ καὶ ζωύφιον
ὅμοιον μελίσσῃ λεγόμενον σφρήν. Κλάρου μιμαλλών σφρὴν ζωύφιον
μιμαλλών. βάκχη ἡ προφῆτις ἢ τὸν Ἀπόλλωνα τῇ
μαντείαις μιμουμένη. Κλάρος δὲ ὄρος καὶ πόλις τῆς
Ἀσίας παρὰ Κολοφῶνα, ἀφ' οὗ Κλάριος ὁ Ἀπόλλων Κλάριος ὁ Ἀπόλλων
~~ἢ μελαγκραίρης~~ ἢ μελαγκραίρας κόπις ἢ μελαίνων καὶ
θολερούσης τὴν κραίναν, ἤγουν τῶν κεφαλῶν ἤτοι τὸν νοῦν
ἐν δήνοις λόγοις. Κόπις ὁ ῥήτωρ ἀπὸ τοῦ κόπτειν τὴν Κόπις
σίβυλλαν λέγει θυγατέρα νησοῦς. σφίγγος τέρας Σφίγγιον ὄρος
ἡ σφίγξ. ἐκάθητο δὲ ἡ σφίγξ περὶ Θηβῶν ὄρος ὃ
ἀπ' αὐτῆς Σφίγγιον ἐκλήθη. εἰκάζει δὲ τὴν Κασάνδραν
βάκχῃ καὶ τῇ σφιγγὶ δὲ διὰ τὸ ἐστραμμένα λέγειν καὶ
σκοτεινά. ἐσὼ δὲ λοξὸν αἰνιγματώδη. ὅθεν καὶ Λοξίας Λοξίας
ὁ Ἀπόλλων ἢ παρὰ τὸ λοξὴν ἐᾶν καὶ φωνὴν πέμπειν,
λοξοχρησμῶν γὰρ ἦν ἢ παρὰ τὸ λοξῶς ἵεσθαι ἤγουν πορεύ-
εσθαι· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ, λοξῶς δὲ πορεύεται ὁ ἥλ-
ιος τὸν ζῳδιακὸν κύκλον, ὅπως ἀκλινὴς τῆς φορᾶς ἡ
σφοδρότης ἐξ ἀντιπλευρῶν σφίγγεται καταδρομῇ. ζόχιν Ζόχις
τὸν ἄρχοντα παρὰ τὸ ζέχειν. οἱ δὲ κύριον ὄνομα τοῦ-
το νοοῦσιν ὡς ἐν τῇ ἀρχῇ εἴρηται. Λαφριεύς ὁ σκοτεινὰ
καὶ κεκαλυμμένα λέγων ἀπὸ μεταφορᾶς τοῦ λέπους.

Λυκόφρονος τέλος μονοπροσώπου

βίβλου.

+

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

BIBLIOTECA UNIVERSITARIA SALAMANCA


LYCOPHRON

